ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

© *Ἀποστολική Διακονία τῆς Ἐκκλησίας τῆς Ἑλλάδος*
Ἰασίου 1 - 115 21 Ἀθήνα, τηλ. 7228 008, fax 7238 149

Ἔκδοση Α΄ 1973
Ἀνατύπωση Α΄ 1998

K.A. 99.02.047

ISBN 960–315–349–4 *set 960–315–206–4*

ISSN 1106–5303

Printed in Greece. Athens 1998

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΤΟΜΟΣ ΤΕΣΣΑΡΑΚΟΣΤΟΣ ΕΒΔΟΜΟΣ

ΔΙΔΥΜΟΣ Ο ΑΛΕΞΑΝΔΡΕΥΣ

(ΜΕΡΟΣ Ε')

Ἐπιμελεία
ΚΩΝΣΤΑΝΤΙΝΟΥ Γ. ΜΠΟΝΗ Δ. Θ. καὶ Φ.
Ὁμοτίμου Καθηγητοῦ τοῦ Παν/μίου Ἀθηνῶν

ΕΚΔΟΣΕΙΣ ΤΗΣ ΑΠΟΣΤΟΛΙΚΗΣ ΔΙΑΚΟΝΙΑΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ
ΑΘΗΝΑΙ 1998

ΠΕΡΙΕΧΟΜΕΝΑ

ΔΙΔΥΜΟΣ Ο ΑΛΕΞΑΝΔΡΕΥΣ

Σελ.

ΚΕΙΜΕΝΑ.—Ὑπόμνημα εἰς τὸν Ἰώβ. (Κατὰ τὴν πολυγραφημένην ἔκδοσιν τῶν ἐν Toura τῆς Αἰγύπτου ἀνακαλυφθέντων παπύρων). Kommentar zu Hiob, Teil I-II, Kap. 1-4· 5,1-6,29 in Zusammenarbeit mit dem Ägyptischen Museum zu Kaïro herausgegeben, übersetzt; erläutert von Albert Henrichs, Bonn 1968. . 11

— Kommentar zu Hiob, Teil III (Kap. 7,20c-11) in Zusammenarbeit mit dem Ägyptischen Museum zu Kaïro herausgegeben, übersetzt, erläutert von Ursula Hagedorn, Dieter Hagedorn und Ludwig Koenen, Bonn 1968. 97

— Ἀποσπάσματα εἰς τὸν Ἰώβ. (Κατὰ τὴν ἔκδοσιν J. - P. Migne, Patrologiae Cursus Completus Series Graeca τ. 39 στ. 1120-1153). 141

— Ὑπόμνημα εἰς τὰς Παροιμίας (Κατὰ τὴν ἔκδοσιν J. - P. Migne, Patrologiae Cursus Completus, Series Graeca τ. 39 στ. 1621-1653). 165

— Ὑπόμνημα εἰς τὸν Ἐκκλησιαστήν. (Ἐκ τῶν ἐν Toura τῆς Αἰγύπτου ἀνακαλυφθέντων παπύρων). Kommentar zu Ecclesiasten, Lage 1 des Toura Papyrus. In Verbidung mit Ludwig Koenen herausgegeben und übersetzt von Gerhard Binder und Leo Liesenborghs, Köln 1965. . . . 179

— Kommentar zu Ecclesiasten, Lage 22 und 23 herausgegeben von Leo Liesenborghs, Köln 1965. 196

ΠΙΝΑΞ ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ 225

ΠΙΝΑΞ ΘΕΜΑΤΩΝ, ΟΝΟΜΑΤΩΝ, ΠΡΑΓΜΑΤΩΝ 239

ΔΙΔΥΜΟΣ Ο ΑΛΕΞΑΝΔΡΕΥΣ

Κατὰ τὴν παροῦσαν ἔκδοσιν τοῦ Ὑπομνήματος ἐπηνέχθησαν ὡρισμέναι βελτιώσεις (κυρίως ἀβλεπτημάτων ὀρθογραφικῶν). Διετηρήθησαν ἰδιομορφίαι τινὲς τῆς παραδόσεως τοῦ κειμένου ἀναγόμεναι ἰδίᾳ εἰς φωνητικὰ φαινόμενα ἐπιχωριάζοντα εἰς τὴν περιοχὴν τῆς ἀνακαλύψεως τῶν παπύρων.

Συμπληρωματικαὶ ἐνδείξεις: ⟨ ⟩ = Προσθετέον εἰς τὸν πάπυρον, [ ] = Ἀφαιρετέον ἐκ τοῦ παπύρου.

Σημειωτέον ὅτι κατὰ τὴν παράθεσιν τοῦ κειμένου οἱ ἐντὸς ἀγκυλῶν σημειούμενοι ἀριθμοὶ παραπέμπουσιν εἰς τὰς στήλας τῆς ἐκδόσεως τοῦ J.-P. Migne, οἱ δὲ ἄνευ ἀγκυλῶν εἰς τὰς σελίδας τῆς ἐξ ἧς ἐλήφθησαν πολυγραφημένης ἐκδόσεως.

ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΟΝ ΙΩΒ*

ΚΕΦΑΛΑΙΟΝ Α'

24 Ὅπερ ἁρμόζει παντὶ προτιθεμένῳ ἐξέτασιν ποιήσασθαι λόγου τινὸς τὰ εἰς τὴν ὑπόθεσιν προδιαλαμβάνοντι τοῦ λόγου, ἐν τοῖς νῦν ποιητέον, καὶ μάλιστα ἐπεὶ τὸ προκείμενον βιβλίον ὠφελιμώτατον ὑπάρχον οὐκ εὐκαταφρόνητον ἔχει τὴν νόησιν. Κινεῖται γὰρ ἐν αὐτῷ ὑπὸ τοῦ Ἰὼβ ὅλος ὁ περὶ τῶν τοῦ Θεοῦ κριμάτων λόγος, καὶ ὡς οὐδὲν τῶν συμβαινόντων ἐπιπόνων ἀνθρώποις ἐκτὸς τῆς τοῦ Θεοῦ συνχωρήσεως γίνεται, καὶ ἕτερα δογματικὰ θεωρήματα καὶ ἔτι ἐν τῷ προηγουμένῳ λόγῳ καρτερίας πέρι καὶ ὑπομονῆς καὶ τῆς τῶν ἀδιαφόρων καταφρονήσεως — χρημάτων λέγω καὶ κτημάτων καὶ πολυπαιδίας καὶ εὐπαιδίας —, πρὸς τούτοις καὶ τοῦ αὐτεξουσίου φανέρωσις καὶ τῶν ποικίλων δογμάτων διδασκαλία, ὡς καθ' ἕκαστον τῶν λογίων, εἰς ἃ ταῦτά ἐστιν, Θεοῦ διδόντος ὀψόμεθα. Εἰ δεῖ τοίνυν τῆς ὑποθέσεως, ἀρκτέον.

26 Διάφορος ἡ τῆς τιμῆς τῶν οὐσιῶν φαίνεται μεταβολή, τοῦτο μὲν σωμάτων φθειρομένων καὶ αὐξομένων, τοῦτο δὲ καὶ προαιρετικῆς συμβαινούσης μεταβολῆς. Καὶ ὅσαι μὲν κατὰ σῶμα γίνονται, οὔτε μεμπτὸν ὑποκείμενον οὔτε ἐπαινετὸν δεικνύουσιν. Οὐδεὶς γὰρ οὔτε ἐπὶ φθορᾷ σώματος οὔτε ἐπὶ αὐξήσει ἀποδεκτός· ἔξω γὰρ ταῦτα τοῦ ἐφ' ἡμῖν ἐστιν. Ὅσα δὲ λογισμῷ προαιρετικῶς κινουμένου τοῦ ἐνεργοῦντος πράττεται, ταῦτα ἢ ψεκτὸν ἢ ἐπαινετὸν αὐτὸν δείκνυσιν. Τοῦτο δ' ἀκολουθεῖ τοῖς ἐκ κακίας εἰς ἀρετὴν ἢ ἐξ ἀρετῆς εἰς κακίαν μεταβάλλουσιν. Γέ**28**γονεν τοίνυν λογικὴ οὐσία ἀποστάτις Θεοῦ, «ἐνώπιον Κυρίου παντοκράτορος τραχηλιάσασα»[1]. [Δ] Αὕτη δ' ἐστὶν ὁ διάβολος οὐ διάβολος γεγενημένη — «ὁ Θεὸς» γὰρ «θάνατον οὐκ ἐποίησεν»[2] —, ἀλλὰ τελεία καὶ ἐνάρετος — «πάντα» γὰρ «ὁ Θεὸς καλὰ λίαν ἐποίησεν»[3] —, ἥτις ἐκπεσοῦσα τῆς ὀρθῆς καταστάσεως καὶ μακαριότητος φθονεῖ τοῖς ἐπὶ ταύτην τρεπομένοις· «φθόνῳ» γὰρ «διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον»[4]. Λογίζεται γὰρ ὡς ἔκβολος πρὸς ἑαυτὸν ὅτι· ἐμποδιστέον τοῖς οὐράνιον ἔχουσιν πολιτείαν, ὅπως μὴ ἐξ ὧν ἐγὼ ἐκπέπτωκα, οὗτοι ἀνέλθωσιν. Ἰδίαν γὰρ κατηγορίαν οἴεται

---

* Ἐκ τῶν ἐν Toura τῆς Αἰγύπτου ἀνακαλυφθέντων ὑπομνημάτων τοῦ Διδύμου. Kommentar zu Hiob, Teil I-II (Kap. 1-4, Kap. 5,1-6,29) in Zusammenarbeit mit dem Ägyptischen Museum zu Kaïro herausgegeben, übersetzt, erläutert von Albert Henrichs, Bonn 1968.

1. Πρβλ. Ἰὼβ 15,25. 2. Σ. Σολ. 1,13. 3. Πρβλ. Γεν. 1,31. 4. Σ. Σολ. 2,24.

τὴν τῶν ἀνθρώπων **30** προκοπήν, διότι αὐτὸς μὲν «ἑωσφόρος» οὐρανῶν καὶ «πρωὶ ἀνατέλλων»[1] ἀστήρ ἐστι καταυγάζων, διὰ δὲ τὸ παρασκευάζειν τοὺς ὑπὸ τοῦ «ἡλίου τῆς δικαιοσύνης»[2] φωτισθησομένους ἐξέπεσεν τῶν οὐρανίων χωρίων. Οὗτοι δὲ ω.ιδ.α τῆς ἐναρέτου πολιτείας σπεύδουσιν, οἵτινες πλείονα ῥοπὴν εἰς κακίαν ἔχουσιν. «'Επιμελῶς» γὰρ «ἡ διάνοια τῶν ἀνθρώπων ἔνκειται ἐπὶ τὰ πονηρά»[3], ὅπερ παραστῆσαι ὁ 'Απόστολος βουλόμενός φησιν· «οὐκ ἀγγέλους κρινοῦμεν;»[4] δηλῶν ὡς ὅτι· ἡμεῖς οἱ τὸν οὐράνιον βίον ζῶντες ἐπὶ γῆς κατακρινοῦμεν τοὺς τὴν ἰδίαν μὴ φυλάξαντας τάξιν, καθὰ καὶ Νινευῖται τοὺς 'Ιουδαίους κατακρινοῦσι[5] μὴ πεισθέντας τῷ Σωτῆρι, αὐτοὶ πεπεισμένοι τῷ κηρύγματι 'Ιωνᾶ περὶ μετανοίας καταγγείλαντος. 'Αλλὰ καὶ τὸ περὶ τῆς βασιλίδος Σαβὰ λεγόμενον[6] τῆς αὐτῆς διανοίας ἐ**32**στὶ παραστατικόν· γυνὴ γὰρ καὶ βασιλὶς καὶ πόρρω καθεστῶσα καὶ διὰ ξένων τοπαρχιῶν διαβαίνειν μέλλουσα πάντα ταῦτα ὑπεριδοῦσα τῆς τοῦ Σολ⟨ο⟩μῶνος σοφίας ἔσπευσεν εἶναι κατήκοος, τῶν 'Ιουδαίων ἐγγὺς ἐχόντων τὸν παιδευτὴν καὶ μηδὲν ἐθελόντων ἐξ αὐτοῦ ὠφεληθῆναι καίτοι πλεῖον ἔχοντος Σολομῶνος. 'Εκεῖνος μὲν γὰρ ἐξ αὐτοῦ σοφισθεὶς ὠφέλει, ὁ δὲ Σωτὴρ πρὸς τῇ ἀπὸ τῶν λόγων ὠφελίᾳ καὶ σημείων καὶ τεραστίων ἐπεδείκνυτο θαυματουργίαν ἱκανὴν μεταπεῖθειν τοὺς σφόδρα ἀπιστοτάτους· νεκρῶν γὰρ ἀναστάσεις, τυφλῶν ἀναβλέψεις, λεπρῶν καθαρισμοὶ καὶ συνόλως «πάσης νόσου καὶ μαλακίας»[7] ἴασις παρ' αὐτοῦ ἐπετελεῖτο. 'Ο φθόνος οὖν ὁ διαβολικὸς οὗτος ἦν, ὅτι ἄνθρωποι τούτων ἐπιλαβέσθαι ἔσπευδον, ὧν αὐτὸς ἐξέπεσεν. Διὸ καὶ οὐκ ἀμελεῖ τῆς κατὰ τοῦ γένους ἐπηρείας· ὁ γὰρ «ἀντίδικος ἡμῶν διάβολος ὡς λέων περιπατεῖ ζητῶν τίνα καταπίῃ»[8]. Οὕτω καὶ τῷ 'Ιούδᾳ λογισμὸν φιλαργυρίας ἐμβαλὼν **34** προδότην αὐτὸν τοῦ Σωτῆρος πεποίηκεν, καθάπερ εἰς οἰκεῖον φωλεὸν εἰς τὴν διάνοιαν αὐτοῦ εἰσελθών. Οὕτω καὶ οἱ περὶ 'Υμέναιον καὶ 'Αλέξανδρον «περὶ τὴν πίστιν ἐναυάγησαν»[9] διὰ τοῦτο παθόντες ὄργανόν τε διαβολικὸν διὰ τοῦ ἐκουσίου γεγενημένοι, οὕστινας καὶ «παρέδωκεν αὐτῷ τῷ σατανᾷ»[10] ὁ μακάριος Παῦλος, «ἵνα παιδευθῶσιν μὴ βλασφημεῖν»[11]. Καὶ ὅλως ποικίλη ἡ τοῦ διαβόλου κατὰ τῶν ἀνθρώπων ἔνεδρα γίνεται «ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας ἐνεργοῦντος»[12], οὐκ ἀπεχομένου δὲ καὶ τῶν ἐναρέτων, ἀλλὰ κἀκείνοις ἐπιτρέχοντος. Τοῦτο γὰρ σημαίνει τὸ λόγιον παραινοῦν· «ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀνάβῃ ἐπὶ σέ, τόπον σου μὴ ἀφῇς»[13]. 'Επιχειρεῖ μὲν καὶ ἀνῆκεν εἰς αὐτὸν καταβαίνων, ἀσφαλὴς δὲ ὁ ἐνάρετος γεγενημένος κωλύει τὴν ἐπιβουλήν. Καὶ ὁ 'Ιὼβ οὖν τέλειος ὑπάρχων ἀνὴρ καὶ πάντῃ ἀπεχόμενος κακίας καὶ ἀρε-

---

1. Πρβλ. 'Ησ. 14,11. 2. Πρβλ. Μαλ. 3,20. 3. Πρβλ. Γεν. 8,21. 4. Πρβλ. Α' Κορ. 6,3. 5. Πρβλ. Ματθ. 12,41. Λουκ. 11,30. 6. Πρβλ. Ματθ. 12,42. 7. Πρβλ. Ματθ. 4,23. 8. Α' Πέτρ. 5,8. 9. Πρβλ. Α' Τιμ. 1,19-20. 10. Πρβλ. Α' Τιμ. 1,20. 11. Α' Τιμ. 1,20. 12. 'Εφ. 2,2. 13. 'Εκκλ. 10,4.

τῆς μετέχων «οὐ παρεῖχεν τόπον τῷ διαβόλῳ»[1]. Εἴρηται γὰρ «δίκαιος, ἀ36ληθινός, ἄμεμπτος, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος»[2], ἅπερ τελειότατον αὐτὸν ἀποδείκνυσιν, οὐ μόνον κακίας ἀπεχόμενον, ἀλλὰ καὶ εἰς ἄκρον ἀρετῆς φθάσαντα. Τότε γὰρ κυρίως τις ἀρετὴν ἔχῃ, ὅταν τῶν ἐναντίων διαθέσεων προαιρέσει ἀπέχηται. Τοῦτο γὰρ ὁ μακάριος Δαυὶδ παιδεύει λέγων· «ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν»[3] ἀλλὰ καὶ τό· «παύσασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν, μάθετε καλὸν ποιεῖν»[4] τῆς αὐτῆς ἐστι διανοίας. Ὁ Ἰὼβ οὖν ἀπεχόμενος κακίας οὐχ οὕτως ἀπείχετο ὡς τὰ βρέφη, ἀλλ' ὡς ἐνεργῶν τελείως τὴν ἀρετήν. Ἀπὸ **38** ἀνδρείας, δὲ αὐτῷ ὁ ἔπαινος ἐγίνετο οὐχ ὡς τῶν ἄλλων ἀρετῶν ἀπολειπομένῳ — ἠκολούθουν γὰρ αὐτῷ ἅπασαι ἀλλήλων ἠρτημέναι —, ἀλλ' ἐξ ἐπικρατείας τῆς κατὰ τὴν ἀνδρείαν, ὅπερ καὶ ἐπὶ τῶν μακαρισμῶν ἔχει· ὁ γὰρ «πτωχὸς τῷ πνεύματι»[5] ἔχει τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τοῖς ἄλλοις κεκοσμημένος καὶ πρᾶος καὶ δίκαιος ὤν. Εἶχεν οὖν καὶ τὰς ἄλλας ἀρετὰς ὁ Ἰώβ, ὡς ἐν τοῖς ἑξῆς δηλοῦται· ὡς γὰρ πρὸς φιλοξενίαν ἦν ἕτοιμος, οὕτως καὶ πρὸς ἐλεημοσύνην, «πατὴρ μὲν ὀρφάνοις γιγνόμενος, τοῖς δὲ ἀδυνάτοις βοηθός[6], ὀφθαλμὸς τυφλοῖς, ποὺς δὲ χωλῶν»[7] εὑρισκόμενος. Τὸν οὕτως οὖν ἠσφαλισμέ**40**νον πάντοθεν πρακτικῇ τε καὶ διανοητικῇ ἀρετῇ — διὰ γὰρ ταύτην ἀληθινὸς εἴρηται ὡς καὶ ἄμεμπτον εἶναι — ἐπειρᾶτο διάβολος τῆς τοσαύτης ἀρετῆς μεθιστᾶν, πολλάκις ὡς εἰκὸς ὑποβάλλων λογισμούς, οὓς ὁ ἅγιος οὐκ ἐδέχετο κατὰ τὸν λέγοντα· «ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίγνωσκον»[8], ὃ δηλοῖ ὅτι· πολλάκις προσελθόντος τοῦ ἀντικειμένου οὐκ ὤκλασα, ὥστε γνῶναι μὲν αὐτὸν παρόντα διὰ τοῦ ἁμαρτάνειν. Οὐ γὰρ ἠγνόει παρόντα ἐς ὅσον ἐπολέμει ὁ ἅγιος, ἀλλ' οὕτως οὐκ ἐγίγνωσκεν, ὡς πεῖραν δέχεσθαι τῶν φαύλων αὐτοῦ ἐνθυμήσεων. Τελευταίαν δ' ἐπιβουλὴν τὴν τῆς ἐξαιτήσεως καθῆκεν, οἰόμενος διὰ ταύτης αὐτὸν τῆς προσβολῆς τῆς ἀρετῆς μεθιστᾶν, ὅπερ καὶ ἐπὶ τοῦ πατριάρχου Ἀβραὰμ πεποίηκεν, εἴ τῳ φίλον παραδέξασθαι τὴν βίβλον τῆς διαθήκης.

Πολλὰ καὶ πολλάκις ἐπιχειρήσας **42** κατὰ τοῦ ἁγίου καὶ πρὸς ἅπαντα ἡττηθείς, ἐπεὶ ἅτε πρὸς ὀψίγονον καὶ ἀγαπητὸν διακείμενον τὸν Ἀβραὰμ ἤλπιζεν διαστρέψειν, προφέρει τὴν ἐξαίτησιν τοῦ παιδός, ἣν ὁ Θεὸς δι' ἑαυτοῦ ποιεῖται καταισχῦναι τὸν ἀντικείμενον βουλόμενος λέγων· «λαβὲ τὸν υἱόν σου τὸν ἀγαπητὸν ὃν ἠγάπησας»[9], διὰ τῶν ποικίλων ῥημάτων διεγείρων τοῦ πατρὸς τὸ φιλόστοργον, ἵνα τὸ ἀνδρεῖον αὐτοῦ φανερὸν ποιήσῃ, ὅπερ διετήρησεν μήτε τῇ γυναικὶ ἀνενεγκὼν τὸ ἐσόμενον μήτε τοῖς παισίν, ἵνα μή τι ἐμπόδιον τῷ κατορθώματι γίνηται. Ἀλλὰ καὶ πρὸς τοὺς λόγους τοῦ παιδὸς

---

1. Πρβλ. Ἐφ. 4,27. 2. Ἰὼβ 1,1. 3. Ψαλ. 33,15. 36,27. 4. Ἡσ. 1,16-17. 5. Πρβλ. Ματθ. 5,3. 6. Πρβλ. Ἰὼβ 29,16,12. 7. Πρβλ. Ἰὼβ 29,15. 8. Ψαλ. 100,4. 9. Γεν. 22,2.

οὐκ ὤκλασεν εἰπόντος· «Πάτερ, ἰδοὺ τὸ πῦρ καὶ τὰ ξύλα· ποῦ τὸ πρόβατον τὸ εἰς τὴν ὁλοκάρπωσιν;»[1]. Διόπερ πιστεύων, ὅτι κἂν νεκρὸς ὁ παῖς γίνηται δυνατὸς ὁ Θεὸς αὐτὸν ἀναστῆσαι, οὐκ ἐνδέδωκεν πρὸς τὸ πρόσταγμα, ἀλλὰ ἐσφαγίασεν ἂν τὸν μονογενῆ, εἰ μὴ Θεὸς τὴν προθυμίαν ἀποδεξάμενος περιέσωσεν αὐτῷ τὸν υἱόν. Ὅτι **44** δὲ τοιαύτης ἐπιβουλευτικῆς προθέσεώς ἐστιν διάβολος καὶ ἐκ τοῦ Εὐαγγελίου παιδευόμεθα λέγοντος τοῦ Σωτῆρος πρὸς τοὺς ἰδίους μαθητάς· «ἰδοὺ ἐξητήσατο ὑμᾶς ὁ σατανᾶς τοῦ σινιάσαι ὡς τὸν σῖτον»[2]. Ὁμώνυμον δὲ τῷ ἀνδρὶ καὶ τὸ βιβλίον ἔχει τὴν ἐπιγραφὴν ἀκολούθως ἐπεὶ πᾶσα ἡ βίβλος τὴν περὶ αὐτοῦ ἱστορίαν περιέχει, οὐδενὸς ἑτέρου παραβαλλομένου. Κἀκεῖνο δὲ ἀκόλουθον προσθεῖναι, ὡς ἐζήτηταί τισιν, τίνος ἂν εἴη τὸ βιβλίον. Καὶ οἱ μὲν τῷ ἁγίῳ Ἔσδρᾳ αὐτὸ προσνέμουσιν,
.....οἱ δὲ καὶ ἐπεὶ ἐν τῷ τέλει τοῦ βιβλίου εἴρηται.....φασίν, ὡς ἐν τοῖς ἀρχείοις ἅτε βασιλεῖς ὄντες οἱ φίλοι τοῦ Ἰὼβ ἀρεσθέντες τῷ κατορθώματι τὴν περὶ τούτου γραφὴν ἀπέθεντο. Ζητείτω δὲ ὁ φιλόκαλος περὶ τούτου, εἰ μὴ τὰ εἰρημένα ἐνκρίνει. **46** Ἔστιν δὲ ὁ Ἰὼβ πέμπτος ἀπὸ Ἀβραάμ, ὡς καὶ αὐτὸ τοῦτο ἐν τῷ τέλει τοῦ βιβλίου εἴρηται[3].
.....
.....

Ἄνθρωπός τις ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι, ᾧ ὄνομα Ἰώβ. Καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος ἀληθινός, ἄμεμπτος, δίκαιος, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος. Ἐγένοντο δὲ αὐτῷ υἱοὶ ἑπτὰ καὶ θυγατέρες τρεῖς, καὶ ἦν τὰ κτήνη αὐτοῦ πρόβατα ἑπτακισχίλια, κάμηλοι τρισχίλιαι, ζεύγη βοῶν πεντακόσια, ὄνοι θήλειαι νομάδες πεντακόσιαι, καὶ ὑπηρεσία πολλὴ σφόδρα, καὶ ἔργα μεγάλα ἦν αὐτῷ ἐπὶ τῆς γῆς[4].

Ἀκολούθως μέλλων ἀρετὴν ὑπερβάλλουσαν τοῦ μακαρίου Ἰὼβ ὁ λόγος διηγεῖσθαι καὶ χώρας μνημονεύει καὶ τρόπου ἀμέμπτου καὶ πολυπαιδίας καὶ εὐπαιδίας καὶ πλούτου ἔν τε ἀγέλαις καὶ τοῖς ἄλλοις, ἵνα διδάξῃ ὡς οὐκ **48** εὐτελῶν ὑπερεφρόνησεν — οὐδὲ γὰρ ἔχων αὐτὰ μέγα ἐφρόνει — πάντων τούτων ἀφαιρεθεὶς ἐν τῷ πειρασμῷ. Ἀπαγγελῶν δὲ αὐτοῦ καὶ τὸ καθαρὸν τῆς ψυχῆς δείκνυσιν, ὡς οὐκ ἠμεληκότα ἄνθρωπον διάβολος ἐξητ⟨ή⟩σατο. Ἔδει γὰρ πρὸ τῆς πάλης τῆς πρὸς τὸν ἀντικείμενον τὸ μέγεθος τοῦ ἀθλητοῦ διαγράψαι, ὡς παντὸς πράγματος πονηροῦ ἀπεχόμενος[5] οὐκ ἄχρι τούτου ἠρκέσθη, ἀλλὰ καὶ τελειότητος

---

1. Γεν. 22,7. 2. Λουκ. 22,31. 3. Πρβλ. Ἰὼβ 42,17c. 4. Ἰὼβ 1,1-3. 5. Πρβλ. Ἰὼβ 1,1.

ἐπεμελεῖτο, ὅπερ ἀνατρεπτικόν ἐστιν τῶν λεγόντων, ὡς καὶ τὰ παιδία καὶ τὰ ἄλογα πονηροῦ πράγματος ἀπέχεται. Οὗτος γὰρ καὶ δίκαιος καὶ ἄμεμπτος ὑπῆρχεν[1]. Τοῦτ' αὐτὸ καὶ ἐπὶ τοῦ πρώτου ψαλμοῦ λέγοντες οἱ ἐνιστάμενοι ἐλέγχονται. Φασὶν γάρ, ὅτι «μακαρίζεσθαι ἐπὶ τῷ μὴ πεπορεῦσθαι ἐν βουλῇ ἀσεβῶν καὶ ἐπὶ καθέδραν λοιμῶν μὴ κεκαθικέναι»[2] ἁρμόσει καὶ τοῖς ἀλόγοις καὶ βρέφεσιν. 'Αλλ' ἐλέγχονται ἐκ τοῦ ἐπιφερομένου· εἴρηται γάρ· ..... «ἀλλ' ἦν ἐν νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός»[3], ὅπερ ἐπὶ τῶν βρεφῶν καὶ ἀλόγων οὐχ ἁρμόζει. Εὖ δὲ καὶ τὸ ἐν τῇ Αὐσίτιδι τοῦτον οἰκεῖν, ἥτις ἑρμηνεύεται βουλή· οὐδὲν γὰρ ὁ δίκαιος ἀβούλως ποιεῖ, ἀλλ' οἶκος αὐτῷ καὶ πόλις ἡ καθαρὰ βουλή.

52 «Καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος εὐγενὴς τῶν ἀφ' ἡλίου ἀν⟨α⟩τολῶν»[4].

Καὶ πρὸς τὸ αἰσθητὸν δυνατὸν τοῦτο. Εἰ δὲ πρὸς ἀναγωγὴν νοοῖτο, λεχθείη ἄν, ὅτι ὁ δίκαιος εὐγένειαν κτᾶται, οὐκ ἀπ' ἀνθρώπων, ἀλλ' ἀπὸ τοῦ φωτὸς τοῦ «ἡλίου τῆς δικαι⟨ο⟩σύνης»[5] καταλαμπομένην.

«Συνπορευόμενοι δὲ οἱ υἱοὶ αὐτοῦ πρὸς ἀλλήλους ἐποίουν πότον καθ' ἑκάστην ἡμέραν συνπαραλαμβάνοντες ἅμα καὶ τὰς τρεῖς ἀδελφὰς αὐτῶν ἐσθίειν καὶ πίνειν μετ' αὐτῶν»[6].

Εὖ ἀνατεθραμμένοι οἱ τοῦ 'Ιὼβ υἱοὶ οὐ πρὸς ἄλλους ἐποιοῦντο τὰς ἐπιμειξίας καὶ τὸν πότον ἢ πρὸς ἑαυτούς κατὰ τὸ ἐν ψαλμοῖς λεγόμενον· «ἰδοὺ δή, τί καλὸν ἢ τί τερπνὸν ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό»[7] σύμφωνον παρέχοντες τὴν ἀρετὴν καὶ ἐν τοῖς αἰσθητοῖς ἦσαν ἀστασίαστοι «πρὸς ἀλλήλους»[8] πορευόμενοι καὶ οὐ πόρρω· τὰς γὰρ συνηλύσεις «ἐν τῇ οἰκίᾳ τοῦ ἀδελφοῦ αὐτῶν τοῦ πρεσβυτέρου»[9] οὐ μόνον [ον] κατὰ χρόνον **54** ἀλλ' ἴσως καὶ κατὰ ἀρετὴν ἐποιοῦντο τὰ πρὸς ὠφελίαν παρ' αὐτοῦ παιδευόμενοι. Εὖ δὲ καὶ τὸ συνπαραλαμβάνειν τὰς ἰδίας ἀδελφάς, ὅπερ ἐστὶν σημεῖον ἐναργὲς σωφροσύνης καὶ κοσμιότητος.

«Καὶ ὡς ἂν συνετελέσθησαν αἱ ἡμέραι τοῦ πότου, ἀπέστελλεν 'Ιὼβ καὶ ἐκαθ⟨ά⟩ριζεν αὐτοὺς ἀνιστάμενος τὸ πρωὶ καὶ προσέφερεν περὶ αὐτῶν θυσίας κατὰ τὸν

---

1. Πρβλ. 'Ιὼβ 1,1. 2. Πρβλ. Ψαλ. 1,1. 3. Ψαλ. 1,2. 4. 'Ιὼβ 1,3.
5. Πρβλ. Μαλ. 30,20. 6. 'Ιὼβ 1,4. 7. Ψαλ. 132,1. 8. 'Ιὼβ 1,4.
9. 'Ιὼβ 1,13.

ἀριθμὸν αὐτῶν καὶ μόσχον ἕνα περὶ ἁμαρτίας περὶ τῶν ψυχῶν αὐτῶν»[1].

Κατὰ τὸν λέγοντα· «ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σέ, ὁ Θεός»[2], καί· «ὁ Θεό⟨ς⟩ μου, πρὸς σὲ ὀρθρίζω»[3], καί· «τὸ πρωΐ παραστήσομαί σοι καὶ ἐπόψομαι»[4] οὐ πρὸς ἕτερον ἔργον ὁ μακάριος Ἰὼβ τὸ πρωΐ ἀνίστατο ἀλλὰ πρὸς ⟨τὸ⟩ Θεῷ ὑπὲρ τῶν παιδίων θυσίαν προσάγειν «κατὰ τὸν ἀριθμὸν αὐτῶν»[5], ὅ ἐστιν καθ' ἕκαστον καὶ εὐτάκτως· οὐδὲν γὰρ συγκεχυμένον ἐν σπουδαίῳ. Ἀλλὰ καὶ μετὰ τοῦτο ὑπὲρ αὐτῶν τὸν **56** μόσχον προσῆγεν κατὰ τὸν ἴδιον τρόπον καὶ τὴν τῶν παίδων ἀγωγὴν συνεθίζων. Οὕτως οὖν ἐκαθ⟨ά⟩ριζεν αὐτοὺς μετὰ τὸ συντελεσθῆναι τὸν πότον, μετὰ τῆς αἰσθητῆς καθάρσεως καὶ τὰ πρὸς διάνοιαν συντελοῦντα καθαρτήρια παραδεικνύς. Εἰ δὲ τὸν [πρὸς] ὑπὲρ ἁπάντων ⟨προσαγό⟩μενον «μόσχον»[6] τὸν ὑπὲρ τοῦ γένους τῶν ἀνθρώπων «σταυρὸν ὑπομείναντα»[7] Σωτῆρα δηλοῖ, συνεπίσκεψαι, ὅστις καὶ «σιτευτὸς»[8] ἐν τῇ παραβολῇ τοῦ εὐαγγελίου εἴρηται διὰ τὸ θρεπτικὸς εἶναι τῆς θείας διδασκαλίας. Μὴ θαύμαζε δέ, εἰ ἐπὶ τὸν Σωτῆρα ὁ μόσχος αἰνίττεται· καὶ γὰρ οὐκ ἀμύητος ἦν ὁ Ἰὼβ τῆς ἐπιδημίας τοῦ Σωτῆρος· περὶ γὰρ αὐτοῦ εἶπεν· «ὁ μέλλων τὸ μέγα κῆτος χειρώσασθαι»[9].

«Ἔλεγεν γὰρ ὁ Ἰώβ· μήποτε ἐν τῇ διανοίᾳ αὐτῶν οἱ υἱοί μου κακὰ ἐνενόησαν πρὸς τὸν Θεόν»[10].

Μεγάλη καθαρότης ἐν τούτῳ τῶν παιδίων δείκνυται· μὴ γὰρ ὁρῶν αἰσθητόν **58** τι ἁμάρτημα αὐτῶν περὶ τῶν κατὰ διάνοιαν τὴν θυσίαν προσῆγεν λογιζόμενος, ὅτι ἡ ἀνθρωπίνη ἀσθένεια καὶ μαλακία ἐν νεότητι ὄλισθον ἔχει πολλάκις. Διόπερ καὶ ὁ ἅγιος Παῦλος ἔλεγεν· «οὐδὲν ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι»[11], καὶ ὁ ψαλμῳδός· «ἀπὸ τῶν κρυφίων μου καθάρισόν με»[12]. Ὅθεν παρατηρητέον, οὐχ ὡς ἁμαρτημάτων ἕνεκεν τοιούτῳ θανάτῳ ὑπεβλήθησαν.

«Οὕτως οὖν ἐποίει Ἰὼβ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ»[13].

Τὸ ἀδιάστατον τοῦ τόνου τοῦ ἁγίου ἐνταῦθα δηλοῦται, ὡς οὐ ποτὲ μὲν ποτὲ δὲ οὐ τὴν ἀρετὴν ἐνεργοῦντος. Τοῦτο καὶ Δαυὶδ περὶ ἑαυτοῦ φησι ψάλλων· «εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ»[14].

«Καὶ ὡς ἐγένετο ἡ ἡμέρα αὕτη, καὶ ἰδοὺ ἦλθον οἱ ἄγγελοι παραστῆναι ἐνώπιον τοῦ

---

1. Ἰὼβ 1,5. 2. Ἡσ. 26,9. 3. Ψαλ. 62,2. 4. Ψαλ. 5,4. 5. Ἰὼβ 1,5. 6. Πρβλ. ἔνθ' ἀν. 7. Πρβλ. Ἑβρ. 12,2. 8. Πρβλ. Λουκ. 15,23. 9. Ἰὼβ 3,8. 10. Ἰὼβ 1,5. 11. Α' Κορ. 4,4. 12. Ψαλ. 18,13. 13. Ἰὼβ 1,5. 14. Ψαλ. 33,2.

Κυρίου, καὶ ὁ διάβολος ἦλθεν μετ' αὐτῶν»[1].

60 Τὸ μὲν σχῆμα τῆς λέξεως ὁ λόγος ἐμφαίνων διηγηματικώτερον τὰ περὶ τῆς ⟨παρα⟩στάσεως τῶν ἀγγέλων διηγεῖτο ἐν τῷ· «καὶ ⟨ὡς⟩ ἐγένετο [ὡς] ἡ ἡμέρα αὕτη»[2], ἡμῶν ἀκολούθως νοούντων καιρὸν καὶ κατάλληλον κατάστασιν τῆς παραστάσεως τῆς ἐνώπιον Κυρίου τῶν ἀγγέλων τὰς ἰδίας λειτουργίας καὶ τὸν ἴδιον πόνον τὸν πρὸς Θεὸν παρασχόντων. Αὐτῶν καθιστώντων παρέστη δὴ καὶ ὁ διάβολος. Εἰ καὶ πολύπτυχός ἐστι καὶ πολύτροπος, οὐ λανθάνει Θεόν. Εἴρηται, ὡς καὶ αὐτὸς μετὰ τῶν ἀγγέλων **62** ἐλήλυθεν οὐ «παραστῆναι ἐνώπιον»[3] αὐτοῦ, ἀλλὰ καὶ αὐτὸς ὑπὸ τοῦ πάντα ἐφορῶντος ὀφθαλμοῦ τοῦ Θεοῦ γιγνωσκόμενος. Εἴη δὲ καὶ τὸ ὑποκριτικὸν τοῦ διαβόλου δηλοῦν τὸ ῥητόν, «μετασχηματιζομένου» μὲν «εἰς ἄγγελον φωτὸς»[4] καὶ ταῦτα λανθάνοντος τοὺς γεννητούς, Θεὸν δὲ μὴ δυναμένου λαθεῖν τὸν πάντων γενεσιάρχην καὶ τὸν «δι' οὗ τὰ πάντα»[5] καὶ τὸ Ἅγιον Πνεῦμα· τῆς γὰρ αὐτῆς οὐσίας ἡ Τριάς. Ὡς γὰρ περὶ τοῦ Λόγου εἴρηται ὡς «κριτικός ἐστιν ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας καὶ οὐκ ἔστιν κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ· πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ»[6], οὕτω καὶ περὶ τοῦ Πνεύματος· «τὸ γὰρ Πνεῦμα πάντα ἐρευνᾷ»[7]. Καὶ περὶ Πατρὸς πρὸς τῶν ἀποστόλων εἴρηται· «σὺ Κύριε καρδιογνῶστα πάντων»[8].

Καὶ εἰκότως μόνης τῆς θεότητός ἐστι τὸ τὰς διανοίας ὁρᾶν. Εἰ γὰρ ἦν καὶ τοῖς γεννητοῖς τοῦτο δῆλον μὴ ἔχουσιν Θεοῦ ἀγαθότητα, ἠλλοτριοῦντο ἂν τῶν **64** ἁμαρτανόντων ὡς μὴ ἐπικουρεῖν αὐτοῖς ἀλλ' ἀποστρέφεσθαι διὰ τὸ μέγεθος τῶν κακῶν εὐλαβούμενοι, μὴ συνκινδυνεύσωσιν ὑπὲρ τοιούτων πρεσβεύοντες. Εἰ δὲ καὶ ἔκ τινων τεκμηρίων κατελάμβανον τὴν τοῦ διαβόλου πρόθεσιν, ἀλλὰ γοῦν, ἐπεὶ καὶ αὐτοὶ «παρεστήκασ⟨ι⟩ν ἐνώπιον τοῦ Κυρίου»[9] ἐλθόντος καὶ τοῦ διαβόλου μετ' αὐτῶν μεθ' ὑποκρίσεως, εἰκότως Θεῷ τὴν περὶ τῆς παραστάσεως αὐτοῦ κρίσιν συνενέβαλον, ὃ καὶ γέγονεν. Αὐτὸς γὰρ ὁ Θεὸς πρὸς αὐτὸν τὰ ἑξῆς φησιν.

«Καὶ εἶπεν ὁ Κύριος τῷ διαβόλῳ· πόθεν παραγέγονας;»[10].

Τοῦ⟨το⟩ εἶπεν αὐτῷ, ὅπως ἀκούοντες νοήσωμεν τό· «πόθεν παραγέγονας;»[11]. Οὗτοι οἱ ἄγγελοι οἱ ἡμέτεροι ὑπηρεσίας θείας πρὸς ἐμοῦ ποιεῖν προσταττόμενοι ταύτας ἐκτελοῦντες παρεστήκασίν μοι αὐτὸ τοῦτο ἀντὶ παραστάσεως ἐνεργοῦντες — οὐ γὰρ τοπικὴ τούτων παράστασις· σὺ δὲ πόθεν; Οὐ γὰρ ὑπάρχεις λειτουργὸς ἐμός. «Πόθεν» οὖν «παραγέγονας;»[12] **66** Ὅμοιον τούτῳ ἐκλήμψῃ τὸ εἰρημένον πρὸς τὸν

---

1. Ἰὼβ 1,6. 2. Ἔνθ' ἀν. 3. Ἔνθ' ἀν. 4. Πρβλ. Β' Κορ. 11,14. 5. Πρβλ. Ἰω. 1,3. 6. Ἑβρ. 4,12-13. 7. Α' Κορ. 2,10. 8. Πράξ. 1,24. 9. Πρβλ. Ἰὼβ 1,6. 10. Ἰὼβ 1,7. 11. Ἔνθ' ἀν. 12. Ἔνθ' ἀν.

Ἀδὰμ ὑπὸ Θεοῦ· «Ἀδάμ, ποῦ εἶ;»[1]. Ἦν ἐλεγκτικὸν τῆς ματαίας κινήσεως τοῦ διαβόλου τό· «πόθεν παραγέγονας;»[2].

«Καὶ ἀποκριθεὶς ὁ διάβολος τῷ Κυρίῳ εἶπεν· περιελθὼν τὴν γῆν καὶ ἐνπεριπατήσας τὴν ὑπ' οὐρανὸν πάρειμι»[3].

Εἰ ἦν ἐνθύμησις τοῦ διαβόλου ἡ πρὸς τὴν ὑπὸ Θεοῦ ἐρώτησιν συστᾶσα ἐν αὐτῷ ἀπόκρισις, αὐτοῦ ἂν εἴη πρὸς τοῦ Θεοῦ ὁρωμένη. Ὁ μὲν γὰρ Θεὸς βουλόμενος λαλῆσαι γεννητῷ τὸ ἑαυτοῦ βούλημα τῇ ἐκείνου ἐντίθησι διανοίᾳ. Διάβολος δὲ ἀποκρινόμενος τῷ Κυρίῳ οὐχ οὕτως ἀλλ' ὡς προαιρεῖται ἀποκρίνεσθαι λέγεται. Τίς δὲ αὐτοῦ ἡ ἀπόκρισις, ἴδωμεν. «Περιελθών», φησίν, «τὴν γῆν καὶ ἐνπεριπατήσας τὴν ὑπ' οὐρανὸν πάρειμι»[4]. Οὐ δεῖ ξενίζεσθαι, εἰ λεπτὸν ὑπάρχων πνεῦμα διέβη τοὺς προειρημένους τόπους. Καὶ γὰρ οὐδ' ὁ Θε**68**ὸς ὡς ψευδόμενον αὐτὸν ἤλεγξεν. Εὖ δὲ καὶ τὸ «περιελθών». Οὐ γὰρ περιέχων. Περιέρχεται δὲ ὡς «ἀν⟨τί⟩δικος ζητῶν τίνα καταπίῃ»[5], ὅπως τοὺς μὲν ταῖς ὑποβολαῖς αὐτοῦ ταῖς πονηραῖς πειθομένους ἑλκύσῃ, τοὺς δ' ἀντιτείνοντας ἐξαιτήσηται, ὅπερ καὶ ἐπὶ τοῦ Ἰὼβ γεγένηται. Ὅθεν οὐ βιάζεται οὐ⟨δὲ⟩ παρὰ δύναμιν ἡμῖν ἐπέρχεται. Ὡς γὰρ δυναμένοις ἀντιστῆναι προστάττεται· «ἀντιστῆτε στερεοὶ τῇ πίστει»[6], καί· «ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σέ, τόπον σου μὴ ἀφῇς»[7]. Ὅτι δὲ καὶ τὴν δύναμιν παρέχει ὁ Θεὸς εἴρηται, ὃς δώσει καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν»[8]. Σημειωτέον, δέ, ὅτι διάφοροι τόποι ἡ γῆ καὶ ἡ ὑπ' οὐρανόν εἰσιν, τῆς μὲν γῆς ὑπὸ τὸν οὐρανὸν οὔσης, τῶν δὲ ὑπ' οὐρανὸν τόπων οὐ πάντως γῆς ὑπαρχόντων. Κἀκείνους δὲ περιήει **70** τοὺς τόπους διάβολος ἐνευφραινόμενος «τοῖς πνευματικοῖς τῆς πονηρίας»[9] δαίμοσιν. Τούτους οὖν, φησίν, περιελθὼν πάρειμι, ὅπερ νοητέον οὕτως ὅτι· διὰ πάντων τούτων ἐλθὼν καὶ εὑρὼν τὸν μακάριον Ἰὼβ μὴ δυνάμενον δέξασθαί τι τῶν ἡμετέρων πάρειμι, ὅ ἐστι· δείκνυμι τὸ κρυπτόν μου τῷ ἀναποδράστῳ σου ὀφθαλμῷ βουλόμενο⟨ς⟩ αὐτὸν ἐξαιτήσασθαι.

«Καὶ εἶπεν αὐτῷ ὁ Κύριος· προσέσχες οὖν τῇ διανοίᾳ σου κατὰ τοῦ παιδός μου Ἰώβ, ὅτι οὐκ ἔστιν κατ' αὐτὸν τῶν ἐπὶ τῆς γῆς ἄνθρωπος ἄμεμπτος, ἀληθινός, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος»[10].

Τό· εἶπεν ὁ Κύριος τῷ διαβόλῳ ὡσαύτως τοῖς φθάσασιν ἐκλημπτέον, οὐκ ἀπεμφαίνοντος, εἰ ὅπερ ὁ Θεὸς βούλεται νοῆσαι τὸν διά-

---

1. Γεν. 3,9. 2. Ἰὼβ 1,7. 3. Ἔνθ' ἀν. 4. Ἔνθ' ἀν. 5. Α' Πέτρ. 5,8. 6. Α' Πέτρ. 5,9. 7. Ἐκκλ. 10,4. 8. Α' Κορ. 10,13. 9. Πρβλ. Ἐφ. 6,12. 10. Ἰὼβ 1,8.

βολον, ἐνιῆται πρὸς ἔλεγχον αὐτοῦ χαλεπώτατον, ὅτι οὐ παρῆκεν ὁ Θεὸς διανοούμενος. Οὐ γὰρ ἀγνοητέον ⟨μὴ⟩ εἰκαίαν εἶναι τὴν τοῦ Θεοῦ πρὸς τὸν διάβολον ὁμιλίαν· οὐδὲ⟨ν⟩ γὰρ παρὰ τῷ τὰ ὅλα συστησαμένῳ εἰκαῖον, ἀλλὰ **72** καὶ τοῦτο πρὸς τὸ συμφέρον, ὅπως καταισχύνηται τῇ τοῦ δικαίου καὶ ἀμέμπτου ἀνδρὸς παραθέσει. «Παῖδα» τὸν Ἰὼβ ὁ Κύριος κέκληκεν[1] κατ' ἀμφότερα τὰ σημαινόμενα· καὶ γὰρ θεράπων αὐτοῦ ὑπῆρχεν κατὰ τὸ εἰρημένον πρὸς τοῦ ψαλμῳδοῦ· «ἐγὼ δοῦλος σὸς καὶ υἱὸς τῆς παιδίσκης σου»[2], καὶ υἱὸς ἀπὸ τῆς θεραπείας καὶ γνησίας δουλείας τῆς τοῦ Πνεύματος ἀξιωθεὶς χάριτος, καὶ λέγων καὶ αὐτὸς κατὰ τὸν σοφὸν Παῦλον· «αὐτὸ τὸ Πνεῦμα συνμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα Θεοῦ»[3]. «Ὁ» γὰρ «ποιῶν τὴν δικαιοσύνην ἐκ τοῦ Θεοῦ γεγένηται»[4]. Ἐμφατικὸν δὲ καὶ τοῦ λογικὸν εἶναι τὸν διάβολον τὸ ῥηθῆναι· «προσέσχες τῇ διανοίᾳ σου»[5]· λογικοῦ γὰρ οἰκεῖον τὸ διανοεῖσθαι. Οὐκ ἐνταῦθα δὲ μόνον τοῦτο περὶ τοῦ διαβόλου εἴρηται, ἀλλὰ καὶ ἐν τῷ· «σὺ δὲ εἶπας ἐν τῇ διανοίᾳ σου· εἰς τὸν οὐρανὸν ἀναβήσομαι»[6], ὅπερ ὡς εἴρηται παραστατικόν ἐστι τοῦ λογικὸν αὐτὸν εἶναι. [Γίνεται δὲ] Εἰ δὲ τὸ διανοεῖσθαι ἐπ' αὐτοῦ ⟨γίνεται⟩, ζητητέον, μὴ ἄρα καὶ τὸ μετανοεῖν. **74** Μετὰ γὰρ τὸ νοεῖν τὸ διανοεῖσθαι καὶ τὸ μετανοεῖν. Καὶ ὡς ἐν τῇ βουλήσει αὐτοῦ κεῖται τὸ διανοεῖσθαι, μήποτε καὶ τὸ μετανοεῖν. Ὁ δὲ ταῦτα μὴ διδοὺς ὁράτω, μὴ τὸν Θεὸν αἴτιον τῆς κακίας αὐτοῦ λάθῃ τιθέμενος — εἰ γὰρ οὐ κέκτηται λόγον καὶ νοῦν. Εἰ δὲ καὶ ἐξήλλακται κατά τι, ἀλλὰ τῷ λογικὸς εἶναι κοινωνεῖ τοῖς ταύτης οὖσι φύσεως. Εἰ γὰρ καὶ ἄνθρωποι θνητοί, ἀλλ' οὐ κατὰ τὸ θνητὸν τὴν κοινωνίαν εἶναί φαμεν, ἀλλὰ κατὰ τὸ λογικόν, ὅπερ κοινὸν καὶ ἀθανάτοις καὶ θνητοῖς ὑπάρχει. Καὶ τὸ διανοεῖσθαι δὲ οὐ μόνοις σπουδαίοις ἢ μόνοις φαύλοις πρόσεστιν. Ὡς γὰρ τὸ αἰσθήσει χρῆσθαι καὶ σπουδαίῳ καὶ φαύλῳ κοινόν, ὅπερ ὁ μὲν σπουδαῖος καλῶς μεθοδεύων οὐ κέχρηται αὐτῷ κατὰ τὸν φαῦλον ἀναβλέποντα εἰς **76** τὸν οὐρανὸν καὶ θεοποιοῦντα τοῦτον, οὕτω καὶ τὸ διανοεῖσθαι· ἐν σπουδαίῳ καὶ φαύλῳ εὑρισκόμενον κατὰ τὴν χρῆσιν ἐξήλλακται.

«Προσέσχες οὖν», φησί, «τῇ διανοίᾳ σου κατὰ τοῦ παιδός μου Ἰώβ, ὅτι οὐκ ἔστι κατ' αὐτὸν τῶν ἐπὶ τῆς γῆς»[7].

Οὐ μάτην δὴ πρόσκειται· «τῶν ἐπὶ γῆς»[8]. Εἰσὶν γὰρ κατ' αὐτὸν καὶ ὑπὲρ αὐτὸν λογικὰ ὑπὲρ γῆν τυγχάνοντα. Οὐ γὰρ ταὐτὸν τὸ εἰπεῖν· 'οὐκ ἔστιν κατ' αὐτόν' τῷ εἰπεῖν· «οὐκ ἔστιν κατ' αὐτὸν τῶν ἐπὶ τῆς γῆς»[9]. Πῶς γὰρ οὐχ ὑπερβάλλων ἅπαντας τοὺς ἐπὶ γῆς ἐτύγχανε τοῦ Θεοῦ τῶν ὅλων αὐτῷ μαρτυροῦντος ἐν τῷ· «ἄνθρωπος ἄμεμπτος, ἀληθινός, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος»[10]. Ἀπέχεται δὲ κυρίως **78** κακίας ὁ πεφυκὼς αὐτὴν δέχεσθαι. Τότε γὰρ

---

1. Πρβλ. Ἰὼβ 1,8. 2. Ψαλ. 115,7. 3. Ρωμ. 8,16. 4. Πρβλ. Α' Ἰω. 2,29. 5. Ἰὼβ 1,8. 6. Ἡσ. 14,13. 7. Ἰὼβ 1,8. 8. Ἔνθ' ἀν. 9. Ἔνθ' ἀν. 10. Ἔνθ' ἀν.

καὶ ὁ ἔπαινος χώραν ἔχει, ὅτ⟨ε⟩ δυνάμενος εἶναι φαῦλος ἀπέχεται κακίας μίσει τῷ πρὸς αὐτήν. Οὐ γὰρ πᾶς ὁ μὴ χρώμενος κακίᾳ ἀπέχεσθαι ταύτης λέγεται· τὰ γὰρ βρέφη ταύτῃ μὴ χρώμενα οὐκ ἂν εἴποι τις κυρίως ἀπέχεσθαι κακίας· ὁ γὰρ τοῦτο ἐνεργῶν κρίσει καὶ λόγῳ τοῦτο ποιεῖ. Τὰ δὲ κακίας καὶ ἀρετῆς αἰτεῖ ἐπιτηδειότητα. Καὶ οὐκ ἄν τις εἴποι τὸ βρέφος ἀκολασίας ἀπέχεσθαι ἢ σωφρονεῖν· οὔπω γὰρ εἰς τὴν τούτων ἥκει διάκρισιν. Διαλαβόντες δὲ περὶ τούτων ἐν τοῖς φθάσασιν, ὅτε καὶ τὰ ἀπὸ τοῦ πρώτου ψαλμοῦ παρετιθέμεθα, εἶναι κατ' αὐτὸν θεοσεβῆ ταῦτα ἠλέγξαμεν. 'Εκεῖνος γὰρ τῷ ὄντι θεοσεβής ἐστιν ὁ τὸν σεβασμοῦ βίον σέβων, τῶν τὰ μὴ σεπτὰ σεβομένων ἀσεβῶν τυγχανόντων. Πρόσεστι δὲ τῷ μακαρίῳ καὶ τὸ «ἀληθινὸν»[1] κατά τε θεωρίαν τῆς ἀληθείας καὶ τὸ ἐν τοῖς ἠθικοῖς ἀνυπόκριτον· οὐ γὰρ ὁ διά τι τὴν ἀρετὴν ἐπιτηδεύων ἀληθινός ἐστιν.

«'Απεκρίθη δὲ ὁ διάβολος καὶ εἶπεν ἐναντίον τοῦ Κυρίου»[2].

Δυνατὸν πιθανῶς εἰπεῖν εἰς τό· «ἐναντίον τοῦ Κυρίου»[3], ὅτι ἐναντίως τῇ μαρτυρίᾳ τοῦ Θεοῦ εἶπεν φιλόκακος ὢν ἢ ὅτι θρασέως ἐνενόησεν· ἀναίσχυντον γὰρ ἡ κακία. Οὕτω γοῦν καὶ ἃ ἐπιφέρει ἀπὸ φιλοκάκου γνώμης προφέρει τῆς τοῦ δικαίου ἐλαττωτικὰ ἀρετῆς. Τί γάρ φησιν;

«Μὴ δωρεὰν σέβεται 'Ιὼβ τὸν Κύριον; Οὐ σὺ περιέφραξας τὰ ἔξω αὐτοῦ καὶ τὰ ἔσω τῆς οἰκίας αὐτοῦ καὶ τὰ ἔξω πάντων τῶν ὄντων αὐτῷ κύκλῳ; Τὰ ἔργα τῶν χειρῶν αὐτοῦ εὐλόγησας καὶ τὰ κτήνη αὐτοῦ πολλὰ ἐποίησας ἐπὶ τῆς γῆς»[4].

"Ιδιον τῶν φιλοκάκων καὶ πρὸς ἀρετὴν ἀπεχθανομένων τὸ μὴ λογίζεσθαι γνήσια τὰ καλὰ τῶν πέλας, ἀλλὰ πάντως λέγειν, ὡς ὅδε τις δίκαιός ἐστιν δι' ἀδυναμίαν τοῦ ἀδικεῖν, ὅδε τις 82 σώφρων ⟨διὰ⟩ τὴν καλουμένην ἠλιθιότητα, ὅδε πρὸς χρήματα καὶ πορισμοὺς οὐκ ἔχει διὰ τὸ πρὸς ταῦτα ἀνεπιτήδειον, ἐσθότε καὶ τὸν πρᾶον ὑποκριτὴν λογιζομένο⟨υ⟩ς, καὶ ὅλως οὐδεὶς φαῦλος ἀποδέχεταί τινος ἀρετὴν ὡς γνησί⟨α⟩ν. Ταύτης ἀρχηγὸς ὢν τῆς κακίας ὁ διάβολος τοιαῦτα ἐνοῶν περὶ τοῦ 'Ιὼβ ἐφανέρου αὐτὰ τῷ τὸ κρυπτὸν ἐπισταμένῳ λέγων, ὡς διὰ τὰ ἐκτὸς ἀγαθὰ δίκαιός ἐστιν ὁ 'Ιώβ. Τὸ δὲ «περιέφραξας» ἀντὶ ἀσφαλείας αὐτῷ εἴρηται ἔμφασιν παρέχοντος, ὡς διὰ ταῦτα ἀκαθαίρετός ἐστιν καὶ ἔφοδον οὐκ ἔχει, τὴν πληθὺν τῶν ἀδιαφόρων αἰτίαν αὐτῷ τῆς ἀρετῆς εἶναι λογιζόμενος, ὅπερ οὐ καλῶς λέγων ἠλέγχθη. Καὶ τούτων γὰρ ἀφαιρεθεὶς ἔμεινεν ὁμοίως ἀήτ⟨τη⟩τος. Καὶ τῷ ὄντι

---

1. Πρβλ. 'Ιὼβ 1,8. 2. 'Ιὼβ 1,9. 3. "Ενθ' ἀν. 4. 'Ιὼβ 1,9-10.

πλούτου περιουσία πρὸς μὲν τὸν καλῶς αὐτῇ χρώμενον συντελεῖ τι πρὸς ἀρετήν, αὐτὴ δὲ καθ' αὑτὴν οὐδὲν εἰς τοῦτο συμβάλλεται. Καὶ ἔδειξεν ὁ μακάριος Ἰὼβ καὶ ἐν πενίᾳ καὶ ἐν πλούτῳ τὴν ἀρετὴν ἀδιάστροφον.

«Ἀλλὰ ἀπόστειλον τὴν **84** χεῖρά σου καὶ ἄψαι πάντων ὧν ἔχει· εἰ μὴν εἰς πρόσωπόν σε εὐλογήσει»[1].

Χεῖρα αὐτοῦ καλεῖν ἐκλημπτέον [α] διαφόρως ἢ τὴν κολαστικὴν καὶ εἰς τοῦτο ὑπηρετικὴν δύναμιν, ἅπερ «σκεύη ὀργῆς»[2] ἡ θεία Γραφὴ ὀνομάζειν εἴωθεν, ἢ τὴν σκεπαστικὴν καὶ φρουρητικὴν δύναμιν, καθὸ εἴρηται· «οὐδεὶς δύναται ἁρπάσαι ἐκ τῆς χειρὸς τοῦ Πατρός μου»[3]. Δυνατὸν καὶ τὸν Υἱὸν εἰς χεῖρα παραλαβεῖν σκέπουσαν καὶ στηρίζουσαν τοὺς ὑπ' αὐτὴν ὄντας καθὸ εἴρηται· «δεξιὰ Κυρίου ὕψωσέν με, δεξιὰ Κυρίου ἐποίησεν δύναμιν»[4]. Τὸ δὲ «ἅψαι»[5] μήποτε σημαίνει ἐνταῦθα τὸ κάθαψαι ἀντὶ τοῦ· ἐπάγαγε θλιβηρά. Ἔχομεν γὰρ τοῦτο συνήθως ἐν τῇ Γραφῇ φερόμενον. Τὸ γάρ· «μὴ ἅψεσθε τῶν χριστῶν μου»[6] οὐ τὴν ἁπλῆν ἁφὴν ἀπαγορεύει, ἀλλὰ τὴν κατὰ τῶν ἁγίων τόλμαν ἐπὶ κακώσει. Καὶ τό· «ὁ ἁπτόμενος ὑμῶν ὡς ὁ ἁπτόμενος τῆς κόρης τοῦ ὀφθαλμοῦ αὐτοῦ»[7] ὁμοίως τὸν ἐπὶ τοῦ κακοῦν ἁπτόμενον σημαίνει. Εἰ δὲ καὶ ἀποστάτης ὁ διά**86**βολος γέγονεν καὶ «ἐνώπιον Κυρίου παντοκράτορος ἐτραχηλίασεν»[8], ἀλλ' οὖν ἔχει τι σέβας πρὸς τὸν δημιουργὸν τῶν ὅλων. Φησὶν γάρ· «εἰ μ⟨ὴ⟩ν εἰς πρόσωπόν σε εὐλογήσει»[9], ἀντὶ τοῦ καταρ⟨ά⟩σ⟨ε⟩ται ἢ βλασφημήσει ταύτῃ τῇ λέξει χρώμενος, ὅπως μὴ πρὸς Θεὸν τὴν τραχυτέραν προσενέγκηται, ὡς προείρηται προφέρ⟨ω⟩ν.

«Τότε εἶπεν ὁ Κύριος τῷ διαβόλῳ· ἰδοὺ ⟨πάντα ὅσα ἔστιν αὐτῷ δίδωμι ἐν τῇ χειρί σου⟩, ἀλλ' αὐτοῦ μὴ ἅψῃ»[10].

Τὰ ἐκκείμενα παραστατικὰ τυγχάνει τοῦ μὴ . . . χωρὶς θείας συνχωρήσεως ὑποπίπτειν τινὰ πειρασμοῖς. Φησὶν γὰρ ὁ Θεός· «ἰδοὺ δέδωκα πάντα ἐν τῇ χειρί σου»[11]. Ἵνα δὲ φανερὸν γένηται, ὅτι μέτρῳ καὶ τὴν συνχώρησιν ποιεῖται, ἐπιφέρεται· «ἀλλ' αὐτοῦ μὴ ἅψῃ»[12]. Ὅθεν οὔτε εἱμαρμ⟨έ⟩νῃ αἱ περιστάσεις συμβαίνουσιν οὔτε ἐκ ταὐτομάτου, ἀλλ' ἐκ τῆς τοῦ Θεοῦ συνχωρήσεως, κατὰ μὲν τὰ ἤδη προκείμενα ἐπὶ ἀποδείξει τῆς ἀρετῆς τοῦ Ἰώβ, ἐσθότε καὶ καθ' ἑτέρας αἰτίας, περὶ ὧν ἐν τοῖς ἐπο**88**μένοις εἰρηθήσεται.

---

1. Ἰὼβ 1,11. 2. Ἱερ. 27,25. Ρωμ. 9,22. 3. Ἰω. 10,29. 4. Ψαλ. 117,16. 5. Ἰὼβ 1,11. 6. Ψαλ. 104,15. 7. Ζαχ. 2,12. 8. Πρβλ. Ἰὼβ 15,25. 9. Ἰὼβ 1,11. 10. Ἰὼβ 1,12. 11. Πρβλ. ἔνθ' ἀν. 12. Ἰὼβ 1,12.

«Καὶ ἐξῆλθεν ὁ διάβολος ἀπὸ τοῦ Κυρίου»[1].

Κυριολεκτεῖται μᾶλλον ἐπὶ τοῦ διαβόλου, ὅτι ἔξω γίνεται τοῦ Κυρίου, ὑπὲρ τὸν Κάιν. Καὶ γὰρ περὶ ἐκείνου εἴρηται· «ἐξῆλθεν γὰρ Κάιν ἀπὸ προσώπου Κυρίου τοῦ Θεοῦ»[2]. Τὸ δὲ ἐξελθεῖν τὸ ἀφάνταστον Θεοῦ εἶναι αὐτὸν σημαίνει. Καὶ οὗτος οὖν ἔξεισιν ἀεὶ τῶν ἔξω τυγχάνων, εἰ καὶ προσποιήτως ἦλθεν μετὰ τῶν παραστατῶν τοῦ Θεοῦ.

«Καὶ ἦν ὡς ἡ ἡμέρα αὕτη, οἱ υἱοὶ Ἰὼβ καὶ αἱ θυγατέρες αὐτοῦ ἔπινον οἶνον ἐν τῇ οἰκίᾳ τοῦ ἀδελφοῦ αὐτῶν τοῦ πρεσβυτέρου»[3].

Ἀκολούθως καὶ τῆς ἡμέρας μνημονεύει καὶ τῆς συνηλύσεως τῶν τέκνων, ἵν' οὕτω καὶ τὸ τοῦ θανάτου αὐτῶν γένηται πιστὸν ἀθρόως ὑφ' ἕνα καιρὸν ὑπὸ τὴν πτῶσιν τῆς οἰκίας ἀποθανόντων. Κ.ταχι$^{\tau\varepsilon}_{.\alpha}$ ἐν τῇ συνηθείᾳ πολλάκις .γραφη, τῶν πολλῶν ὡς γὰρ ἐπὶ τὸ πλεῖ**90**στον τοὺς συνερχομένους εἰς τοιαύτας συνόδους πίνειν οἰομένων, οὐ μόνον πινόντων δ' αὐτῶν ἀλλὰ καὶ ἐσθιόντων καὶ λεγόντων ὡς ἐν συνελεύσει. Καὶ κατ' ἀλληγορίαν τὰ προκείμενα συνεπίσκεψαι, μήποτε «οἶνον» τὸν «εὐφραίνοντα καρδίαν ἀνθρώπου»[4] ἐποτίζοντο παρὰ τοῦ πρεσβυτέρου ἀδελφοῦ καταρχομένου τῆς θείας παιδεύσεως.

«Καὶ ἰδοὺ ἄγγελος ἦλθεν πρὸς Ἰὼβ καὶ εἶπεν αὐτῷ· τὰ ζεύγη τῶν βοῶν ἠροτρία καὶ αἱ θήλειαι ὄνοι ἐβόσκοντο ἐχόμενα⟨ι⟩ αὐτῶν. Καὶ ἐλθόντες οἱ αἰχμαλωτεύοντες ἠχμαλώ⟨τευ⟩σαν αὐτοὺς καὶ τοὺς παῖδας ἀπέκτειναν ἐν μαχαίραις. Σωθεὶς δὲ ἐγὼ μόνος ἦλθον τοῦ ἀναγγεῖλαί σοι»[5].

Παρίσταται διὰ τούτων, ὡς τὰ τῆς ἐφόδου ἐν ἡμέρᾳ συνέστη· «ἠροτρία» γὰρ «τὰ ζεύγη τῶν βοῶν καὶ αἱ ὄνοι ἐχόμενα⟨ι⟩ ἐβόσκοντο»[6]. Ἄγγελον δὲ τὸν ἀγγέλοντα ἐκδε⟨κ⟩τέον καθὰ **92** καὶ ἐν ταῖς Βασιλείαις ἀναγέγραπται. Κατανοεῖν δὲ ἄξιον, ὅπως τὰ τῆς ἀπαγγ⟨ε⟩λίας ἀθρόως γεγενημένα καὶ ἐκ τῆς διηγήσεως ἔχει τὸ βαρὺ καὶ πρὸς λύπην ὑπερβάλλουσαν ἐπιρρεπές· ἀροτριῶντα γὰρ τὰ ζεύγη τῶν βοῶν αἰχμαλωτευθέντα διπλοῦν ἐργάζεται τὸ λυπηρόν, καὶ ἐκ τῆς τῶν ζῴων ζημίας προσαφαιρεθεισῶν καὶ τῶν νομάδων ὄνων, αἵτινες οὐ βραχείαν πρόσοδον παρεῖχον, καὶ ἐκ τῆς τῶν προσδοκωμένων ἐκ τῆς κατασπορᾶς πόρου τε καὶ περιουσίας προσθήκης. Ἀνίας ὑπερβαλλούσης καὶ ἦν ἡ τῶν παίδων ὑπὸ τῶν αἰχμαλωτιζόντων σφαγὴ μετὰ τῶν ἄλλων

---

1. Ἰὼβ 1,12. 2. Πρβλ. Γεν. 4,16. 3. Ἰὼβ 1,13. 4. Πρβλ. Ψαλ. 103,15. 5. Ἰὼβ 1,14-15. 6. Πρβλ. Ἰὼβ 1,14.

ἀπαγγελθεῖσα. Ἱκανὰ μὲν οὖν, εἰ καὶ ψευδῶς ἀπηγγέλλετο, ἀθρόως ταράξαι. Καὶ ὅμως χαλεπῶν τῶν συμβάντων ὑπαρχόντων οὐδὲν ἐταράχθη ὁ ἅγιος. Εἴρηται ἐν ἑνὶ τῶν ψαλμῶν περὶ ἁγίου· «ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται· ἑτοίμη ἡ καρδία αὐτοῦ ἐλπίζει⟨ν⟩ ἐπὶ τὸν Κύριον»[1]. Εἰ δὲ καὶ κατὰ τὸν μακάριον Παῦλον ⟨εἶπεν⟩· «τίς χωρίσει τὸν πιστὸν ἀπὸ τῆς ἀγάπη⟨ς⟩ Θεοῦ; Οὐ **94** θλῖψις ἢ στενοχωρία, οὐ διωγμός, οὐ λιμὸς ἢ μάχαιρα»[2], ἀκολούθως ὁ ἀνδρειότατος Ἰὼβ ἀχώριστος τῆς τοῦ Κυρίου ἀγάπης διετέλεσεν, τῶν τοσούτων ἐπιπόνων ἐπιρρηξάντων. Καὶ γὰρ εἴποι τις ἄν, ὡς δυνατὸν ἦν τῶν ἀλόγων καταφρονῆσαι καὶ τῆς ἐξ αὐτῶν ἐργασίας. Τὸ δὲ καὶ περὶ τῆς σφαγῆς τῶν παίδων ἀκηκοέναι καὶ ἀνδρείως ἐνεγκεῖν τοῦτο διαδείκνυσιν τὴν ἀνδρειαν τοῦ ἁγίου καὶ καρτερίαν. Παρατηρητέον δέ, μήποτε καὶ ὁ διασωθεὶς μόνος, ἵνα ἀπαγγείλῃ, πρὸς πλείονα πειρασμὸν ἐσώζετο. Εἰ γὰρ ἀνήκουστος ἦν διατελέσας τῶν συμβεβηκότων ὁ Ἰὼβ ἄχρι τῆς ἑλκώσεως τοῦ ἰδίου σώματος, τῶν μειζόνων ἀνιαρῶν παρόντων οὐχ οὕτως ἦσαν ἀηδῆ τὰ ἐλάττονα.

«Ἔτι τούτου λαλοῦντος ἦλθεν ἕτερος ἄγγελος καὶ εἶπεν πρὸς Ἰώβ· πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ καὶ κατέκαυσεν τὰ πρόβατα καὶ τοὺς ποιμένας κατέφαγεν ὁμοίως. Καὶ σωθεὶς ἐγὼ μόνος ἦλθον τοῦ ἀναγγεῖλαί σοι»[3].

Τὸ ἀλλεπάλληλον τῆς τῶν ἀνιαρῶν ἀπαγγελίας τὴν περιττὴν καὶ θαυ**96**μάσιον ἀνδρείαν τοῦ μακαρίου παρίστησιν. Ὅρα γὰρ τὴν παρατήρησιν, ὡς «ἔτι λαλοῦντος»[4] τοῦ τὰ πρότερα ἀπαγγέλλοντος ὁ δεύτερος ἐπιστὰς οὐ πρὸς θεραπείαν αὐτῶν ἐπέστη, ἀλλὰ πρὸς ἐπίτασιν ἀπαγγέλλων χαλεπώτερα, εἰωθότος τοῦ τοιούτου τρόπου τῆς τῶν ἀνιαρῶν ἀπαγγελίας ἀντιπεριάγειν τὸν λογισμὸν καὶ θολοῦν οὕτω καὶ ἐκταράττειν, ὡς ἔξω τῆς πρεπούσης καταστάσεως ποιεῖν πρὸς τὰ διάφορα τῶν λυπηρῶν περιελκόμενον. Ἀλλ' ὁ ἅγιος οὐκ ἦ⟨ν⟩ τοιοῦτος. Ἀλλ' ὡς ἄρρηκτον τεῖχος πλείστων ὅσων ἐπιρραξάντων τῶν ἐλεῖν αὐτὸ δυναμένων ἔμεινεν ὁμοίως ἀκλόνητον, οὕτως ὁ ἅγιος Ἰὼβ «ἐπὶ τὴν» σωτήριον «πέτραν» ἔχων «τὸν θεμέλιον» ἐπελθόντων ⟨τῶν⟩ πειρασμῶν οὐκ ἐκλονήθη[5]. Ἄξιον δὲ θεάσασθαι καὶ τὰ τῆς ἀπαγγελίας τοῦ δευτέρου, πῶς εἰς ἐπίτασιν ἐγείρει τὴν ἀνίαν. «Πῦρ», φησίν, «ἔπεσεν ἐκ τοῦ οὐρανοῦ καὶ κατέκαυσεν τὰ πρόβατα καὶ **98** τοὺς ποιμένας ἔφαγεν ὁμοίως»[6].

Εἰ γὰρ καὶ ὁ ἅγιος τὰ δόγματα τῆς ἀληθείας ἠκριβωκὼς ἐγίγνωσκεν, ὡς οὐκ ἄνευ Θεοῦ ἡ τῶν πειρασμῶν ἐπιτροπὴ γέγονεν, ἀλλὰ

---

1. Ψαλ. 111,7. 2. Πρβλ. Ρωμ. 8,35. 3. Ψαλ. 1,16. 4. Ἔνθ' ἀν. 5. Πρβλ. Λουκ. 6,48. 6. Ἰὼβ 1,16.

μεγίστην αὐτῷ ἔφερεν τὸ γιγνόμενον λύπην διὰ τοὺς σκανδαλιζομένους ὡς καὶ Θεοῦ κατ' αὐτοῦ χωροῦντος. Τὸ γὰρ τοὺς αἰχμαλωτίζοντας ἐπελθόντας ἀφαιρῆσαί τε τὰ κτήνη καὶ τοὺς παῖδας κατασφάξαι ἐδύν⟨α⟩ντο λογίζεσθαι οἱ ἁπλούστεροι, ὡς νόμῳ πολεμίων ἐπελθόντων τῶν αἰχμαλωτιζόντων ἀταξίᾳ καὶ πρὸς ἔχθραν τοῦτο ποιούντων οὐκ ἀπὸ Θεοῦ τὸ γιγνόμενον ἦν. Ὅτε ⟨δὲ⟩ πῦρ ἀπήγγελται ἀπ' οὐρανοῦ κατελληλυθός, δέος ἦν, μή τις λογίσηται τῶν ἀσθενῶν, ὡς οὐδὲν θαυμαστὸν ἡ ἀρετὴ καὶ παρὰ Θεοῦ τιμωρουμένου τοῦ ταύτην ἔχοντος. Ἀλλὰ καὶ τούτου συμβάντος ὁ ἅγιος οὐκ ὤκλασεν ὅλος τῆς τοῦ Θεοῦ κατανοήσεως γιγνόμενος. Οὐδὲ γὰρ ὁ διάβολος ἐξουσίαν ἔχει πῦρ ἀπ' οὐρανοῦ καταγαγεῖν, ἀλλὰ θείᾳ κρίσει τοῦτο γεγένηται, ⟨ὅ⟩πως παραστήσῃ τῷ διαβόλῳ ὁ δεδωκὼς αὐτῷ τὴν ἐξουσίαν **100** τῶν τοῦ Ἰὼβ Θεός, ὡς ὅτι οὐδενὸς μέλει τῷ μακαρίῳ τῶν ἀνθρωπίνων, κἂν πολλὰς πλέκῃ μηχανάς. Ἰδοὺ γὰρ καὶ τὸ παρ' αὐτοῦ γενέσθαι μὴ δυνάμενον ὁ Θεὸς πεποίηκεν, ἵνα τὸ μέγεθος τοῦ ἀθλητοῦ παραστήσας ἐλέγξῃ τὸν ἀντικείμενον, γενναίως φέροντος τοῦ Ἰὼβ οὐ μικράν τινα καὶ εὐτελῆ προσβολήν, ἀλλ' ἑπτακισχιλίων προβάτων φθορὰν καὶ μετὰ τῶν ποιμένων οὐ⟨κ⟩ ὀλίγων δηλονότι τυγχανόντων. Ἐφυλάττετο δὲ πάλιν ὁ μηνύων δι' ἣν προειρήκαμεν αἰτίαν.

«Ἔτι τούτου λαλοῦντος ἦλθεν ἕτερος ἄγγελος καὶ εἶπεν πρὸς Ἰώβ· οἱ ἵπποι ἐποίησαν ἡμῖν κεφαλὰς τρεῖς καὶ ἐκύκλωσαν τὰς καμήλους καὶ αἰχμαλώτισαν αὐτὰς καὶ τοὺς παῖδας ἀπέκτειναν ἐν μαχαίρᾳ. Ἐσώθην δὲ ἐγὼ μόνος καὶ ἦλθον τοῦ ἀναγγεῖλαί σοι»[1].

Ἴσως στρατόπεδον ἦν ἐν τῇ χώρᾳ, ὅπερ ἐπῆλθεν εἰς τρεῖς ἀρχὰς διηρημένον κατὰ τῶν καμήλων. Ὡς γὰρ εὔγνωστόν φησιν· «οἱ ἵπποι ἐποίησαν ἡμῖν κεφαλὰς τρεῖς»[2]. Ἐνδέχεται δὲ καὶ συνεχῆ καταδρομὴν ἱππέων πολεμί**102**ων γιγνομένην τότε καὶ ὑπὸ τῆς διαβολικῆς ὑποβολῆς κεκινῆσθαι καὶ οὕτως διὰ τὸ ἐξ ἔθους γίνεσθαι εἰρηκέναι τὸν ἀγγέλλοντα· «οἱ ἵπποι ἐποίησαν ἡμῖν κεφαλὰς τρεῖς»[3]. Οὐ μόνον τὰς καμήλους ἁφήρπασαν, ἀλλὰ καὶ τοὺς παῖδας ἀπέκτειναν.

Ἐπίστησον δέ, ὅπως ἐν τάξει τινὶ ἀνιαρωτέρα ἡ τῶν πειρασμῶν γίνεται συνέχεια. Πρῶτα μὲν γὰρ αἰχμαλωτίζεται τὰ ζεύγη τῶν βοῶν ὄντα πεντακόσια καὶ αἱ θήλειαι ὄνοι νομάδες πεντακόσιαι, ἔπειτα πῦρ κατὰ τῶν προβάτων ἑπτακισχιλίων ὄντων ἀπ' οὐρανοῦ κατενεχθὲν χαλεπώτερον ἐποίει τοῦ φθάσαντος τὸ πάθος. Τρίτον οἱ κάμηλοι τρισχίλιοι ὄντες ἁφῃρέθησαν καὶ τῶν παίδων σφαγιασθέντων ὡς καὶ ἐπὶ τῶν πρότερον, πρᾶγμα πολυτελὲς καὶ περιουσίας οὐκ εὐκαταφρονήτου γνώρισμα. Μετὰ ταῦτα τῶν τέκνων ἄθρόος θάνατος, ὡς ἐν τοῖς

1. Ἰὼβ 1,17. 2. Ἔνθ' ἀν. 3. Ἔνθ' ἀν.

ἐκτεθησομένοις ἔσται φανερόν. Καὶ γὰρ εἰ πρότερον ὁ τῶν παίδων θάνατος ἠγγέλλετο, κοῦφα πάντα ἦν τὰ φθάσαντα. Ὅτε δὲ κατ' ἐπίτασίν τινα λύ**104**πης συνέβαινεν, τὸ ἀλλεπάλληλον αὐτῶν δριμὺ καὶ ταράξαι διάνοιαν ἱκανώτερον, ὅπερ καὶ ὁ διάβολος πονηρῶς πεποίηκεν ἐξαιτησάμενος. Καὶ κατ⟨η⟩σχύνθη πρὸς μηδὲν τοῦ ἁγίου κ[ν]αμφθέντος τὸν λογισμόν.

«Ἔτι τούτου λαλοῦντος ἄλλος ἄγγελος ἔρχεται λέγων τῷ Ἰώβ· τῶν υἱῶν καὶ τῶν θυγατέρων σου ἐσθιόντων καὶ πινόντων παρὰ τῷ ἀδελφῷ αὐτῶν τῷ πρεσβυτέρῳ, ἐξαίφνης πνεῦμα μέγα ἐπῆλθεν ἐκ τῆς ἐρήμου καὶ ἥψατο τῶν τεσσάρων γωνιῶν τῆς οἰκίας καὶ ἔπεσεν ἡ οἰκία ἐπὶ τὰ παιδία σου καὶ ἐτελεύτησαν· ἐσώθην δὲ ἐγὼ μόνος καὶ ἦλθον τοῦ ἀπαγγεῖλαί σοι»[1].

Οὐ μάτην πρόσκειται τό· «τῶν υἱῶν σου καὶ τῶν θυγατέρων σου ἐσθιόντων καὶ πινόντων»[2], ἀλλὰ πρὸς ἐπίτασιν ἀνίας καὶ τοῦτο τοῦ ἀρχεκάκου διαβόλου πραγματευομένου, ἵνα ἡ τῶν [η] γεγενημένων ἀπαγγελία βαρεῖα γινομένη λύπην ὑπερβάλλουσαν τῷ ἁγίῳ ἐνποιῇ. Κοιμωμένων γὰρ τῶν τέκνων εἰ συμβεβήκει τὰ τῆς πτώσεως, ἀνεπαίσθητον τὸ δεινὸν λογι**106**ζόμενος οὐχ οὕτως ἠνιᾶτο. Ὁπότε δὲ καὶ πρὸς θεραπείαν ἀναγκαίαν τοῦ σώματος ἀναστρεφομένων ἐπῆγε τὸν πειρασμόν, τοῦτο ἔχει τὴν λύπην χαλεπωτέραν. Καὶ γὰρ οὐκ ἔστιν ἀμφίβολον, ὡς παρεστηκότες πλεῖστοι ὡς ἐν τοιούτῳ καιρῷ ἐτύγχανον, ὧν οὐκ ἐμνήσθη ὁ ἀπαγγέλ⟨λ⟩ων ἀρκούμενος τῷ ὑπερβάλλοντι τῶν τέκνων ἀηδεῖ ἔχοντι καὶ τὸ περὶ τῶν παρεστώτων ἐπόμενον. Καὶ γὰρ τὸ τοιοῦτο δι' ἔθους ἐστὶ τῇ Γραφῇ· τοῦ γὰρ Σωτῆρος τοὺς πέντε ἄρτους κλάσαντος, ἐξ ὧν ἐκόρεσεν πεντακισχιλίους ἄνδρας, ὁ Εὐαγγελιστὴς ἀπομνημονεύει λέγων· «χωρὶς γυναικῶν καὶ παιδίων»[3], τοὺς προηγουμένους μόνους ἀριθμῶν. Τί δὲ καὶ «τὸ πνεῦμά» ἐστιν τὸ «ἐπελθὸν ἐκ τῆς ἐρήμου καὶ ἁψάμενον τῶν τεσσάρων γωνιῶν τῆς οἰκίας»[4] καὶ καταβεβληκὸς αὐτήν, συνεπίσκεψαι, πότερον λαῖλαψ μεθ' ὑπερβολῆς κινηθεῖσα καὶ οὕτως ἐπιρράξασα τῇ οἰκίᾳ καὶ κατενεγκοῦσα ταύτην ἢ πνεῦμα τῷ διαβόλῳ ὑπηρετούμενον ἢ αὐτὸς ὁ διάβολος. Καὶ γὰρ οὗτος πνεῦμα **108** μέγα, πονηρόν, ἁψάμενον τῶν τεσσάρων γωνιῶν τῆς οἰκίας καὶ κατενεγκὸν αὐτήν. Καὶ γὰρ ἀμφοτέρως δυνατὸν ζητουμένου τούτου, εἰ ⟨ὁ⟩ ἀπαγγέλλων ἐδύνατο εἰδέναι, ὅτι πνεῦμα ὑπηρετούμενον τῷ διαβόλῳ ἦν τὸ τοῦτο πεποιηκὸς ἢ αὐτὸς ὁ διάβολος. Εἰ δὲ λαῖλαψ εἶναι νοοῖτο τὸ πνεῦμα, οὕτως ἂν τοῦτο εἰρῆσθαι ἐκδεκτέον ὡς τὴν κάθοδον τοῦ πυρὸς ἀπ' οὐρανοῦ κατὰ τῶν προβάτων, καὶ

---

1. Ἰὼβ 1,18-19. 2. Ἔνθ' ἀν. 3. Ματθ. 14,21. 4. Πρβλ. Ἰὼβ 1,19.

τὰ εἰς αὐτὸ εἰρημένα καὶ τούτῳ ἁρμόζοντα. Διάβολος γὰρ κινεῖν ἄνεμον οὐ δύναται. Πρόσκειται δὲ καὶ ἐπιτεθὲν τὸ ἐξαίφνης ἐμφατικὸν τοῦ μὴ δύνασθαί τινα διαδρᾶναι τῆς πτώσεως οὕτως συμβάντος τοῦ πράγματος, ἔξωθεν ἴσως τοῦ ἀγγέλλοντος εὑρεθέντος.

«Οὕτως ἀναστὰς Ἰὼβ διέρρηξεν τὰ ἱμάτια αὐτοῦ καὶ ἐκείρατο τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ, καὶ πεσὼν χαμαὶ προσεκύνησεν καὶ εἶπεν· αὐτὸς γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ. Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλατο, ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως ἐγένετο. Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον»[1].

Προλαμβάνει τὰς κακοηθείας τῶν πονηρῶν ἀνθρώπων τὸ θεῖον πνεῦμα καὶ αὐτοῦ τοῦ διαβόλου. Ἴσως γάρ τις τῶν τοιούτων ἔλεγεν, ὡς οὐκ ἦν φιλότεκνος ὁ Ἰώβ, ἐπεὶ μηδὲν συμπαθείας ἄξιον ἐπεποιήκει. Τὸ δὲ αἰσθητικὸν αὐτοῦ καὶ ἀνδρεῖον ἅμα δείκνυται, ὅτι ἐφανέρου μήτε ἀνεπαισθήτως τὸ δεινὸν τοῦ ἀθρόου καὶ οἰκτροῦ θανάτου τῶν τέκνων δεδέχθαι μήτε ἀγεννῶς· διὰ μὲν γὰρ τοῦ «διαρρῆξαι τὰ ἱμάτια καὶ κείρασθαι τὴν κεφαλήν»[2] — τούτου τοῖς παλαιοῖς γὰρ ἐπὶ τετελευτηκόσιν εἰωθότος — τὸ συμπαθὲς δείκνυσιν καὶ φιλόστοργον. Τὰ δ' ἐξῆς τῆς ἀνδρείας καὶ ὑπερβαλλούσης φρονήσεως δεῖγμα ἐκφέρει προδηλότατον, εἰ γάρ φησιν· «καὶ πεσὼν χαμαί»[3]. Οὐκ ἀπεδυσπέτησεν, οὐκ ἀφῆκε φωνὴν ἀνδρὶ συνετῷ ἀνάρμοστον, οὐ προήγαγε τὸ ῥῆμα ὀλιγωρίας, ἀλλὰ προσκυνεῖ τὸν πάντων γενεσιάρχην πεπεισμένος, ὡς οὐκ ἔξω τῆς θείας κρίσεως ταῦτα συμβαίνει καὶ συμβαίνοντα ἀπ' ἀρχῆς ἀκολούθως καὶ κατὰ λόγον τινὰ ὀρθὸν γί**112**νεται. Ἐπιφέρει γὰρ καὶ μετὰ τὸ προσκυνῆσαι· «γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ. Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλατο. Ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως ἐγένετο. Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον»[4]. Κατανόησον γάρ, ὡς μετὰ τῆς ἀνδρείας καὶ φρόνησις ἐν τῷ μακαρίῳ Ἰὼβ εὑρίσκεται, καθ' ἣν διὰ τῶν λόγων δόγματα εἰσάγει θεῖα καὶ παντὶ τῷ γένει τῶν ἀνθρώπων συμφέροντα. «Γυμνός», φησίν, «ἐξῆλθον ἐκ κοιλίας μητρός, γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ»[5]. Περὶ οὗ ἐρωτητέον τοὺς μηδὲν θεῖον περὶ τῆς ἀθανασίας τῆς ψυχῆς διανοουμένους. Ποῦ γὰρ ὁ Ἰὼβ γυμνὸς ἀπελεύσεται; Ἆρά γε ἐν τῇ κοιλίᾳ τῆς μητρός; Ἐκεῖθεν γὰρ γυμνὸς ἐξελήλυθεν κατὰ τὸ λεγόμενον. Ἀλλ' ἄπαγε τῆς ψευδοῦς ταύτης διανοίας. Ἢ δῆλον, ὅτι πρὸς διδασκαλίαν τοῦ μὴ συσπείρεσθαι τὴν ψυχήν, καθώς τισιν ἔδοξεν, τοῦτο εἴρηται. Ὅμοιον γὰρ τούτῳ καὶ ὁ μακάριος Παῦλος γράφει λέγων· «οὐδὲν γὰρ εἰσηνέγ-

---

1. Ἰὼβ 1,20-21. 2. Πρβλ. Ἰὼβ 1,20. 3. Ἔνθ' ἀν. 4. Ἰὼβ 1,21. 5. Ἔνθ' ἀν.

καμεν εἰς τὸν κόσμον, ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα»[1]. **114** Ὡς γὰρ τὸ ἐξενεγκεῖν ἐμφαίνει τὸν ἀποθανόντα ὑφεστῶτα, οὕτω ὁ μὴ εἰσενεγκὼν ὑφεστώς ἐστι καὶ ἔκ τινος χώρου εἰσέρχεται μηδὲν τοιοῦτον ἐπαγόμενος. Κἀκεῖνο δὲ δόγμα πολλοῖς ἀγνοούμενον εἰσάγει λέγων· «Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλατο»[2] μετὰ τού⟨του⟩ παριστῶν, ὡς οὐκ ἐτύγχανεν αὐτοῦ ἡ κτῆσις ἄδικος καὶ ἀπό τινος μὴ προσηκούσης ἐπικουρίας λαβοῦσα τὴν ἀρχήν.

«Κύριος πτωχίζει καὶ πλουτίζει»[3], οὐκ ἀλόγῳ τινὶ ῥοπῇ, καθὰ οἱ τὴν εἱμαρμένην εἰσάγοντες διανοοῦνται, ἀλλ' ἐπὶ τῷ γνωσθῆναι τὸν ἐν τούτοις τεινόμενον, εἰ προσηκόντως αὐτὰ φέρει, μετὰ τοῦ καὶ ἑτέρας αἰτίας εἶναι, ἐνίας μὲν καὶ ἀνθρώποις γνωρίμους, ἐνίας δὲ ἀπορρήτους μόνῳ Θεῷ γιγνωσκομένας, ἅπερ ἐπιστάμενος ὁ μακάριός φησιν· «ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλατο. Ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο»[4]. Τοῦ «ἔδοξεν» δ' ἀκουστέον μὴ ἁπλῶς, ἀλλ' ὡς τοῦ Θεοῦ οὕτω βεβαίως κρίναντος. Τούτῳ ὅμοιον ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων φέρεται, ὁπηνίκα ἐπιστολὴν γράφοντες περὶ τοῦ μὴ περιτέμνειν τοὺς προσ**116**ερχομένους τῇ θεοσεβείᾳ ἔλεγον οἱ ἀπόστολοι· «ἔδοξεν τῷ Ἁγίῳ Πνεύματι καὶ ἡμῖν»[5], οὐχ ἁπλῶς, ἀλλὰ κεκριμένως. Εἴη δ' ἂν καὶ τὸν ἀντικείμενον τοῦτο τλητικὸν τὸ ῥῆμα δηλοῦν, ὡς οὐχ ἕνεκα τοῦ θυμηδίαν ἐνβαλεῖν τῷ διαβόλῳ ἐξαιτήσαντι ὁ Ἰὼβ ἐκδέδοται, ἀλλ' ὅπως τὸ δόξαν τῷ Κυρίῳ γένηται. Ἦν δὲ τοῦτο, ὅπερ αὐτὸς ὁ Θεὸς πρὸς τὸν Ἰὼβ ἔφη· «οἴει δέ με ἄλλως σοι κεχρηματικέναι ἢ ἵνα ἀναφανῇς δίκαιος»[6], καὶ ὅτι οὔτε διὰ χρήματα οὔτε διὰ τέκνα τῆς ἀρετῆς ἀφίσταται. Θαυμάσαι δὲ ἔστιν αὐτοῦ καὶ τὸ εὐχαριστητικὸν λέγοντος· «εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον»[7], ὅπερ ἔλεγχός ἐστιν κατὰ τῶν ἀπο⟨ρο⟩ύντων ἐπὶ τοῖς τοιούτοις συμπτώμασιν καὶ τοιαῦτα προφερόντων, ἅπερ οὐδὲ λέγειν καλόν. Ἀλλ' ὁ ἅγιος οὐ τοιοῦτος ἀσύνετος ἀκαμπὴς τὸν λογισμὸν ὅσων καὶ τοιούτων συμβάντων κῆρυξ ἀληθῶν δογμάτων καὶ θείων γίγνεται. Τό· «οὕτως διέρρηξεν Ἰὼβ τὰ ἱμάτια αὐτοῦ»[8] ἀντιτύπως λημπτέον· Πιθανὸν δ' ἂν εἴη εἰπεῖν, ὅτι διὰ τοῦτο ἑαυ**118**τὸν ἐγύμνωσεν, πρῶτον μὲν δεικνὺς τῷ πειράζοντι ὅτι· εἰ καὶ τῶν περιλειπομένων ἐπιθυμεῖς, ἔχε καὶ ταῦτα, ἔπειτα συμβολικῶς δεικνύς, ὅτι ὥσπερ ἀγωνιστὴς πρὸς ἀντίπαλον ἐπαποδύεται. Εἴη δὲ καὶ ἡ ἀφαίρεσις τῶν τριχῶν σύμβολον τοῦ λογίζεσθαι πάντα τὰ περιττὰ μηδὲν μέγα, ἀλλ' εὐκαταφρόνητα δικαίῳ καὶ συνετῷ, μήτε ἐν ταῖς «ἀνέσεσιν» χαυνουμένου μήτε ἐν ταῖς «θλίψεσιν»[9] δυσφοροῦντος, ὅπερ παριστῶν καὶ ὁ μακάριος Δαυὶδ ἔψαλλεν· «εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ»[10].

---

1. Α' Τιμ. 6,7. 2. Ἰὼβ 1,21. 3. Α' Βασ. 2,7. 4. Ἰὼβ 1,21. 5. Πράξ. 15,28. 6. Ἰὼβ 40,8. 7. Ἰὼβ 1,21. 8. Πρβλ. Ἰὼβ 20,1. 9. Πρβλ. Β' Κορ. 8,13. 10. Ψαλ. 33,2.

«Ἐν τούτοις πᾶσι τοῖς συμβεβηκόσιν αὐτῷ οὐδὲν ἥμαρτεν Ἰὼβ ἐναντίον τοῦ Κυρίου καὶ οὐκ ἔδωκεν ἀφροσύνην τῷ Θεῷ»[1].

Μεγάλη μαρτυρία ὑπὸ τοῦ Ἁγίου Πνεύματος δίδοται τῷ μακαρίῳ Ἰὼβ ἐν τῷ εἰρῆσθαι· «ἐν τούτοις πᾶσιν οὐδὲν ἥμαρτεν Ἰὼβ ἐναντίον τοῦ Κυρίου»[2]. Ἔστιν γὰρ πολλάκις μὴ ἁμαρτάνειν μὲν κατὰ πρόδηλον, γίνεσθαι δὲ ἐν τῇ διανοίᾳ ταραχὴν καθὸ εἴρηται· «ἐταράχθην καὶ οὐκ ἐλάλησα»[3]. Ἀλλὰ προσκείμενον τὸ «ἐναντίον» δείκνυσιν, ὡς οὐδὲν πταῖσμα γέγονεν· ἦ γὰρ ἂν ὑπὸ Θεοῦ ἐθεωρεῖ**120**το. Οὐ γὰρ ταὐτόν ἐστι τό· ‘οὐδὲν ἥμαρτεν ὅδε τις’ καὶ τό· «οὐδὲν ἥμαρτεν ἐναντίον Κυρίου»[4], ὅπερ ὑπερβάλλουσαν ἐμφαίνει καθαρότητα ὡς μήτε λόγῳ μήτε πράξει μήτε λογισμῷ ἢ διανοίᾳ τοῦ ἁγίου πταίσαντος. Εἰς τοῦτο γοῦν τοὺς μετανοοῦντας ὁ Θεὸς καλῶν ἔλεγεν· «ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου»[5], ὃ δηλοῖ ὅτι· μὴ πράξει μόνῃ, ἀλλὰ καὶ διανοίᾳ τῆς κακίας ἀπεχώμεθα ὡς Θεοῦ ὁρῶντος. Τοῦτο καὶ ὁ Σωτὴρ ἐν τῷ Εὐαγγελίῳ φησίν· «σὺ δὲ ὅταν ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς ὥσπερ οἱ ὑποκριταὶ ποιοῦσιν»[6].

. . . . . καί· «ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι»[7]. Ὡς γὰρ ὁ οὕτω ποιῶν ἐλεημοσύνην οὐκ ἀκούει τὸν ἀπὸ τῶν πολλῶν ἔπαινον, οὕτως ὁ μὴ ἀπέναντι Κυρίου ἁμαρτάνων πάσης ἐκτός ἐστι κακίας. Εὖ δὲ καὶ τὸ εἰρῆσθαι· «καὶ οὐκ ἔδωκεν ἀφροσύνην τῷ Θεῷ»[8]. Ὁ γὰρ πεπεισμένος, ὅτι προνοίᾳ θείᾳ οἰκονομεῖται τὰ συμβαίνοντα, οὐ δίδωσιν ἀφροσύνην τῷ δι**122**οικοῦντι Θεῷ, τῶν ἀπίστων ἐν τούτοις πολλάκις αἰτιωμένων καὶ λεγόντων· ‘τόδε οὐκ ἔδει γενέσθαι ἢ τόδε, οὐκ ὤφειλεν ὁ δεῖνα πένεσθαι ἢ πλουτεῖν ἢ νοσεῖν ἢ ὑγιαίνειν’, ἢ· ‘διὰ τί ὁ νέος ἀπῆλθεν τοῦ βίου τῶν γερόντων ἔτι ἐν αὐτῷ ὄντων;’. Καὶ ὅλως οἱ τοιαῦτα λέγοντες ἄφρονα ὑποτίθενται τὴν διοίκησιν. Ἀλλ’ ὁ ἅγιος καὶ ἐν τοῖς περιστατικοῖς τοσούτοις ὢν Κύριον εὐλογεῖ δικαίαν εἶναι τὴν κρίσιν τοῦ Θεοῦ πεπεισμένος.

ΚΕΦΑΛΑΙΟΝ Β′

«Ἐγένετο δὲ ὡς ἡ ἡμέρα αὕτη, καὶ ἦλθον οἱ ἄγγελοι τοῦ Κυρίου παραστῆναι ἔναντι Κυρίου καὶ ὁ διάβολος ἦλθεν ἐν μέσῳ αὐτῶν[9]. Καὶ εἶπεν ὁ Κύριος τῷ διαβόλῳ· πόθεν σὺ ἔρχῃ; Τότε εἶπεν ὁ διάβολος ἐνώπιον τοῦ Κυρίου· διαπορευθεὶς τὴν ὑπ’ οὐρανὸν καὶ ἐνπεριπατήσας τὴν σύμπασαν πάρειμι»[10].

Κατὰ προτέραν πρόσοδον ἐξουσίαν ὁ διάβολος θεόθεν λαβὼν πάν-

---

1. Ἰὼβ 1,22. 2. Ἔνθ’ ἀν. 3. Ψαλ. 76,5. 4. Ἰὼβ 1,22. 5. Ἡσ. 1,16. 6. Πρβλ. Ματθ. 6,2. 7. Ματθ. 6,4. 8. Ἰὼβ 1,22. 9. Ἰὼβ 2,1. 10. Ἰὼβ 2,2.

των τῶν ὑπαρχόντων τοῦ Ἰὼβ καὶ τῶν τέκνων πάντα τε ἀπολέσας ἀνατρέψαι τὴν πρόθεσιν τὴν ἀνδρείαν τοῦ ἁγίου Ἰὼβ οὐ δεδύνηται. Ἔμεινεν γὰρ διὰ μεγαλοψυχίαν ὁ αὐτός, ὁ αὐτὸς δὲ κατὰ τὴν θεοσέ-
124βειαν. Καὶ εἰκότως· διέκειτο γάρ, ὅτι ὁ Θεὸς πέμπει τὰ ἡδέα καὶ ἀφαιρεῖται. Δευτέραν ἐπιχειρεῖ ἐξαίτησιν κινήσασθαι κατὰ τοῦ σώ- 5
ματος αὐτοῦ πόνοις ἀνηκέστοις ὑποβαλεῖν αὐτὸν σπουδάζων. Τῶν αὐτῶν στίχων τοῖς φθάσασι τυγχανόντων, τὰ εἰς ἐκείνους εἰρημένα καὶ τούτοις ἐφαρμοστέον, ἵνα μὴ τὰ αὐτὰ πολλάκις λέγηται, τοσοῦτον μόνον προσθέντας, ὅτι τὸ διαβολικὸν δ...ς ὑπερβαλλόντως δείκνυται. Λεχθείη δὲ εἰς τό· «πόθεν σὺ ἔρχῃ;»[1] τὸ ἐλεγκτικώτατον ὑπὸ Κυρίου 10
πρὸς τὸν διάβολον εἰρῆσθαι ὡς οὐκ ἔχοντος εἰπεῖν τι ἑαυτοῦ μετὰ παρρησίας κατόρθωμα καὶ ἐντρεπτικόν, ὅτι νενικημένος ἦν, ὅπερ αὐτὸς ἀναισχύντως οὐχ ὡμολόγει. Σημειωτέον, ὡς οὐχ οὕτως νῦν ὁ διάβολος ἀποκρίνεται. Τότε μὲν γὰρ εἶπεν· «περιελθὼν τὴν γῆν καὶ ἐνπεριπατήσας τὴν ὑπ' οὐρανὸν πάρειμι»[2], νῦν δέ· «διαπορευθεὶς τὴν 15
ὑπ' οὐρανὸν καὶ ἐνπεριπατήσας τὴν σύμπασαν»[3]. Καὶ συνεπίσκεψαι, μήποτε ὡς ψευστὴς οὐκ ἠθέλησεν μνημονεῦ**126**σαι, ὅτι «περιῆλθεν τὴν γῆν»[4], ἵνα ὡς μηδὲ τὴν ἀρχὴν προσβαλὼν τῷ Ἰὼβ νομισθῇ, τότε δὲ ἀπ' ἀναισχυντίας. Οἶδεν γάρ, ὅτι οὐδὲν λανθάνει Θεόν. Οὐδὲ γὰρ εἶπεν ὅτι· 'ὧν δέδωκάς μοι ἐξουσίαν, πεποίηκα· ἀφῄρηκα τὰ 20
ὑπάρχοντα τοῦ Ἰὼβ καὶ τὰ τέκνα ἀνεῖλον'. Τοῦτο γὰρ ἦν ἀκόλουθον εἰπεῖν, καί· 'ὁ αὐτὸς ἔμεινεν'. Ἀλλ' ἐπὶ δευτέραν αἴτησιν χωρεῖ, ἐξ ἧς οἴεται ἀνατρέψαι τὴν πρόθεσιν τοῦ ἁγίου. Εἰ δὲ καὶ διάβολος κρύπτει τὸ ἑαυτοῦ βούλημα ἐν τῷ ἀντὶ 'τῆς γῆς' «τὴν σύμπασαν»[5] εἰρηκέναι, ἀλλ' ἡμεῖς ἐκ τῶν Γραφῶν παραστήσωμεν, ὡς ⟨ἡ⟩ γῆ πολλάκις ἡ 25
σύμπασα καλεῖται. Εἴρηται γάρ· «ἐνεπλήσθη ἡ σύμπασα τοῦ γνῶναι τὸν Κύριον»[6]. Καὶ ὁ Ἰὼβ δὲ ἐν τοῖς ἑξῆς περὶ Θεοῦ φησιν· «ὁ ποιῶν τὴν σύμπασαν ἐν ὑψίστοις»[7] δηλῶν, ὅτι Θεὸς ἀπὸ γῆς δι' ἀρετὴν ἕλκει εἰς οὐρανόν.

«Εἶπεν δὲ ὁ Κύριος τῷ διαβόλῳ· προσέ- 30
σχες τῷ θεράποντί μου Ἰώβ, ὅτι οὐκ ἔστιν κατ' αὐτὸ⟨ν⟩ τῶν ἐπὶ τῆς γῆς ἄνθρωπος δίκαιος, θεοσεβής, ἄκακος, ἄμεμπτος, ἀπεχόμενος ἀπὸ παντὸς κακοῦ. Ἔτι δὲ ἔχεται ἀκακίας»[8]. 35

Καὶ νῦν τό· «προσ**128**έσχες τῇ[ς] διανοίᾳ σου»[9] ὡς καὶ πρότερον εἴρηται, ἐπίτασιν ἔχον, ὅτι μετὰ τὴν πάλην κατῃσχύνθη.

Ὁ μὲν γὰρ διάβολος οἰόμενος, ὅτι ὡς ἐπὶ ἀγαθοῖς χαίρει τοῖς ἔξωθεν ὁ Ἰώβ, ἔλεγεν· «οὐ σὺ περιέφραξας τὰ ἔσω καὶ τὰ ἔξω τῆς οἰκίας

---

1. Ἰὼβ 2,2. 2. Ἰὼβ 1,7. 3. Ἰὼβ 2,2. 4. Πρβλ. Ἰὼβ 1,7. 5. Ἰὼβ 2,2. 6. Ἡσ. 11,9. 7. Πρβλ. Ἰὼβ 25,2. 8. Ἰὼβ 2,3. 9. Ἰὼβ 1,8.

αὐτοῦ;»[1]. Ὅτε δὲ ματαία γέγονεν αὐτοῦ ἡ προσβολή, τὸ «προσέσχες» λέγεται ἀντὶ τοῦ· ‘ἔγνως τῇ πείρᾳ’ ἀνδρείαν «θεοσεβοῦς, ἀμέμπτου, ἀκάκου, ἀπεχομένου τε παντὸς κακοῦ»[2]. Καὶ πρὸς τούτοις ἐλέγχων ὁ Κύριος ἐπάγει· «ἔτι δὲ ἔχεται ἀκακίας»[3]. Προσέσχες οὖν, ὅτι οὐκ «εἰς πρόσωπόν» με «εὐλογήσει»[4], ὡς ἐνόμιζες. Σημειωτέον, ὡς ἐν τοῖς φθάσασιν εἴρηται· «ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος»[5], νῦν δέ· «ἀπὸ παντὸς κακοῦ»[6]. Ἐξ οὗ γιγνώσκεται, ὡς τὸ κακὸν πονηρὸν εἴρηται. Ἀλλὰ καὶ τὸ γεγραμμένον· «οἱ ἀγαπῶντες τὸν Κύριον μισεῖτε πονηρόν»[7], ἀντὶ τοῦ· μισεῖτε τὴν κακίαν. Νοεῖται δὲ ἡ ⟨ἀ⟩κακία διάφορα σημαίνειν· **130** δηλοῖ γὰρ καὶ τὴν τῆς κακίας στέρησιν καὶ τὴν εὐήθειαν. Ὅταν γὰρ λέγῃ ὁ ἅγιος· «κρῖνόν με» ὁ Θεός, «ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην»[8], ἀκακίαν λέγει τὴν ἀρετήν· ὁ γὰρ ἀρετὴν ἔχων στερεῖται κακίας. Καὶ ἐν ἑτέροις· «ἄκακοι καὶ εὐ[η]θεῖς ἐκολλῶντό μοι»[9] τοὺς ἐναρέτους ἀκάκους φησίν — εὐ[η]θεῖς γὰρ οὗτοι—, τὸ δὲ εὐ[η]θὲς ἀρετῆς ἐστι γνώρισμα. Ὅταν δὲ λέγῃ· «ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων»[10], καί· «ἄκακος πιστεύει παντὶ λόγῳ»[11], καὶ πάλιν· «ἵνα δῷ ἀκάκοις πανουργίαν»[12], **132** τὸ ἀκέραιον σημαίνει. Οἷς καὶ εὔχεται τὸ πανουργίαν δοθῆναι, οὐ τὴν ἰσοδυναμοῦσαν κακίᾳ, ἀλλὰ φρονήσει. Ὁ Ἰὼβ οὖν «ἔτι εἶχεν ἀκακίαν»[13] παντὶ λόγῳ κατορθουμένην.

«Σὺ δὲ εἶπας τὰ ὑπάρχοντα αὐτοῦ διὰ κενῆς ἀπολέσαι»[14].

Τὸ ματαιούργημα τοῦ διαβόλου κατὰ τῶν ἁγίων ὁ Κύριος ἐλέγχει. Ματαίως γὰρ πονεῖ ὁ χωρὶς αἰτίας ἐνεργῶν τι. Εἰ οὖν καὶ ὁ διάβολος ἐλπίζων ἐλεῖν τὸν ἅγιον ἐπιχειρῶν τῇ φθορᾷ τῶν ὑπαρχόντων καὶ τέκνων ἀνήνυτον ἔγν⟨ω⟩ τὸ ἐπιχείρημα τῇ τῆς ἀνδρείας τοῦ ἁγίου περιουσίᾳ, ματαίως αὐτῷ ἐπολέμησεν· οὐδὲν γὰρ ὧν ἤλπιζεν ἀπέβη.

«Ὑπολαβὼν δὲ ὁ διάβολος εἶπεν τῷ Κυρίῳ· δέρμα ὑπὲρ δέρματος. Ὅσα ὑπάρχει ἀνθρώπῳ, ὑπὲρ τῆς ψυχῆς αὐτοῦ ἐκτείσει. Οὐ μὴν δέ, ἀλλὰ ἀπόστειλον τὴν χεῖρά σου καὶ ἅψαι τῶν ὀστῶν αὐτοῦ καὶ τῶν σαρκῶν αὐτοῦ· εἰ μὴν εἰς πρόσωπόν σε εὐλογήσει»[15].

134 Τριῶν ὄντων τῶν καλουμένων ἀγαθῶν, τῶν τε ἐκτός, ἃ διαιρεῖται εἴς τε χρήματα καὶ κτήματα καὶ ὑγ⟨ε⟩ίαν καὶ ἄλλα τὰ περὶ

---

1. Ἰὼβ 1,10. 2. Πρβλ. Ἰὼβ 2,3. 3. Ἰὼβ 2,3. 4. Πρβλ. Ἰὼβ 1,11. 5. Ἰὼβ 1,8. 6. Ἰὼβ 2,3. 7. Ψαλ. 96,10. 8. Ψαλ. 25,1. 9. Ψαλ. 24,21. 10. Ρωμ. 16,18. 11. Παρμ. 14,15. 12. Παρμ. 1,4. 13. Πρβλ. Ἰὼβ 2,3. 14. Ἰὼβ 2,3. 15. Ἰὼβ 2,4-5.

σῶμα, καὶ ἑτέρων τῶν ἀρετῶν, μόνα τὰ ἀδιάφορα ἀγαθὰ ἡγούμενος νομίζει καὶ τὸν Ἰὼβ ταύτης εἶναι τῆς διανοίας καὶ ἀναισχύντως λέγει πρὸς τὸν Κύριον — τὸ λέγειν κατὰ τὰ ἔμπροσθεν εἰρημένα νοούντων ἡμῶν —, ὅτι πάντα ἂν ἐκτείσοι ὁ ἄνθρω**136**πος ὑπὲρ τοῦ μὴ αὐτός τι παθεῖν. Ὅπερ πιθανὸν μὲν καὶ ὡς ἐπὶ τὸ πλεῖστον, οὐ μὴν ἐπὶ πάντων ἀληθές· πολλοὶ γὰρ ὑπὲρ χρημάτων ἐκινδύνευσαν. Εὐτελίζων δὲ ὁ φιλόκακος διάβολος τὴν ἀνδρείαν τοῦ μακαρίου καὶ βουλόμενος ἐπενεγκεῖν αὐτῷ καὶ κατὰ τοῦ σώματος ἅπερ ἐπήνεγκεν, εὐκαταφρόνητον εἶναί φησιν τὴν τῶν ἔξωθεν κτῆσιν κρύπτων κακοήθως, ὅτι ὑπὲρ τέκνων μύριοι ἀπολέσθαι ηὔξαντο· οὕτω γὰρ καὶ οἱ πόλεμοι τὴν σύστασιν ἔχουσιν ὑπὲρ τῶν τέκνων γενόμενοι· ἕκαστος γὰρ προβόλιον τῶν ἰδίων παιδίων ἱστάμενος ὑπερκινδυνεύει τούτων. Ἀλλ' ὁ ἀντικείμενος πόθῳ τοῦ κακῶσαι τὸν Ἰὼβ καὶ περὶ τῶν πραγμάτων ἀλλόκοτον φθέγγεται. Διόπερ ὡς καὶ πρότερόν φησιν· «ἀλλὰ ἀποστείλας τὴν χεῖρά σου ἅψαι τῶν ὀστέων αὐτοῦ καὶ τῶν σαρκῶν αὐτοῦ· εἰ μὴν εἰς πρόσωπόν σε εὐλογήσει»[1]. Οἶδεν γὰρ εἴπερ καὶ ἐξέπεσεν, ὅτι εἰ μὴ Θεὸς ἐπιτρέψῃ, οὐδὲν αὐτὸς κατά τινος δύναται, τῆς ἐπιτροπῆς οὕτω νοουμένης, ὅτι σοφῶς γίγνεται ἅτε παρὰ Θεοῦ γιγνομέ**138**νη.

«Εἶπεν δὲ ὁ Κύριος τῷ διαβόλῳ· ἰδοὺ παραδίδωμί σοι αὐτόν, μόνον τὴν ψυχὴν αὐτοῦ διαφύλαξον»[2].

Ἐπιτρέπει καὶ τοῦτο ὁ Κύριος πρὸς ἡμετέραν ὠφελίαν, ἵνα χαρακτὴρ καὶ τύπος ἀνδρείας καθάπερ ἐν στηλογραφίαις ὁ Ἰὼβ τεθεὶς σκοπὸς τῆς τοιαύτης ἀρετῆς καὶ τοῖς τότε καὶ τοῖς μεταγενεστέροις ὑπάρξῃ, ὃ καὶ γέγονεν. Αὐτοῦ γὰρ ἔστιν τοῦ ἀθλητοῦ καὶ ἀγωνιστοῦ ἀκοῦσαι λέγοντος· «οἶδα, ὅτι δίκαιος ἀναφανοῦμαι»[3]. Παραδιδοὺς δὲ ὁ Κύριός φησιν· «μόνον τὴν ψυχὴν αὐτοῦ ⟨δια⟩φύλαξον»[4], ὅπερ νοηθείη οὕτως· παρακοπὰς πολλάκις καὶ τοῦ ἡγεμονικοῦ διαστροφὰς ἔν τισιν ὁρῶμεν γιγνομένας, δι' οὓς πάλιν οἶδεν λόγους ὁ τὸ κρυπτὸν ἐπιστάμενος Θεὸς τούτων οὕτω παραδοθέντων. Ὃ φησιν οὖν ὁ Κύριος, τοῦτό ἐστιν· μὴ κάρον αὐτῷ καὶ διαστροφὴν τοῦ ἡγεμονικοῦ ἐργάσῃ, ἀλλὰ σαρκῶν ἅπτου καὶ ὀστέων ὧν καὶ ἐξητήσω. Εἰ δὲ καὶ ἀντὶ τοῦ 'μὴ ἀποκτείνῃς αὐτὸν' κεῖται τό· «μόνον τὴν ψυχὴν αὐτοῦ διαφύλαξον»[5], συνεπίσκεψαι.

140 «Ἐξῆλθεν δὲ ὁ διάβολος ἀπὸ τοῦ Κυρίου καὶ ἔπαισεν τὸν Ἰὼβ ἕλκει πονηρῷ ἀπὸ ποδῶν μέχρι κεφαλῆς»[6].

Πᾶς ἁμαρτωλὸς ἔξω Θεοῦ ἐστιν, προηγουμένως δὲ ὁ διάβολος

---

1. Ἰὼβ 2,5. 2. Ἰὼβ 2,6. 3. Ἰὼβ 13,18. 4. Ἰὼβ 2,6. 5. Αὐτόθι. 6. Ἰὼβ 2,7.

ὡς ἀρχέκακος. Εἴρηται δὲ περὶ τούτου καὶ πρότερον. Καὶ ἐπεὶ ἐν τῷ διηγ⟨ή⟩ματι εἴρηται, ὡς «ἦλθεν ὁ διάβολος μετὰ τῶν ἀγγέλων»[1], ἀκολούθως προσάγεται τὸ σχῆμα. Τῆς ἱστορίας ἔχεται τό· «ἐξῆλθεν ὁ διάβολος ἀπὸ τοῦ Κυρίου»[2]. Ἐξελθὼν δὲ οὐκ ἀναμένει, ἀλλ' εὐθὺς ἐνεργεῖ τὸ τῆς ἐξαιτήσεως ὁλοσωμάτῳ τραύματι περιβαλὼν αὐτόν, προσβολῇ βουλόμενος τὸν τόνον τῆς ἀρετῆς αὐτοῦ διαλύσειν. Τῶν δ' ἄκρων μνημονεύει δηλῶν, ὅτι καὶ τῶν μέσων ἥψατο.

142 «Καὶ ἔλαβεν ὄστρακον, ἵνα τὸν ἰχῶρα ξύῃ»[3].

Τὴν ἐρημίαν καὶ τὸ ἀβοήθητον αὐτοῦ σημαίνει ὁ στίχος μηδενὸς παρόντος αὐτῷ τοῦ νοσηλεύοντος, ἀλλὰ καὶ τῆς γυναικὸς ἀπούσης διὰ τὴν πρὸς τὸ ἔργον σπουδήν, ἐξ οὗ καὶ αὐτὴ[ι] καὶ αὐτὸς ἴσως ἐτρέφετο· ἐν γὰρ τοῖς ἑξῆς ἡ γυνὴ λέγουσα πρὸς αὐτόν· «κἀγὼ πλανωμένη καὶ λάτρις τόπον ἐκ τόπου καὶ οἰκίαν ἐξ οἰκίας προσδεχομένη τὸν ἥλιον πότε δύσεται»[4] τὸ εἰρημένον παρίστησιν. Εἰς τοσοῦτον αὐτῷ τὸ σῶμα διελέλυτο, ὥστε εἰς ἰχῶρας ἀναλύεσθαι. Διὸ τῷ ὀστράκῳ ἔξυεν αὐτὸς τῇ ψυχῇ ἄνοσος ὢν καὶ ἀκαμπής.

«Καὶ ἐκάθητο ἐπὶ τῆς κοπρίας ἔξω τῆς πόλεως»[5].

Εἰκὸς ὅτι ἐν ταῖς πόλεσιν ἐκείναις οὐκ ἐπέτρεπον τὸν ἔχοντα τοιοῦτον σῶμα διάγειν. Διόπερ ἔξω τῆς πόλεως ἐπὶ κοπρίας ἐκαθέζετο καὶ θεωρεῖ τὴν ἀθρόαν μεταβολήν, ἐξ οἵας εὐ⟨ε⟩τηρίας καὶ διαγωγῆς εἰς ποίαν μετέβαλεν ὑπὸ τοῦ πειράζοντος κακοπραγίαν, ὥστε καὶ ἔξοικος εἶναι καὶ ἐπὶ κοπρίας καθέζεσθαι, οὐ συνόντος οἰκείου, ἀλλ' οὐδὲ **144** φίλου οὐδ' αὐτῆς τῆς γυναικός, ὡς προείρηται· οὐδὲ γὰρ φαίνεται ἀδιαθέτως ἔχουσα πρὸς αὐτόν, ὡς παρεθέμεθα.

«Χρόνου δὲ πολλοῦ προβεβηκότος εἶπεν αὐτῷ ἡ γυνὴ αὐτοῦ· μέχρι τίνος καρτερήσεις λέγων· ἰδοὺ ἀναμένω χρόνον ἔτι μικρὸν προσδεχόμενος τὴν ἐλπίδα τῆς σωτηρίας μου; Ἰδοὺ γὰρ ἠφάνισταί σου τὸ μνημόσυνον ἀπὸ τῆς γῆς, υἱοὶ καὶ θυγατέρες, ἐμῆς κο⟨ι⟩λίας ὠδῖναι καὶ πόνοι, οὓς εἰς τὸ κενὸν ἐκοπίασα μετὰ μόχθων. Σὺ δὲ αὐτὸς ἐν σαπρίᾳ σκωλήκων κάθη διανυκτερεύων αἴθριος· κἀγὼ πλανῆτις καὶ λάτρις τόπον ἐκ τόπου καὶ οἰκίαν ἐξ οἰκίας προσδεχομένη τὸν ἥλιον πότε δύσεται, ἵνα ἀναπαύ-

---

1. Πρβλ. Ἰὼβ 1,6. 2. Ἰὼβ 2,7. 3. Ἰὼβ 2,8. 4. Ἰὼβ 2,9d. 5. Ἰὼβ 2,8.

σωμαι τῶν μόχθων καὶ τῶν ὀδύνων αἵ με νῦν συνέχουσιν. Ἀλλ' εἶπόν τι ῥῆμα εἰς Κύριον καὶ τελεύτα»[1].

Ἀτονήσας ἐκ τῶν τοσούτων προσβολῶν ὁ διάβολος καὶ μὴ δυνηθεὶς αὐτὸν καταβαλεῖν ἐκ τῆς ἀφαιρέ⟨σε⟩ως τῆς περιουσίας καὶ τῆς τῶν τέκνων φθορᾶς, ἔτι τε μηδὲ ἐκ τῆς ἀμέτρου κακώσεως τοῦ σώματος, τρίτον αὐτῷ πλέκει πάλαι**146**σμα τὴν τῆς γυναικὸς ὁμιλίαν· ἴσως δι' αὐτῆς τὸν Ἰὼβ ὡς καὶ διὰ τῆς Εὔας τὸν Ἀδὰμ ἀπατήσειεν. Χρόνου γὰρ πολλοῦ προβεβηκότος ⟨ὡς⟩ οὐδὲ αὐτὸς δεδύνηται σεῖσαι τὸν ἀθλητήν, τὰ τῆς ὀλιγωρίας προφέρει ἡ γυνή, ἴσως ἐνθυμουμένη τοῦ παθήματος αὐτὸν ἀπαλλάξαι, εἰ ῥῆμα πρὸς Κύριον εἴποι ἀλογίστως. Καὶ θέασαι καθ' ἕκαστον ῥῆμα, πῶς εἰς ὀλιγωρίαν ἐκκαλεῖται αὐτόν· «μέχρι τίνος καρτερήσεις»[2]. Εἰς πολὺν αὐτῷ χρόνον τῆς νόσου πρόθεσιν εἰς ὀλιγωρίαν ὑποβάλλουσα — εἶτα ἑξῆς· «λέγων· ἰδοὺ ἀναμένω χρόνον ἔτι μικρὸν προσδεχόμενος τὴν ἐλπίδα τῆς σωτηρίας μου»[3] — τρόπον τινὰ εἰς ἀδύνατον αὐτοῦ περιάγει τὴν προσδοκίαν. Ἴσως γὰρ πολλάκις αὐτῆς ἀποδυσπετούσης αὐτὸς τὰ τῆς ἀγαθῆς ἐλπίδος προτιθεὶς ἔπαυσε τῆς ὀλιγωρίας, ἣν οὐχ ὁρῶσα ἅτε ἀσθενῆ λογισμὸν ἔχουσα ὡς ψευδῆ αὐτὸν ἐλπίζοντα εἰς ὀλιγωρίαν ἐξεκαλεῖτο· φιλεῖ γὰρ ἄλογος ψυχὴ τὰς προσδοκίας ἀεὶ ἀβεβαίους λογίζεσθαι. Ἐπιτείνουσα δὲ τὴν παρ' αὐτῇ νομιζομένην ἀπόδοσιν τῆς παν**148**τελοῦς ἀνελπιστίας φησίν· «ἰδοὺ γὰρ ἠφάνισταί σου τὸ μνημόσυνον ἀπὸ τῆς γῆς»[4]. Οὐχ υἱὸς οὐ θυγάτηρ περιλείπεταί σοι τὴν μνήμην τῆς διαδοχῆς φυλάξοντες, μονονουχὶ λέγουσα ὅτι· εἰ καὶ ὑγιᾶναι συμβαίη, ἀνόνητος ἡ τῆς ὑγ⟨ε⟩ίας ἀπόλαυσις παίδων οὐ⟨κ⟩ ὄντων, ὑπαρχόντων ἀπολομένων. Καὶ ταῦτα μὲν εἰ μόνον παρῆν, τάχ' ἂν εἶχε λόγον ἡ μακροθυμία, φησίν, ἀλλὰ πρὸς τούτοις καὶ σὺ [αυ] αὐτὸς «ἐν σαπρίᾳ σκωλήκων κάθῃ»[5], ἐγὼ δὲ ἀπὸ πενίας περίειμι «τόπον ἐκ τόπου»[6]. Διὰ πάντων τῶν ῥημάτων ἑαυτῆς βέλος ὀλιγωρίας ἐξαποστείλασα ἐπάγει τῆς φαυλοτάτης ὁμιλίας πέρας λέγουσα· «εἰπόν τι ῥῆμα εἰς Κύριον καὶ τελεύτα»[7]. Πρὸς ὃ εἴποι τις ἄν· πῶς ἡ γυνὴ τοῦτον ἔχουσα λογισμόν, ὅτι εἰ εἴποι ῥῆμα εἰς Κύριον, τελευτήσοι; πρὸς ὃ διαφόρως τις λέξει ἤτοι τοῦ ἀντικειμένου ὑποβαλόντος αὐτῇ τοῦτο, ἵνα τὸ σπουδαζόμενον αὐτῷ πληρωθῇ τό· «εἰ μὴν εἰς πρόσωπόν σε εὐλογήσει»[8], ἢ τάχα ἐν ταῖς πόλεσιν ἐκείναις ὁ εἰς Κύριον βλασφημήσας ἀπέθνῃσκεν **150** ὑπὸ ἄρχοντος ἢ τῶν πολιτῶν. Ἴσως γὰρ οὐδένα ἔγνω καὶ βλασφημήσαντα καὶ ζώσαντα. Τάχα γὰρ τοῦτο συνέβαινεν τότε μήπω τῆς κακίας κεχυμένης. Ἴσως ἐλογίσατο, ὅτι οὐδὲ Θεὸς ἐάσει αὐτὸν ζῆν προέμενον βλάσφημον λόγον. Ἐνφαίνει δὲ καὶ διὰ τοῦ· «ἰδοὺ γὰρ ἠφάνισταί σου τὸ μνημόσυνον ἀπὸ τῆς γῆς»[9], ὡς ὅτι· οὐδὲ ἐλπίδα ἕξεις εἰς τὴν αὐτήν

---

1. Ἰὼβ 2,9-9e. 2. Ἰὼβ 2,9. 3. Ἰὼβ 2,9-9a. 4. Ἰὼβ 2,9b. 5. Ἰὼβ 2,9c. 6. Ἰὼβ 2,9d. 7. Ἰὼβ 2,9e. 8. Ἰὼβ 2,5. 9. Ἰὼβ 2,9b.

ποτε ἐλθεῖν ἀπόλαυσιν τῶν ἀγαθῶν, ἃ μόνα ἀγαθὰ εἶναι ἐνόμιζεν τῶν κατ' ἀλήθειαν ἀγαθῶν ἁλογοῦσα. Καὶ ἀγνοοῦσα δὲ ἑτέρως ἀληθῆ εἴρηκε λόγον· τὸ γὰρ μνημόσυνον τῶν ὑπερφρονησάντων τοῦ ἀνθρωπίνου ζῆν οὐράνιόν ἐστιν. Ὅτι δὲ τοῦτο ἡ Γραφὴ κυροῖ, ὁ ψαλμῳδός φησιν· «πρόσωπον Κυρίου ἐπὶ ποιοῦντας κακὰ τοῦ ἐξολεθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν»[1]. Ὅταν γὰρ ἁμαρτανόντων τινῶν καὶ λεγόντων «ἐν καρδίᾳ μὴ εἶναι Θεὸν»[2] ἐπίπονα προσαγάγῃ Θεός, ἐπιφαίνεται, ἵν' ὠφεληθέντων αὐτῶν ἀναιρεθῇ ἐκ τῆς γῆς τὸ μνημόσυνον αὐτῶν **152** καὶ «ἐν οὐρανῷ ἐνγράφωσιν»[3] μεταβαλόντες εἰς ἀρετήν. Καὶ τὰ περὶ τῶν τέκνων δὲ ὡς γυνὴ εἶπεν λογιζομένη τὴν ἐκείνων σωτηρίαν μόνην εἶναι ἐλπίδα, κενῶς αὐτὰ τετοκέναι φάσκουσα. Ἐπιφοιτάζουσα δὲ αὐτὸν καὶ τὰ τῆς ἑαυτῆς κακοπαθείας προφέρει.

«Ὁ δὲ ἐμβλέψας εἶπεν αὐτῇ· ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν ἐλάλησας· εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν;»[4].

Τὸ καρτερὸν αὐτοῦ τῆς ψυχῆς καὶ ἐν τούτῳ δείκνυται, ἐν τοσαύταις ἀλγηδόσιν μὴ ὑπομείναντος δὲ λόγον παρὰ τῆς γυναικὸς ἀναρμόστως προενεχθέντα, ἀλλὰ καὶ εἰπόντος· «ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν ἐλάλησας»[5]. Ἀτενὲς δὲ ἐνβλέψας τοῦτο εἴρηκεν, ἐκ τῶν ἐγκλημάτων αὐτῆς κατανοῶν ὁ ἅγιος ὅτι διαβολικῇ ὑποβολῇ ταῦτα προήνεγκεν, καὶ ἅτε φρόνιμος ὢν ἤδει τὴν πρώτην παραβᾶσαν ὑπὸ διαβόλου τρωθεῖσαν αἰτίαν γεγενῆσθαι τῆς τοῦ Ἀδὰμ παραβάσεως. Διὰ τοῦτο λέγει· «ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν ἐλάλησας»[6]. Εἶτα **154** καὶ λογισμὸν αὐτῇ παραθεὶς τὸν πρέποντα ἐπάγει· «εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν;»[7]. Τῆς γὰρ [illegible]ῆς συνέσεώς ἐστιν καὶ πρὸς τὰ ἡδέα τῶν ἀδιαφόρων μὴ καταφέρεσθαι καὶ πρὸς τὰ ἐπίπονα μὴ καταβάλλεσθαι. Οἶδεν γὰρ ὁ περὶ τῶν πραγμάτων ἐπιστάμενος, ὅτι τὰ νομιζόμενα ἀγαθὰ οὐκ αὐτῶν φύσει εἰσὶ τοιαῦτα, ἀλλὰ τῇ τοῦ χρωμένου ἀκολουθοῦντα γνώμῃ ὡς αὖ καὶ τὰ κακὰ — τὰ κακωτικὰ λέγω — οὐ τῷ ὄντι κακὰ τυγχάνει, ἀλλὰ πρὸς τὸν ἐν αὐτοῖς γιγνόμενόν ἐστιν ἐν αὐτοῖς ἡ χρῆσις. Πολλοὶ γὰρ με⟨τ⟩ὰ πλούτου **156** καὶ φαῦλοι καὶ σπουδαῖοι ὤφθησαν ὡς Ἀβραὰμ καὶ οἱ ὅμοιοι αὐτῷ καὶ Φαραὼ καὶ οἱ παραπλήσιοι. Πολλῶν πάλιν κακώσεων ἐπελθουσῶν οἱ μὲν ἐνέδοσαν, οἱ δὲ ἀκαμπεῖς διέμειναν τὸν λογισμόν, ὧν ἔστιν ὁ μακάριος Ἰὼβ καὶ Λάζαρος, ὡς παρὰ ἰατροῦ καὶ ταῦτα δεχόμεν⟨οι⟩ τομαῖς καὶ καύσεσιν πρὸς σωτηρίαν κεχρημένου.

---

1. Ψαλ. 33,17. 2. Πρβλ. Ψαλ. 13,1. 52,2. 3. Πρβλ. Λουκ. 10,20. 4. Ἰὼβ 2,10. 5. Ἔνθ' ἀν. 6. Αὐτόθι. 7. Ἰὼβ 2,10.

«Ἐν πᾶσι τούτοις ⟨τοῖς συμβεβηκόσιν αὐτῷ⟩ οὐδὲν ἥμαρτεν Ἰὼβ τοῖς χείλεσιν ἐναντίον Κυρίου»[1].

Δεύτερον τοῦτο εἴρηται, πρῶτον μέν, ὅτε καὶ ἡ πρώτη προσβολή, δεύτερον δὲ νῦν. Καὶ τότε μὲν εἴρηται· «ἐν πᾶσι τούτοις τοῖς συμβεβηκόσιν αὐτῷ οὐδὲν ἥμαρτεν Ἰὼβ ἐναντίον τοῦ Κυρίου»[2], νῦν δέ· «ἐν πᾶσι τούτοις τοῖς συμβεβηκόσιν αὐτῷ οὐδὲν ἥμαρτεν Ἰὼβ τοῖς χείλεσιν ἐναντίον τοῦ Κυρίου»[3]. Ἔνιοι μὲν οὖν οὐδὲν διαφέρειν ἡγοῦνται τὸ 'τοῖς χείλεσι μηδὲν ἡμαρτηκέναι' εἰρῆσθαι καὶ 'μηδὲν ἡμαρτηκέναι ἐνώπιον Κυρίου', ἔνιοι δὲ οὕτως αὐτὰ ἐκλαμβάνουσιν, ὡς ἐπὶ μὲν τῆς ἀφαιρέσεως τῶν ὑ**158**παρχόντων καὶ τοῦ θανάτου τῶν τέκνων καθάπαξ εἴρηται «οὐδὲν ἥμαρτεν Ἰὼβ ἐναντίον τοῦ Κυρίου»[4] οὔτε ἐν λόγῳ οὔτε ἐν λογισμῷ, ἐνταῦθα δὲ μετὰ προσθήκης κεῖται τὸ «τοῖς χείλεσιν»[5], λέγοντες, ὡς τάχα τις καὶ κλόνος ἐγένετο οὐχ ἴσος ἁμαρτήματι — τοῦτο γὰρ ἧττα —, ἀλλὰ τῆς ἀσθενείας τῆς ἀνθρωπίνης κίνημα, ἐκβιαζομένης τῆς πολλῆς ὀδύνης τῆς περὶ ὅλον τὸ σῶμα. Τὸ συγγραφικὸν οὖν πνεῦμά φ⟨η⟩σιν ὅτι — ἵνα δείξῃ τὴν ἐπίτασιν τοῦ πόνου καὶ τὴν ἀνδρείαν αὐτοῦ — ὅτι καίτοι τῆς ἀνδρείας ἐκβιαζομένης μέχρις ἀκουσίου ἐνθυμήματος, τετάρακται οὐχ ὥστε πρᾶξαί τι ἀπὸ ὀλιγοψυχίας καὶ μικροπρεπείας ἢ λαλῆσαι. Τοιοῦτό τι καὶ ὁ ὑμνῳδὸς λέγει· «ἐταράχθην καὶ οὐκ ἐλάλησα»[6], δηλῶν ὡς γεγένηται περὶ αὐτόν τινα τὰ ἐγείροντα τάραχον, ὧν μέχρι διανοίας τὴν κίνησιν στήσας **160** οὐκ ἐλάλησεν. Συνῳδὰ ἃ Παῦλος γράφει Κορινθίοις· «οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περὶ τῆς θλίψεως τῆς γενομένης ἡμῖν ἐν τῇ Ἀσίᾳ ὅτι καθ' ὑπερβολὴν ὑπὲρ δύναμιν ἐβαρήθημεν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν. Ἀλλ' αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ Θεῷ τῷ ἐγείραντι τοὺς νεκρούς»[7].

«Ἀκούσαντες δὲ οἱ τρεῖς φίλοι αὐτοῦ τὰ κακὰ πάντα τὰ ἐπελθόντα αὐτῷ, παρεγένετο ἀπὸ τῆς ἰδίας χώρας ἕκαστος πρὸς αὐτόν· Ἐλιφὰς ὁ Θαιμάνων βασιλεύς, Βαλδὰδ ὁ Σαυχαίων τύραννος, Σωφὰρ ὁ Μιναίων βασιλεύς»[8].

Τὰ ξενίζοντα ὡς ἐπὶ τὸ πλεῖστον ἐξάκουστα μάλιστα ἐὰν ταῦτα συμ**162**βαίνῃ περὶ πρόσωπα ἐπίδοξα. Τῶν οὖν ἐνδοξ⟨ο⟩τάτων ὑπάρχοντος τοῦ Ἰὼβ διά τε πλοῦτον καὶ ἀρετὴν εἰκότως οἱ φίλοι περὶ τῆς τῶν συμβεβηκότων χαλεπότητος ἀκηκοότες παρεγένοντο οὐκ ἐξ ἑνὸς τόπου, ἀλλὰ ἀπὸ τῆς ἰδίας χώρας ἕκαστος, ἀπὸ συμπαθείας κινη-

---

1. Ἰὼβ 2,10. 2. Ἰὼβ 1,22. 3. Ἰὼβ 2,10. 4. Ἰὼβ 1,22. 5. Ἰὼβ 2,10. 6. Ψαλ. 76,5. 7. Β' Κορ. 1,8-9. 8. Ἰὼβ 2,11.

θέντες, καὶ ταῦτα βασιλεῖς ὑπάρχοντες, καὶ διὰ τοῦτο μὴ ὑπεριδόντες τὸν ἐν τοσαύτῃ γενόμενον μεταβολῇ. «Τύραννον» δὲ λέγει ἢ ἐκ παραλλήλου τὸν βασιλέα — οὔπω τοῦ καιροῦ ψεκτὸν εἰδότος τὸ ὄνομα — ἢ διαφορὰν ἀρχῆς παρὰ τὸν βασιλέα. Τοῦτο καὶ ἐν Παροιμίαις· «δι' ἐμοῦ βασιλεῖς βασιλεύουσιν[1] καὶ τύραννοι δι' ἐμοῦ κρατοῦσι γῆς»[2]. Πρὸς αὐτὸν δὲ οὗτοι παρεγένοντο, οὐχ ἑτέρας αἰτίας ἀγαγούσης αὐτούς. Χρήσιμον τὸ ῥητὸν πρὸς συμπάθειαν, ἵνα μὴ διὰ τὰς μεταβολὰς τὰς ἐνπιπτούσας τὰ τῆς ἀγάπης καὶ φιλαλληλίας παρίδωμεν.

«Καὶ παρεγένοντο πρὸς αὐτὸν ὁμοθυμαδὸν τοῦ παρακαλέσαι καὶ ἐπισκέψασθαι αὐτόν»[3].

Ἀμφότερα ποιῆσαι ἐληλύθασιν, **164** ἐπεὶ καὶ ἀμφότερα πεπονθὼς ἐτύγχανεν· καὶ γὰρ οὐσίας καὶ παίδων ἐστέρητο καὶ ὅλον τὸ σῶμα τῷ τραύματι συνείχετο. «Ὁμοθυμαδὸν»[4] δὲ παρεγένοντο πρὸς αὐτόν, ἢ μετὰ πολλῆς προθυμίας ἢ ὅτι διηρημένας τὰς οἰκήσεις ἔχοντες συνθέμενοι συνεληλύθασιν, ἵν' οὕτω πρὸς αὐτὸν παραγένωνται ἐπὶ παρακλήσει· οὐδὲ γὰρ παυσάμενα συνήσθοντο τὰ κακὰ ἀλλ' ἤδη ἐνεργοῦντα.

«Ἰδόντες δὲ αὐτὸν πόρρωθεν οὐκ ἐπέγνωσαν, καὶ βοήσαντες φωνῇ μεγάλῃ ἔκλαυσαν ῥήξαντες ἕκαστος τὴν ἑαυτοῦ στολὴν καὶ καταπασάμενοι γῆν. Παρεκάθισαν αὐτῷ ἑπτὰ ἡμέρας καὶ ἑπτὰ νύκτας»[5].

Δύο ἐν τούτῳ παιδεύει τὰ ἐκτεθέντα, τήν τ' ἀνδρείαν τοῦ μακαρίου — ἄλλων δυσφόρως ἐν⟨ε⟩γκόντων διὰ τὴν ἀμετρίαν τῶν συμβεβηκότων — καὶ τὴν τῶν φίλων συμπάθειαν, οἳ οὐ μόνον παρεγένοντο, ἀλλὰ καὶ θεασάμενοι οὐκ ἐπέγνωσαν διὰ τὴν νόσον αὐτόν, ταύτης καὶ τοὺς χαρακτῆρας αὐτοῦ τῆς μορφῆς ἀλλοιωσάσης, καὶ βοήσαντες μετὰ μεγάλης φω**166**νῆς ἔκλαυσαν διαρρήξαντές τε καὶ τὴν στολὴν ἕκαστος καὶ κατεπάσαντο σποδόν, ἅπερ ἅπαντα, ὡς εἴρηται, καὶ τὴν ἀνδρείαν τοῦ ἁγίου δεικνυσιν καὶ τὸ τούτων συμπαθές. Ἀκαμπὴς γὰρ ἔμεινεν, ὃ καὶ θαυμάσειεν ἄν τις, καὶ διὰ τούτων ὁ Ἰὼβ μὴ ἐρεθιζόμενος εἰς ὀλιγωρίαν ἐκ τοῦ τὸ πάθος τοὺς ἄλλους καταπλήττεσθαι, ὅπερ εἴωθεν ἀνθρώποις συμβαίνειν. Συμπαθὲς δὲ καὶ τὸ ἑπτὰ ἡμέρας καὶ ἑπτὰ νύκτας αὐτῷ προσμεῖναι. Ὅθεν οὐκ ὀλιγωρητέον τῆ⟨ς⟩ πρὸς τοὺς ἀσθενεῖς καὶ ἀβοηθήτους καρτερία⟨ς⟩ διὰ τούτων ἐπὶ συμπαθὲς ἀγομένους.

---

1. Παρμ. 8,15. 2. Παρμ. 8,16. 3. Ἰὼβ 2,11. 4. Ἔνθ' ἀν. 5. Ἰὼβ 2,12-13.

«Καὶ οὐθεὶς αὐτῶν ἐλάλησεν. Ἑώρων γὰρ τὴν πληγὴν δεινὴν οὖσαν καὶ μεγάλην σφόδρα»[1].

Οἱ διὰ παράκλησιν ἐλθόντες τῷ μεγέθει τῶν συμβεβηκότων ἀπεσιώπησαν. Εἰκότως δὲ πρότερον ἐχρῶντο τῇ συμπαθείᾳ· φιλεῖ γὰρ τοῦτο μάλιστα ἀνύειν ἐν τοῖς παρακαλουμένοις. Οὐδὲ γὰρ οὐδὲ πρὸς θεραπείαν ἦν τι αὐτοῖς πόριμον, καὶ τὴν κατὰ ἰατρείαν ἐπικουρίαν ὑπερβαίνοντος τοῦ πάθους. Εἰκὸς **168** δὲ ὅτι ἄτε διάλημψιν ἔχοντες περὶ αὐτοῦ ὡς σοφοῦ καὶ αἰδοῖ σιωπᾶν ἤροῦντο πρὸ αὐτοῦ μὴ τολμῶντες προενέγκασθαι λόγον.

ΚΕΦΑΛΑΙΟΝ Γ′

«Μετὰ τοῦτο ἤνοιξεν Ἰὼβ τὸ στόμα αὐτοῦ καὶ κατηράσατο τὴν ἡμέραν αὐτοῦ λέγων»[2].

Ὁ σοφὸς οὐκ ἔστιν ματαιολόγος οὐδὲ προφέρει διὰ γλώττης ἃ μὴ οἷά τέ ἐστιν γενέσθαι. Καταρᾶται δὲ οὐ τὴν ἡμέραν, ὅ ἐστι διάστημα χρονικόν, ἀλλὰ τὰ ἐν αὐτῇ συμβάντα. Δι' ἔθους γὰρ τῇ Γραφῇ τὰ συμβαίνοντα ἡμέραν καλεῖν. Τοῦτο ὁ ψαλμῳδὸς παιδεύει λέγων· «ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος»[3], πονηρὰν ἡμέραν οὐ τὴν χρονικὴν διάστασιν λέγων, ἀλλὰ τὰ ἐν αὐταῖς πονηρὰ συμβάντα· καὶ τὸ λεγόμενον δὲ παρὰ Παύλῳ· «ὅτι αἱ ἡμέραι πονηραί εἰσιν»[4], τῆς αὐτῆς διανοίας. Οὕτω τις τοῖσδε μὲν ἀγαθὴν εἶναι λέγοι τὴν ἡμέραν διὰ τὰ συμβαίνοντα, τοῖσδε δὲ κακήν. Τοῖς γὰρ λαοῖς Ἰσ[δ]ραὴλ ἀπροσδοκήτως διαβᾶσιν τὴν ἐρυθρὰν θάλατταν καλὴ ἡμέρα εἴη, τοῖς δὲ Αἰγυπτίοις κακή· «ἔδυσαν» γὰρ «ὡσεὶ μόλιβος ἐν ὕδατι σφοδρῷ»[5].

170 «Ἀπόλοιτο ἡ ἡμέρα ἐν ᾗ ἐγεννήθην καὶ ἡ νὺξ ἐν ᾗ εἶπαν· ἰδοὺ ἄρσεν. Ἡ νὺξ ἐκείνη εἴη σκότος καὶ μὴ ἀναζητήσαι αὐτὴν ὁ Κύριος ἄνωθεν μηδὲ ἔλθοι εἰς αὐτὴν φέγγος, ἐκλάβοι δὲ αὐτὴν σκότος καὶ σκιὰ θανάτου»[6].

Ἄξιον θεωρῆσαι εἰ κατὰ τὸν σοφώτατον Ἰὼβ καὶ τὴν τούτου ἀνδρείαν ὑπάρχει καταρᾶσθαί τε τῇ ἡμέρᾳ ἐν ᾗ ἐγεννήθη καὶ νυκτὶ ἐν ᾗ εἶπαν· ἰδοὺ ἄρσεν, ὅπως τε αὐτὴ σκότος ᾖ καίτο⟨ι⟩ πάσης νυκτὸς οὕτως οὔσης — «ἐκάλεσεν» γάρ φησιν «τὸ φῶς ἡμέραν καὶ τὸ σκότος ἐκάλεσεν νύκτα»[7] —, τί τέ ἐστιν ὃ εὔχεται μὴ ἀναζητηθῆναι ἄνωθεν τὴν ἡμέραν ὑπὸ Κυρίου μηδὲ ἐλθεῖν εἰς ταύτην φ[θ]έγγος, ἐκλαβεῖν τε

---

1. Ἰὼβ 2,13. 2. Ἰὼβ 3,1-2. 3. Ψαλ. 40,2. 4. Ἐφ. 5,16. 5. Ἐξ. 15,10. 6. Ἰὼβ 3,3-5. 7. Γεν. 1,5.

αὐτὴν σκότος καὶ σκιὰν θανάτου. Τούτων ἔνια οὐδὲ πέφυκεν γίνεσθαι· περὶ γὰρ τῆς παρελθούσης ἡμέρας καὶ μη⟨κέ⟩τι ὑπόστασιν ἐχούσης τοιαῦτα ἀρᾶσθαι εὐκτικῶς οὐκ ἂν εἴη σοφοῦ. Εἰ δὲ καὶ οἱ φιλίστορες ἐμμένοιεν τῇ τοῦ ῥητοῦ ἀποδόσει, ὑπεκλύουσι τὴν ἀνδρείαν τοῦ ἁγίου, ἣν ὁ διάβολος ὑπεκλῦσαι οὐ δεδύνηται, το**172**σαύτην αὐτὸν ἔχειν ὀλιγωρίαν ὑποτιθέμενοι, ἣν εἴπερ εἶχεν οὐδ' ἂν οὐδ' οὕτως καταισχυνθεὶς ὁ διάβολος ἐπὶ τῇ ἀνδρείᾳ αὐτοῦ ἐτύγχανεν οὐδ' ὁ Κύριος ἔλεγεν πρὸς αὐτόν· «οἶει δέ με ἄλλως σοι κεχρηματικέναι ἢ ἵνα ἀναφανῇς δίκαιος;»[1]. Οὐκοῦν, ἐπειδὴ τὰ τοῦ ῥητοῦ χώραν εὔλογον οὐκ ἔχει καὶ πρέπουσαν τῷ ἁγίῳ, κατὰ νόμους ἀλληγορίας θεωρητέον τὰ προκείμενα. Πρὶν δὲ ταύτης ἄρξασθαι, ἀκόλουθον προειπεῖν τινα συντελοῦντα πρὸς τὸ προκείμενον· ἡ τοῦ ἀνθρώπου ψυχὴ ἀθάνατος ὑπάρχουσα καὶ οὐ μόνον ἑτέρας οὐσίας παρὰ τὸ σῶμα, ἀλλὰ καὶ θειοτέρας, τούτῳ συνεπλάκη κατὰ διαφόρους λόγους, ἢ τῆς ἀξίας αὐτῆς τῆς κατὰ ῥοπὴν ἰδίαν καὶ **174** πόθον πρὸς τὰ σώματα κοινωνίαν πρὸς αὐτὰ ἐργασαμένης, ἢ διὰ τὸ χρήσιμον τῶν ὠφελίας δεομένων τούτῳ συναφθείσης. **176** Οὐδὲ γὰρ συνεσπάρη τῷ σώματι κατὰ τοὺς ἀγνοοῦντας αὐτῆς τὸ μέγεθος τῷ μὴ οἷόν τε εἶναι ἐκ σωματικοῦ σπέρματος ἀσώματον οὐσίαν ὑποστῆναι· οὐδ' αὖ ὑστέρα τοῦ σώματος πλάττεται προηγουμένη τυγχάνουσα· οὐδὲ γὰρ μετὰ τὸ «καταπαῦσαι τὸν Θεὸν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ»[2] ἐκ τοῦ μὴ ὄντος τινὰ ὑφίστησιν· «τί» γάρ φησιν «τὸ γεγονός, αὐτὸ τὸ γενησόμενον, καὶ τί τὸ πεποιημένον, αὐτὸ τὸ ποιηθησόμενον, καὶ οὐκ ἔστιν πᾶν πρόσφατον ὑπὸ τὸν ἥλιον. Ὅ⟨ς⟩ λαλήσει καὶ ἐρεῖ· ἰδὲ τοῦτο καινόν ἐστιν, ἤδη γέγονεν ἐν τοῖς αἰῶσιν τοῖς ἐπερχομένοις ἀπὸ ἔμπροσθεν ἡμῶν»[3]. **178** ⟨Μαρ⟩τυρία δὲ τοῦ τε δι' ἰδίαν κακίαν καὶ διὰ τὸ τῶν ἄλλων χρήσιμο⟨ν⟩ εἰς τὸν βίον εἰσάγεσθαί τε καὶ τοῖς σώμασιν συνπλέκεσθαι ὅ τε Ἱερεμίας ἀκούων· «πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ ἐπίσταμαί σε καὶ πρὸ τοῦ σε ἐξελθεῖν ἐκ μήτρας ἡγίακά σε, προφήτην εἰς ἔθνη τέθεικά σε»[4], Ἰακώβ τε καὶ Ἠσαύ, περὶ ὧν ὁ Θεὸς λέγει· «τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἠσαὺ ἐμίσησα»[5], ἔτι ἐν γαστρὶ τυγχανόντων, καὶ Ἰωάννης ἐν γαστρὶ τῆς μητρ⟨ὸ⟩ς «σκιρτῶν καὶ ἀγαλλιώμενος»[6]. Ταῦτα γὰρ οὐ συνχρόνους τοῖς σώμασιν ἀποδείκνυσιν τὰς ψυχάς· ὁ γὰρ ἀγαλλιαζόμενος ἐν κοιλίᾳ μητρὸς καὶ Πνεύματος Ἁγίου μετέχων ἐκ κοιλίας μητρὸς αὐτοῦ καὶ μισούμενος πρὶν γεννηθῇ καὶ ἄλλος ἀγαπώμενος οὐκ ἀναιτίως ταῦτα ὑφίσταται. Ἐπίπονον δὲ οὐ μόνον τὸ δι' οἰκεῖα σφάλματα, ἀλλὰ καὶ δι' ἑτέρων ὠφελίας συνάπτεσθαι σώματι καὶ μοχθηρότατον· ὡς γὰρ οὐ διὰ τοὺς νικῶντας ἐν πολέμῳ τὴν αἰτίαν τοῦ πολέμου ἐπαινεῖν προσήκει πρόφασιν οὖσαν ἀηδῶν πολλῶν, οὕ**180**τως οὐ διὰ τοὺς κατορθοῦντας ἐπαινεῖν ἀκόλουθον τὴν εἰς τὸν

---

1. Ἰὼβ 40,8. 2. Πρβλ. Γεν. 2,2. 3. Ἐκκλ. 1,9-10. 4. Ἱερ. 1,5. 5. Μαλ. 1,2-3. Ρωμ. 9,13. 6. Πρβλ. Λουκ. 1,44.

βίον εἴσοδον, ἀλλὰ πεπεῖσθαι, ὅτι καὶ παρ' ἑαυτοὺς ἔνιοι πειραθέντες εἰς ἔσχατον κακὸν ἐληλύθασιν καὶ τοῖς διὰ τὴν τῶν ⟨ἄλλων⟩ ὠφελίαν ἥκουσιν αἴτιοι κατέστησαν πόνων.

Τὰ τοίνυν διὰ ταύτην τὴν αἰτίαν συμβαίνοντα κακὰ ἡμέραν ὀδυνηρὰν καὶ ἀξίαν κατάρας ὁ Ἰὼβ ἡγούμενός φησιν· «ἀπόλοιτο ἡ ἡμέρα ἐν ᾗ ἐγεννήθην»[1]. Τοῦτο δὲ ὑπὲρ παντὸς τοῦ γένους λέγει. Ἐπεὶ γὰρ ᾔδει[ν] ὁ ἅγιος ὅτι πολλή τις ταραχὴ τοῖς ὁρῶσι τὰ κατ' αὐτὸν συνέβαινεν ἐπισταμένοις ὡς ἀναξίως πάσχει, ἀνάγει τὸν λόγον εἰς τὴν αἰτίαν πᾶσαν, μονονουχὶ λέγων· ἐὶ μὴ διὰ τὴν τῶν πολλῶν πτῶσιν, χαρακτῆρος ἀνδρείας οὐκ ἔδει'. Ὡς γὰρ ἐξ ἀταξίας πολλῶν κακώσει ὑποπεσόντων ὁ φιλόστοργος ἰατρὸς εἰκότως καταράσεται τῇ ἀταξίᾳ, οὕτως ὁ μακάριος θεραπεύων, ὅτι οὐκ ἀκρίτως ταῦτα γίνεται, ἀλλ' εἱρμοῦ τινος καὶ ἀκολουθίας καλούσης ἵν' ὠφεληθῶσιν οἱ πεπτωκότες, κατα**182**ρᾶται τὴν ἡμέραν τῆς πτώσεως τῶν ἀνθρώπων κοινοποιῶν τὸν λόγον. Χρῆται δὲ ταῖς λέξεσιν διηγηματικώτερον, ὅπως τὸ σχῆμα τοῦ λόγου δηλοῖτο. Ἀπόλοιτο οὖν φησιν αἰτία καὶ μηκέτι ὑπάρξαι ἡ τὴν εἴσοδον ἐργασαμένη τοῦ βίου. Εἶτ', ἐπειδὴ καὶ ἐν νυκτὶ συμβαίνει τοκετὸν γενέσθαι, παραλαμβάνει καὶ τὸ τῆς νυκτὸς ὄνομα· «ἡ νὺξ ἐκείνη εἴη σκότος»[2], ἵν' ᾖ τὸ λεγόμενον· μηκέτι ὁδεύοντες, ἀλλ' ὡς ἐν σκότῳ μὴ εὕρειεν τὴν ὁδὸν τῆς γενέσεως τῆς κακίας ἐμποδιζόμενοι ὡσεὶ καὶ περὶ κακουμένων ἐπ' ἀταξίας λέγοι τις· μηκέτι εὐοδωθείη τὰ τῶν ἀτακτούντων. «Καὶ μὴ ἀναζητήσαι αὐτὴν ὁ Κύριος ἄνωθεν»[3]. Ἔπρεπεν γὰρ τῷ ἁγίῳ εὔχεσθαι ἐπὶ τὴν ἀρετὴν ἐλαύνειν τὰ λογικὰ καὶ μηκέτι ὑποστροφὴν πάσχειν ἐπὶ χείρονα κατάστασιν — οὐ γὰρ τὴν αὐτὴν — κατὰ τοὺς μετενσωμάτωσιν εἰσάγοντας. «Μηδὲ ἔλθοι εἰς αὐτὴν φέγγος»[4]. Κωλυθείη ἡ ἐπὶ τὰ χεί**184**ρω ὁρμὴ ἀφω[ν]τίστων τῶν ἐνεργούντων μενόντων, ὅπως κατὰ τὸ εἰρημένον «φῶς ἀσεβῶν σβεσθήσεται»[5]. «Ἐκλάβοι δὲ αὐτὴν σκότος καὶ σκιὰ θανάτου»[6], ἵνα τοῖς ῥέπουσιν εἰς κακὰ σκοτώδη σφαλῇ αὕτη ἡ ἔννοια, κωλύουσα τὴν ἐπὶ τὸ κακὸν αὐτῶν ὁρμὴν οἰομένων ὅτι θανατῶδες ἐστὶν τὸ ἐπιχείρημα. Ὅμοιον τούτῳ ἐστὶν τὸ λεγόμενον ὑπὸ τοῦ προφήτου· «ἀνοικοδομήσω τὰς ὁδοὺς αὐτῆς ἐν σκόλοψιν καὶ τὴν τρίβον αὐτῆς οὐ μὴ εὕρῃ»[7]. Μέγα γὰρ αὐτὴν τὴν κακίαν ἐμποδίζεσθαι καὶ φόβῳ καὶ ἀγνοίᾳ. Οὕτω γὰρ ἐπὶ τὸ μισητικῶς πρὸς αὐτὴν ἔχειν τις ἥξει.

«Ἐπέλθοι ἐπ' αὐτὴν γνόφος, καταραθείη ἡ ἡμέρα καὶ ἡ νὺξ ἐκείνη, ἀπενέγκοιτο αὐτὴν σκότος»[8].

Ταύτας οὐκ ἀρὰς προσήκει λογίζεσθαι ἀλλ' εὐχὰς πρὸς τὸ γενέσθαι τῶν κακῶν παῦλαν. Κατὰ γὰρ τὰ προδιηγηθέντα εὐκτέον τὴν

---

1. Ἰὼβ 3,3. 2. Ἰὼβ 3,4. 3. Ἔνθ' ἀν. 4. Ἔνθ' ἀν. 5. Ἰὼβ 18,5. 6. Ἰὼβ 3,5. 7. Πρβλ. Ὡσ. 2,8. 8. Ἰὼβ 3,5-6.

αἰτίαν τῆς πτώσεως καὶ τὴν ὁδὸν ταύτης ἄγνωστον εἶναι, «ὅπως μὴ γένηται εὐοδία[ν] ἐν κακοῖς ἀνδρί»[1]. Ἀρετῆς γὰρ ἐπιθυμία τὴν ἐπὶ τὴν κακίαν ὁδὸν **186** ἀγνωστοτέραν ἐργάζεται, αὐτὴ δὲ ἐπιτεινομένη καὶ παντελῆ λήθη⟨ν⟩ τῆς ἐνεργείας αὐτῆς ἐνποιεῖ· τοῦτο γὰρ εἴη τὸ «ἀπενέγκαι⟨το⟩ αὐτὴν σκότος»[2]. Αὐτὴ δ' — αὐτὴ ἡ κακία λέγω — καὶ κατάρας ἀξία ἐστίν, τὰ ἄξια κατάρας τοὺς ἐνεργοῦντας αὐτὴν ἔχειν παρασκευάζουσα.

«Μὴ εἴη εἰς ἡμέρας ἐνιαυτοῦ μηδὲ ἀριθμηθείη εἰς ἡμέρας μηνῶν, ἀλλὰ ἡ νὺξ ἐκείνη εἴη ὀδύνη»[3].

Ἐν ἀριθμῷ καὶ μνήμῃ ὁ ἅγιος οὐ βούλεται εἶναι τὴν ἡμέραν τῆς ἐκπτώσεως ὀδυνηρᾶς γινομένης [διὰ μετανοίας] δι' ἐκείνην τὴν σκοτώδη αἰτίαν καὶ νύκτ⟨α⟩ διὰ τὸ ἐπίπονον καὶ ἀφεγγὲς καλουμένην, ἵν' ἐκ τῆς μετανοίας γένηταί τις διόρθωσις ἀφιστῶσι σ... νυκτὸς καὶ ἐνάριθμον τὸν ἐν τῇ μετανοίᾳ γεγενημένον ἀποτελῇ ὡς ἐνπεριέχεσθαι τῷ ἐνιαυτῷ ἐκείνῳ περὶ οὗ ὁ ψαλμῳδός φησιν· «εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου»[4], καὶ ψάλλειν προκόπτοντα· «πολυωρήσεις με ἐν βουλῇ σου ἐν δυνάμει σου»[5].

«Καὶ μὴ ἔλθοι ἐπ' αὐτὴν εὐφροσύνη μηδὲ χαρμο**188**ν ἡ»[6].

Φιλέταιρος ὢν ὁ ἅγιος εὔχεται μηδένα πτώσει ἐνευφραίνεσθαι ἢ ἥδεσθαι ἐν τούτῳ. Πολλάκις γὰρ ὁρῶντές τινα ἐπὶ κακὰς πράξεις σπεύδοντα εὐχοίμεθα λέγοντες· 'μὴ τύχοι τοῦ σπουδαζομένου'. Ταύτῃ τῇ γνώμῃ καὶ ὁ ἅγιος ἐπευχόμενος ψάλλει, οὐ καταρώμενος· «ἄλαλα γενηθήτω τὰ χεί⟨λ⟩η τὰ δόλια τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν ὑπερηφανίᾳ καὶ ἐξουθενώσει»[7]. Τὸ δ' ἄλαλα γενέσθαι τὰ ἄδικα χείλη τί ἕτερον εἴη ἢ παύσασθαι ἀδίκως λαλοῦντα ἐπιγνόντος τοῦ λαλοῦντος ὡς ἀπρεπὲς τὸ τοιοῦτον; Καὶ οὗτος οὖν εὔχεται ὅπως μηδεὶς οὕτως διαστραφθείη ὡς νομίσαι, ὅτι χαρτόν ἐστιν ἡ εὐφροσύνην ἐμποιοῦν τὸ ὑποπεσεῖν τῇ καταστάσει τῇ ἀγούσῃ εἰς ἀνθρωπίνην ἀσθένειαν. Τοῦτο αὐτὸς ὁ Σωτήρ φησιν· «καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος»[8], καὶ ἐν τῷ Ἐκκλησιαστῇ δείκνυται· «ἀγαθὸς ὑπὲρ τοὺς δύο τούτους ὃς οὔπω ἐγένετο»[9]. Τῷ δὲ μήπω γεγεννημένῳ κατὰ τήνδε δηλονότι τὴν γέννησιν εἰ ἀγαθὸν συμβαίνει, οὐκ ἀ-**190**νυποστάτως συμβαίνει.

---

1. Πρβλ. Σ. Σειρ. 20,9. 2. Ἰώβ 3,6. 3. Ἰώβ 3,6-7. 4. Ψαλ. 64,12. 5. Πρβλ. Ψαλ. 137,3. 6. Ἰώβ 3,7. 7. Ψαλ. 30,19. 8. Ματθ. 26,24. 9. Ἐκκλ. 4,3.

«Ἀλλὰ καταράσεται αὐτὴν ὁ καταρώμενος τὴν ἡμέραν ἐκείνην, ὁ μέλλων τὸ μέγα κῆτος χειρώσασθαι»[1].

Αὕτη ἡ εὐχὴ ὑπὲρ λύσεως τῆς αἰτίας τῶν συμβάντων, κακῶν μὲν τοῖς παρ' ἑαυτοὺ⟨ς⟩ εἰς τὴν ὁδὸν ἐλθοῦσιν τῆς γενέσεως, πόνων δὲ τοῖς δι' ἑτέρους. Εὔχεται οὖν κατάρᾳ ὑποπεσεῖν τὴν τῷ ὄντι ἀξίαν κατάρας αἰτίαν τοῦ ἀνθρωπίνου συμπτώματος, ἵνα καὶ οἱ ἐν αὐτῇ γιγνόμενοι ἐπιγνόντες ὅτι κατάρας ἐστὶ πλήρης φύγωσι ταύτην ὡς Θεοῦ καταρωμένου. Εὖ δὲ καὶ τὸ συνάψαι τῷ καταρωμένῳ Θεῷ οὐχ ἑτέραν ἐνέργειαν αὐτοῦ ἀλλὰ τὴν κατὰ τὴν οἰκονομίαν. Οὐκ εἶπεν γάρ· «ἀλλὰ καταράσεται αὐτὴν ὁ καταρώμενος τὴν ἡμέραν ἐκείνην»[2] καὶ ἐπήγαγεν 'ὁ δημιουργὸς' ἢ 'ὁ διδάσκων' — οὐ καὶ ταῦτα ἕπεται, ἀλλ' «ὁ μέλλων τὸ μέγα κῆτος χειρώσασθαι»[3]. Ἐπεὶ γὰρ ὁ διάβολος [ο] καὶ κῆτος εἴρηται αἴτιος τῆς πτώσεως τῶν ἀνθρώπων γεγονώς, ὑπὲρ δὲ ταύτης, ἵνα λυθῇ, τὴν εὐχὴν ἀναφέρει, ἀκολούθως τῇ προφητείᾳ χρῆται, ὡς «καταργηθήσεται **192** ὁ τὸ κράτος ἔχων τοῦ θανάτου διάβολος»[4], καὶ γὰρ τοῦτον προεῖδεν τῇ καθαρότητι τῆς ψυχῆς ὑπὸ τοῦ Ἁγίου Πνεύματος ⟨κινούμενος⟩ ὡς καὶ τοῖς ἁγίοις δοθῆναι ἐξουσίαν «πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ»[5], ἵνα καὶ οἱ ἄλλοι ἐκ τούτων ἀνανήψαντες ἀπαλλαγῶσι τῆς ἀντεχούσης ἁμαρτίας ὡς διὰ τὸ προκόψαι ἐν ἀρετῇ ἀκοῦσαι· «ἐπ' ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ καὶ καταπατήσεις λέοντα καὶ δράκοντα»[6], ὅς ἐστιν ὁ διάβολος. Εἴρηται γὰρ περὶ αὐτοῦ· «ὁ ἀντίδικος ἡμῶν διάβολος ὡσ[τε] λέων περιπατεῖ ζητῶν τίνα καταπίῃ»[7], καὶ πάλιν· «συνέτριψας τὰς κεφαλὰς τοῦ δράκοντος»[8]. Καλῶς δὲ τὸ « ὁ μέλλων» εἴρηται, δηλοῦν τὸ κατὰ τὴν ἐνανθρώπησιν. Οὐ γὰρ ἥρμοζε γυμνῇ θεότητι καταργῆσαι τὸν διάβολον, ἀλλὰ διὰ τούτου ναοῦ τοῦ λόγου γεγενημένου, ὃς ἐκ σπέρματος τοῦ ἀπα⟨τη⟩θέντος καὶ βλαβέντος ὑπὸ διαβόλου γεγένηται. Καύχημα γὰρ αὐτῷ ἦν εἰ γυμνῇ θεότητι χειρωσάμενος αὐτὸν ὑπῆρχεν. **194** Τὰ διάφορα δὲ ὀνόματα τοῦ διαβόλου ἐνεργείας αὐτοῦ διαφόρ⟨ου⟩ς, οὐκ οὐσίας δηλοῖ. Διάβολος γὰρ καὶ ἀντικείμενος καὶ πονηρὸς καὶ λέων καὶ δράκων καὶ ὄφι⟨ς⟩ καὶ κῆτος διὰ τὸν τρόπον λέγεται, διαφόρως αὐτοῦ τὴν κακίαν ἐνεργοῦντος, ὅπερ ἀνατρεπτικόν ἐστιν τοῦ Μανιχαϊκοῦ δόγματος.

«Σκοτωθείη τὰ ἄστρα τῆς νυκτὸς ἐκείνης καὶ μὴ ὑπομείναι καὶ εἰς φωτισμὸν μὴ ἔλθοι, καὶ μὴ ἴδοι ἑωσφόρον ἀνατέλλοντα»[9].

Τὰ ἐν τῇ ἡμέρᾳ τετάρτῃ γεγενημένα ἄστρα — ταὐτὰ ἄχρι τῆς συντε-

---

1. Πρβλ. Ἰὼβ 3,8. 2. Ἔνθ' ἀν. 3. Ἔνθ' ἀν. 4. Πρβλ. Ἑβρ. 2,14. 5. Λουκ. 10,19. 6. Ψαλ. 90,13. 7. Πρβλ. Α' Πέτρ. 5,8. 8. Πρβλ. Ψαλ. 73,13. 9. Ἰὼβ 3,9.

λείας — πάσης ἐστὶν νυκτὸς καὶ οὐ τῆσδε μὲν τάδε, τῆσδε δὲ τάδε, ὥστε τὸ «ἐκείνης» προσκείμενον τῆς ἱστορίας ἡμᾶς ἀπάγει· οὐ γὰρ μία νὺξ ἰδικῶς ἕτερα ἄστρα ἔχει, ἵνα καὶ περὶ αὐτῶν λεχθῇ ὅπως σκοτωθῶσιν. Ἄλλως δέ, πῶς οὐκ ἀπᾷδον ἀνδρὸς σοφοῦ τὸ εὔχεσθαι σκοτωθῆναι ἄστρα ἃ ὁ Θεὸς εἰς τὸ φαί**196**νειν ἐποίησεν τοῦτό τε εὔχεσθαι διὰ τὰ περιστατικὰ τὰ αὐτῷ συμβάντα, ὅπερ τῆς ἀνδρείας αὐτοῦ ἐστιν καθαιρετικόν. Διόπερ ἀνακτέον αὐτὰ κατὰ τὰ προαποδοθέντα. Εὔχεται οὖν ὁ ἅγιος μὴ αἱρετὰ λογίζεσθαι τοὺς ἀνθρώπους τὰ μὴ ὄντα αἱρετά. Ἐπειδὴ αἱ ψυχαὶ αἱ φιλαμαρτήμονες ἔχουσί τινα τὰ πρὸς κακίαν χειραγωγοῦντα, ἢ διδασκαλίαν τῶν κακῶν ἢ λογισμοὺς εἰς ταῦτα ἄγοντ⟨α⟩ς, ἅπερ φῶς ἀπ' αὐτοῦ λέγεται διὰ τὸ τρόπον τινὰ προκοπὴν εἰς κακίαν ἐνποιεῖσθαι, εὔχεται ταῦτα μὴ συνδραμεῖν μηδὲ ὑπόθεσιν εἶναι τοῖς ἐπὶ κακίαν χωροῦσιν, λέγων· «σκοτωθείη τὰ ἄστρα τῆς νυκτὸς ἐκείνης»[1], νυκτὸς λέγων τῆς ὁδοῦ τῆς εἰς τὴν ἀνθρωπίνην κατάστασιν. Μηδὲν φαινέσθω ταῖς ψυχαῖς λαμπρὸν μηδὲ χειραγωγοῦν ἐπ' αὐτήν, ἵνα πολλῶν δεσμὸς γένηται κακῶν ἐν αὐτῇ. Αὐτὴ μὴ ἔστω παράμονος ἀποστραφέντων αὐτὴν λοιπὸν τῶν λογικῶν **198** διὰ τὸ ἀφώτιστον, ὅ ἐστιν διὰ τὸ μὴ εὑρίσκειν ἢ ἐνγίνεσθαι τοιαῦτα ὑπεκκαύματα τὰ ἄγοντα ἐπ' αὐτήν. Ἐν αὐτῇ δὲ ταύτῃ μηδὲ ἑωσφόρος γένοιτο λόγος δοκῶν εἶναι φωτεινὸς διὰ πιθανότητα τοῦ δεῖν ἀρέσκεσθαι τῇ ὁδῷ ταύτῃ. Πολλάκις γὰρ ὁ φιλαμαρτήμων ἐμμένει τῷ σφάλματι ἢ τὴν ἡδονὴν ἀποδεχόμενος ἢ λογισμοὺς πιθανοὺς ἀνακινῶν, ἐξ ὧν οἴεται μὴ σφάλλεσθαι.

«Ὅτι οὐ συνέκλεισεν πύλας γαστρὸς μητρός μου»[2].

Τὸ αἴτιον τῆς ἀρᾶς νῦν φαίνεται λέγων, ὅπερ οὐκ ἐπὶ τῆς αἰσθητῆς νυκτὸς ἁρμόζει, ἀλλὰ τῆς καταστάσεως ὡς ἔφαμεν τῆς ἐπὶ τὸν βίον ἀγούσης. Εἰ γὰρ μὴ ἦν αὐτὰς οἴξασα, οὐδ' ἂν ἠνοίγοντο πύλαι γαστρὸς μητρός, ὃ ἔστιν οὐκ ἂν ἦν ὁ ἐπώδυνος οὗτος βίος οὐδὲ δι' ἁμαρτίαν τοιαύτης .... ἐγεγόνει τὸ τοῦ γένους ἁμάρτημα. Τούτου δ' ὑπάρχοντος οὐκ ἂν οὐδ' ὁ κατ' οἰκονομίαν κ..... διάγων διὰ ταύτης τῆς καταστάσεως παρετείνετο, ἅπερ εἰ**200**δὼς καὶ ὁ μακάριος Παῦλος ἔφασκεν· «κάλλιον ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι[3]. Τὸ δὲ ἐπιμένειν τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς»[4], ὥστε τὸ μὲν διά τι, τὸ δὲ ἀπολύτως καλὸν ὑπάρχειν. Μακάριον γὰρ τὸ ἐκτὸς εἶναι τοῦ ζῆν τούτου. Τοῖς γοῦν γνωρίμοις ὁ Ἰησοῦς λέγει· «οὐκέτι ἐστὲ ἐκ τοῦ κόσμου τούτου, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς»[5]. Βέλτιον οὖν τὸ μηδὲ τὴν ἀρχὴν πειραθῆναι τοιαύτης ὁδοῦ, κἂν δι' οἰκονομίαν συμβαίνῃ. Καλὸν γάρ, εἰ μηδεὶς ἐδέετο ἰατροῦ ὑγιὴς ὤν. Οὕτω γὰρ ἠκολούθει

---

1. Ἰὼβ 3,9. 2. Ἰὼβ 3,10. 3. Πρβλ. Φιλιπ. 1,3. 4. Φιλιπ. 1,24. 5. Πρβλ. Ἰω. 15,19.

τὸ μὴ εἶναι ἐν τῇ αὐτῇ καταστάσει, ἢ ἀκολουθεῖ καὶ ἐπίπονα καὶ ἀηδῆ, ὡς καὶ ἐπιφέρει.

«Ἀπήλλαξεν γὰρ ἂν πόνον ἀπὸ ὀφθαλμῶν μου»[1].

Οὐ μόνον τὸν θλίβοντα καὶ περιέχοντα αὐτὸν πόνον δηλοῖ, ἀλλὰ καὶ ὅτι εἶδεν πολλοὺς διαστρεφομένους· ὁ γὰρ τοῦ δικαίου ὀφθαλμὸς ἐκθέσμοις ἔργοις ἐνεργουμένοις ἀπὸ τῶν φαύλων βαρύνεται. Καὶ αὐτὸ δὲ τὸ ἐπιχωρεῖν τῷ βίῳ πόνος οὐ μικρός. **202** Ἐν ἀδικίᾳ ταῦτα πάντα ἔχει ....ρενα, ἅπερ ἤργει κακίας μὴ γινομένης. Ἀλλὰ καὶ ὁ Ἀμβακοὺμ τοιαύτην ἀφίησι φωνὴν λέγων· «ἱνατί μοι ἔδειξας κόπους καὶ πόνους, ἐπιβλέπειν ταλαιπωρίαν καὶ ἀσέβειαν;»[2].

«Διὰ τί γὰρ ἐν κοιλίᾳ οὐκ ἐτελεύτησα, ἐκ γαστρὸς δὲ ἐξῆλθον καὶ οὐκ εὐθὺς ἀπωλόμην; Ἱνατί δὲ συνήντησάν μοι τὰ γόνατα, ἵνατί δὲ μαστοὺς ἐθήλασα;»[3].

Τὴν οἰκονομίαν τὴν διὰ τοὺς ὠφελουμένους ὡς ἔοικεν παραιτεῖται κατὰ τὸν Ἰωνὰν πρὸς τῷ καὶ διδασκαλίαν ἀπαιτεῖν τῶν τοῦ Θεοῦ κριμάτων, ὅπερ ἴδιόν ἐστιν τῶν δικαίων, οὐκ ἀγνοούντων παντελῶς, ἀλλ' ἵνα οἱ ἄλλοι μάθωσιν τὸ τοιοῦτο εἶδος τῶν λόγων προσωποποιουμένων. Ὁ Ἱερεμίας γοῦν προσάγει πεῦσιν· «δίκαιος εἶ, Κύριε»[4], «πλὴν κρίματα λαλήσω πρὸς σέ»[5], ὅπερ δεικτικὸν ὑπάρχει τοῦ εἰδέναι ἃ τούτοις γίνεται, περὶ ὧν ἐρωτᾷ· «τί ὅτι ὁδὸς ἀσεβῶν εὐοδοῦται;»[6]. Τὸ τοῦ Θεοῦ κρίμα τῷ ὄντι πολλὴν δέχεται **204** ποικιλίαν ἀδίκων μὲν εὐθηνουμένων, δικαίων δὲ στενοχωρουμένων καὶ μυσαρῶν μετασχόντων, ὡς αὐτὸς ὁ Ἱερεμίας ἅγιος ὢν ὡς καὶ ἐκ μήτρας ἡγιάσθαι[7], παθὼν δὲ τοσαῦτα ὡς καὶ εἰς λάκκον βορβόρου ἐμβάλλεσθαι[8].

Ἀλλὰ καὶ Λάζαρος καὶ ὁ πλούσιος — ⟨ὁ⟩ μὲν κακοπαθῶν, ὁ δὲ ζῶν μετὰ πλείστης εὐπαθείας[9] — τὸ τῶν ἀπορρήτων Θεοῦ κριμάτων ἀκριβὲς ἐκφέρουσιν. «Εὐοδεῖσθαι»[10] δὲ τοῦτο καλεῖ ὡς πρὸς τὴν τῶν πολλῶν δόξαν. Οὐκ ματαιολογῶν οὖν ἀλλ' ἐρωτῶν διὰ τὸ τοὺς ἄλλους μαθεῖν τὰ τοιαῦτα ἐπιφέρει ὁ ἅγιος. Τούτου τοίνυν ὑπάρχει καὶ τὸ ἐν ἑνὶ τῶν ψαλμῶν λεγόμενον· «ὡς ἀγαθὸς τῷ Ἰσ[δ]ραὴλ ὁ Θεός, τοῖς εὐθέσι τῇ καρδίᾳ. Ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες, παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου, ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις εἰρήνην ἁμαρτωλῶν θεωρῶν»[11].

Ὅτι δ' οὐκ ἀμφιβάλλει δῆλον· φησὶν γάρ· «ὡς ἀγαθὸ⟨ς⟩ τῷ Ἰσ[δ]ραὴλ ὁ Θεός»[12]. Ταῦτα ποιεῖ νοούμενα παρὰ τῶν εὐθεῖαν ἐχόντων

---

1. Ἰὼβ 3,10. 2. Ἀββ. 1,3. 3. Ἰὼβ 3,11-12. 4. Ἱερ. 12,1. 5. Ἔνθ' ἀν. 6. Ἔνθ' ἀν. 7. Πρβλ. Ἱερ. 1,5. 8. Πρβλ. Ἱερ. 45,6. 9. Πρβλ. Λουκ. 16,19. 10. Πρβλ. Ἱερ. 12,1. 11. Ψαλ. 72,1-3. 12. Ψαλ. 72,1.

καρ**206**δίαν. Ἑαυτὸν δ' ὑποτίθεται σαλευόμενον καὶ βέβαιος ὤν, τῶν δὲ δυσαρεστουμένων πρόσωπον ἀναδεχόμενος, ἵνα λοιπὸν μετὰ τὰ ῥήματα τοῦ δισταγμοῦ τὰ ῥήματα τῆς διδασκαλίας ἐπενέγκῃ. Καὶ ὁ Ἰὼβ γοῦν Θεοῦ πυνθανόμενος μαθεῖν θέλει — τοῦτο γὰρ εἰσάγει πρόσωπον — τῆς τοιαύτης διαγωγῆς αἰτίαν. Καὶ γὰρ πρὸς τὴν αἰτίαν τῆς ἐν σώματι ὁδοῦ ὡσανεὶ ἀναδεχόμενός φησιν, † ὅτι γὰρ .....πεσόντες εἰς τοσαύτην .....ν κακίαν ὡς δεηθῆναι πρὸς τὸ σῶμα κοινωνίας καὶ βοηθοὺς τοὺς οἰκονομίας χάριν ἐλθόντας, ὥστε λέγειν τὰ ἐκτεθέντα· «Διὰ τί γὰρ ἐν κοιλίᾳ οὐκ ἐτελεύτησα;»[1]. Εὐλαβείᾳ γὰρ οἱ ἅγιοι παραιτοῦνται τὸ ἐγχειρίζεσθαι τὴν τῶν ἀσθενεστέρων ὠφελίαν. Διὰ τοῦτο αὐτὸ καὶ τὰ ἑξῆς δέ φησιν· «ἐκ γαστρὸς δὲ ἐξῆλθον καὶ οὐκ εὐθὺς ἀπωλόμην;»[2]. Ὡσαύτως καὶ τό· «ἵνατί συνήντησάν μοι τὰ γόνατα; Ἵνατί δὲ μαστοὺς ἐθήλασα;»[3]. Ἐβούλετο γὰρ ὁ ἅγιος μὴ συμβῆναι νόσον τοῖς **208** λογικοῖς, ἵνα μὴ ἀκολουθία γένηται τοῖς καθαροῖς δι' αὐτοὺς ἐλθεῖν ἰατρείας τρόπῳ. Εὖ δὲ καὶ τό· «ἵνατί συνήντησάν μοι τὰ γόνατα;»[4], ὅπερ δηλοῖ πορείαν. Τοῖς μὲν γὰρ ἄλλοις διὰ τὰ ἴδια πταίσματα ἐνταῦθα ἠκολούθει ὁ βίος, τοῖς δὲ ἁγίοις συνήντησεν οὐχ ὡς ὑπευθύνοις, ἀλλ' ὡς οἰκονομίαν ἐκτελοῦσιν.

«Νῦν ἂν κοιμηθεὶς ἡσύχασα, ὑπνώσας δὲ ἀνεπαυσάμην μετὰ βασιλέων βουλευτῶν γῆς»[5].

Εἰ γάρ, φησίν, μὴ τοιαύτη ἀκολουθία καὶ εἱρμὸς ἐγεγόνει ὡς ὁδεῦσαί με ἄχρι ταύτης τῆς καταστάσεως διὰ τοὺς χρῄζοντας θεραπείας, ὅ ἐστιν εἰ ἐν κοιλίᾳ ἐτύγχανον τελευτήσας ἐκ γαστρὸς μὴ ἐξελθὼν καὶ εὐθὺς περιαιρούμενος ⟨καὶ⟩ μὴ συναντήσαντά μοι ὑπῆρξεν τὰ γόνατα μηδὲ μαστοὺς ἐθήλασα, ὅ ἐστιν εἰ μὴ διὰ τὴν ἡμῖν ἐγχειρισθεῖσαν ἐπίπονον οἰκονομίαν, «νῦν ἂν κοιμηθεὶς ἡσύχασα»[6], ὅ ἐστιν· παῦλαν ἐσχηκὼς ἐν αὐτῇ τῇ βιοτῇ τῶν θείων καὶ οὐρανίων λογικῶν διῆγον διατριβήν. **210** Οἱ βασιλεῖς καὶ βουλευταὶ τυραννοῦσι γῆς τῶν πραέων, περὶ ὧν εἴρηται· «μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν»[7], ἐκλαμβανόντων ἡμῶν βασιλεῖς μὲν τοὺς ἐν ὑπεροχῇ, βουλευτὰς τοὺς ὑποδεεστέρους, ὧν οἱ βασιλεῖς ἄρχουσιν. Τοιαύτην ἀναλογίαν περιέχει ἡ παραβολὴ ἡ ἐν τοῖς εὐαγγελίοις· «γίνου ἐπάνω δέκα πόλεων ἢ πέντε»[8].

«Οἳ ἠγαυριῶντο ἐπὶ ξίφεσιν»[9].

Οὐ φιλοπόλεμός τις ὢν ὁ ἅγιος μετὰ τοιούτων βασιλέων κατὰ τὸ πρόχειρον διαγαγεῖν ἐβούλετο, οἵτινες ἕτοιμοι πρὸς τὸ πολεμεῖν ὄντες τὰς ἐν τοιούτοις διαγωγὰς καλὰς νομίζουσιν, ἀλλ' ἐπιστάμενος

---

1. Ἰὼβ 3,11. 2. Ἔνθ' ἀν. 3. Ἰὼβ 3,12. 4. Ἔνθ' ἀν. 5. Ἰὼβ 3, 13-14. 6. Ἰὼβ 3,13. 7. Ματθ. 5,5. 8. Πρβλ. Λουκ. 19,17,19. 9. Ἰὼβ 3,14.

«ὅτι ἡ πάλη τοῖς ἁγίοις οὐ πρὸς αἷμα καὶ σάρκα» κατὰ τὸν ἀπόστολόν ἐστιν„«ἀλλὰ πρὸς ἀρχάς, πρὸς ἐξουσίας, ἀλλὰ πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου, ἀλλὰ ⟨πρὸς⟩ τὰ πνευματικὰ τῆς πονηρίας»[1], πρὸς οὓς οἱ καλῶς πολιτευόμεν⟨οι⟩ τὴν σωτήριον «πανοπλίαν»[2] ὡπλισμένοι προμάχονται, μετ' ἐκείνων **212** ἐβούλετο ἔχειν τὴν διαγωγὴν μὴ πειραθεὶς ἀνθρωπίνης γενέσεως. Ἀλλ' εἷς ἐκείνων εἰρηναίων ἐτύγχανεν καὶ ὁ ὑπὸ Ἰησοῦ τοῦ τοῦ Ναυὴ ὀφθεὶς ἀρχιστράτηγος τοῦ Κυρίου, ᾧ καὶ εἶπεν· «ἡμέτερος εἶ ἢ τῶν ὑπεναντίων;»[3]. Διακριτικὸς ὢν ὁ ἅγιος καὶ οὐ πρόχειρος γιγνώσκ⟨ει⟩, ὅτι καὶ ὁ ἀντίδικος πολλάκις «μετασχηματίζεται εἰς ἄγγελον φωτός»[4]. Οὗτοι δὲ καὶ γαῦροι τυγχάνουσιν οὐκ ἀλαζονεία⟨ν⟩ προτιμῶντες, ἀλλὰ τῇ νίκῃ τῇ κατὰ τῶν ἐναντίων χαίροντες καὶ «ἀγαλλιώμενοι ἐν Θεῷ»[5].

«Ἢ μετὰ ἀρχόντων, ὧν πολὺς ὁ χρυσός, οἳ ἔπλησαν τοὺς οἴκους αὐτῶν ἀργυρίου»[6].

Τῆς αὐτῆς ὄντα διανοίας καὶ τὰ νῦν προεκτεθέντα οἰκείως τῷ προσώπῳ τοῦ ἁγίου ἐκδεξώμεθα. Οὐ γὰρ φιλάργυρος ὢν ἡ κόλαξ μετὰ πλουσίων διάγειν εὐκτέον ἡγεῖτο, ὅ⟨ς⟩ γε τὴν πάντων τῶν κτημάτων καὶ χρημάτων ἀπώλειαν γενναίως ἤνεγκεν πλοῦτόν τε οὐκ ἐδέξατο τῶν φίλων ἀκολάκευτος ὢν καὶ ἐλευθέραν ἔχων πρόθεσιν καὶ λόγον ἀσάλευτον, **214** ὡς μετὰ τοιούτων ἀρχόντων ἐβούλετο αὐτῷ εἶναι τὴν διατριβὴν καὶ βασιλέων, οἳ τῷ πλούτῳ κεκοσμη⟨μέ⟩νοι ἐτύγχανον. Ἀγαθὸν πλοῦτόν τισιν οἰομένοις πεπλουτηκέναι γράφει ὁ θαυμάσιος Παῦλος· «ἤδη ἐπλουτήσατε· χωρὶς ἡμῶν ⟨ἐ⟩βασιλεύσατε· καὶ ὄφελόν γε ἐβασιλεύσατε, ἵνα καὶ ἡμεῖς ὑμῖν συνβασιλεύσωμεν»[7]. Πολὺν γὰρ χρυσόν, ὃς δηλοῖ καθαρὰν νόησιν, οὗτοι κέκτηνται, καθαροὶ καθαρῶς τῷ φωτί τῆς γνώσεως προσπελάζοντες. Οὗτοι δ' αὐτοὶ καὶ τῷ ἀν⟨α⟩λόγῳ τῆς φύσεως, [οὐ] ⟨τῷ⟩ προφορικῷ ⟨λόγῳ⟩, τοὺς ἰδίους οἴκους ἐνέπλησαν, τὸν ἑαυτῶν νοῦν κοσμηθέντες τῇ μετουσίᾳ Λόγου ἐκ τῆς ὑπερβαλούσης καθαρότητος, μηδὲν τῆς τοιαύτης ἔχοντες καταστάσεως, ἐν ᾗ γέγονεν ὁ Ἰὼβ οἰκονομίας χάριν, ἥτις διὰ τὴν πρὸς ἀνθρώπους ὁμιλίαν τε καὶ διατριβὴν τὸ ὅμοιον τοῦ τοιούτου νοῦ ἀθόλωτον οὐκ ἔχει, ὅπερ ἀποσμηχθείη διὰ τὸ μὴ εἶναι ἁμάρτημα, ἄλλο δέ τι προσγονός, ὃ τῆς ἐ**216**τέρων ὠφελίας χάριν συνβέβηκεν.

«Ἢ ὥσπερ ἔκτρωμα ἐκπορευόμενον ἐκ μήτρας μητρός, ἢ ὥσπερ νήπιοι, οἳ οὐκ εἶδον φῶς»[8].

Τῷ· «ἵνατί δὲ μαστοὺς ἐθήλασα»[9] τοῦτο προσαποδίδοται διὰ μέ-

---

1. Πρβλ. Ἐφ. 6,12. 2. Ἐφ. 6,13. 3. Ἰησ. Ν. 5,13. 4. Β' Κορ. 11,14. 5. Πρβλ. Λουκ. 1,47. 6. Ἰὼβ 3,15. 7. Α' Κορ. 4,8. 8. Ἰὼβ 3,16. 9. Ἰὼβ 3,12.

σου εἰρημένων τῶν στίχων ἀπὸ τοῦ· «νῦν ἂν κοιμηθεὶς ἡσύχασα»[1] ἕως τοῦ· «οἳ ἔπλησαν τοὺς οἴκους αὐτῶν ἀργυρίου»[2]. Εἴη οὖν ἡ αὐτὴ διάνοια τοῖς πρότερον εἰρημένοις· ὡς γὰρ ἀβούλητον ἐτύγχανεν τὸ εἰς γένεσιν ἐλθεῖν, οὕτω καὶ τὸ ἐν ἐκτρώματι γενέσθαι χαρτὸν αὐτῷ, ἵνα μὴ ἐπὶ πλεῖον **218** τῆς κατὰ γένεσιν ταύτην μετασχῇ διαγωγῆς καὶ συντριβῇς ἢ εἰ κἂν νήπιος γέγονε⟨ν⟩, πάλιν ὑποστρέψας ἢ[ν], ὅπως μὴ ἐν ἕξει ἡλικίας μετὰ τὴν νηπιώδη γένηται. Καὶ γὰρ τῷ ὄντι οὐκ ἔξω ἀπορίας καὶ ζητήσεως εἴη ἂν τὸ τοιοῦτον, τῶν μὲν οὐκ εἰς τὸ ζῆν ἡκόντων, τῶν δὲ μετὰ τὴν ἀπότεξιν εὐθὺς πάλιν ἀποθνῃσκόντων, ἅπερ ὁ φιλόσοφος ἐρευνῶν εἴσεται οὐ⟨χ⟩ ὡς αὐτὰ τυχικῶς γίνεται, δικαίου καὶ ἀγαθοῦ τοῦ Θεοῦ τυγχάνοντος καὶ λόγῳ καὶ τάξει καὶ μέτρῳ σταθμῷ τε τὰ πάντα τοῦ Θεοῦ τῶν ὅλων διοικοῦντος[3]. Οἶδεν αὐτὸς καὶ ὁ ἅγιος τὸ κρῖμα καὶ οὐκ ἀμεριμνῶν τοῦτό φησιν, ἀλλὰ τὴν βελτίονα κατάστασιν αἰνῶν καὶ ταύτην προτιμητέαν εἶναι πειθόμενος:

«Ἐκεῖ ἀσεβεῖς ἐξέκαυσαν θυμὸν ὀργῆς, ἐκεῖ ἀνεπαύσαντο κατάκοποι τῷ σώματι, ὁμοθυμαδὸν δὲ οἱ αἰώνιοι»[4].

Ὅλος ὁ εἱρμὸς τῶν ὑπὸ τοῦ Ἰὼβ εἰρημένων διανοίας θείας πειρώμενος διδασκαλίαν ἐπά**220**γει τῆς τῶν ἀνθρώπων διαφόρου γενέσεως. Διαλαβὼν γὰρ περὶ τοῦ εὐκτέον αὐτῷ εἶναι μὴ πλησιάσαι τῇ ὁδῷ τῇ ἀνθρωπίνῃ μηδὲ γεννηθῆναι ἢ γεννηθέντα εὐθὺς τοῦ ζῆν τούτου ἀπαλλαγῆναι, ἐπάγει καὶ αἰτίαν τινὰ διδάσκων, ὡς ταῖς ἀντικειμέναις δυνάμεσιν χαρτὸν ὑπάρχον τοῦτο οὐ μικρῶς ἐσπουδάζετο. Ἐπεὶ γὰρ ὁ λόγος ἔδειξεν, ὡς διὰ σφάλματα γενέσεως διαφόρου[ς] ἔτυχον αἱ ψυχαί, φιλαμαρτήμονες δὲ διάβολος καὶ οἱ σὺν αὐτῷ ὡς καὶ διεγείρειν εἰς κακίαν τοὺς διδομένους αὐτῇ, αὐτὸ τοῦτο ἑρμηνεύει λέγων· «ἐκεῖ ἀσεβεῖς ἐξέκαυσαν θυμὸν ὀργῆς»[5], «ἐκεῖ» λέγων τὸν ἕτερον παρὰ τοῦτον κόσμον ὡς ἐν τῷ· «γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ»[6]. Ὅμως δ', εἰ καὶ χαρτὸν ταῖς πονηραῖς δυνάμεσιν τὸ τοιοῦτον, προεῖδε Θεὸς οἰκονομῶν καὶ ἑκάστῳ νόμους δέδωκεν κωλύοντας τὸ ἁμαρτάνειν, ὥστε ἐν τούτῳ διάγοντας **222** τῷ σώματι οὐράνια φρονεῖν καὶ ποθεῖν τὴν ἐκεῖ ὡσαύτως διατριβήν, ἵνα κεκμηκὼς τῷ σώματι καὶ κατάκοπός τις γεγενημένος τῷ παλαίειν πρὸς τὴν κακίαν ἀνάπαυσιν ἔχῃ. Τοῦτο γὰρ σημαίνει τό· «ἐκεῖ ἀνεπαύσαντο κατάκοποι τῷ σώματι»[7]. Οἱ γὰρ ἅγιοι εὐαρ⟨ε⟩στήσαντες διὰ πολλῶν ἐπὶ γῆς [διὰ πολλῶν] θλίψεων, ἐξ ὧν κατάκοποι τῷ σώματι καὶ οὐ τῷ φρονήματι γίνονται, τὴν ἀνάπαυσιν μετ' ἀγγέλων ὁμοθυμ⟨αδ⟩ὸν ἔχουσιν αἰωνίων τυγχανόντων. Εἰ δὲ ἐκεῖνοι αἰώνιοι, ὁμοθυμαδὸν δὲ ἡ ἀνάπαυσι⟨ς⟩

---

1. Ἰὼβ 3,13. 2. Ἰὼβ 3,15. 3. Πρβλ. Σ. Σολ. 11,20. 4. Ἰὼβ 3,17-18. 5. Ἰὼβ 3,17. 6. Ἰὼβ 1,21. 7. Ἰὼβ 3,17.

αὐτῶν ὑπάρχει, δῆλον ὡς καὶ αἱ ψυχαὶ αἰώνιοι· ἀθάνατοι γὰρ καὶ τῶν προσκαίρων καταφρονήσασαι τὰ αἰώνια ἔχουσι. Σημειωτέον, ὅτι τὸ αἰώνιον κατὰ πλείονας λέγεται τρόπους· σημαίνει καὶ τὸ ἄναρχον καὶ ἀτελεύτητον ὡς ἐν τῷ· «Θεὸς αἰώνιος»[1]. Λέγεται γὰρ αἰώνιος ὁ Θεὸς τῷ μήτε ἀρχὴν μήτε τέλος ἔχειν ὑπάρξεως. Καὶ ἄλλο τι τὸ αἰώνιον, καθ' ὃ εἴρηται· «τὰ μὴ βλε**224**πόμενα αἰώνια»[2]. Οὔτε γὰρ ὡς Θεὸς ταῦτα αἰώνια, ἀλλὰ διὰ τὸ μὴ διαπίπτειν μένοντα ἀεὶ ἐν τῷ αὐτῷ. Καὶ ἑτέρως τὸ αἰώνιον, ὅταν συνμετρῆται τῷ παρόντι, καθ' ὃ εἴρηται· «φρονιμώτεροί εἰ⟨σιν⟩ οἱ υἱοὶ τοῦ αἰῶνος τούτου ἐν τῇ ἑαυτῶν γενεᾷ»[3]. Λέγεται δὲ καὶ ὁ παρεκτείνων τῇ ζωῇ τοῦ ἀνθρώπου χρόνος αἰών. Περὶ γοῦν τοῦ Ἑβραίου τοῦ μὴ βουληθέντος ἐλευθερωθῆναι ἐν τῷ ἑβδόμῳ ἔτει κεῖται, ὅτι «ἔσται σοι δοῦλος εἰς τὸν αἰῶνα»[4]. Οὐ γὰρ διόλου ἀνθρώπου τις δοῦλος μένει καὶ μετὰ τὸν θάνατον. Κατὰ τοῦτο τὸ σημαινόμενον καὶ Παῦλος γράφει· «εἰ κρέα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα[ς] εἰς τὸν αἰῶνα»[5], ἀντὶ τοῦ· διὰ βίου.

«Οὐκ ἤκουσαν φωνὴν φορολόγου»[6].

Εἰσφορᾶς γὰρ πεπλήρωται οὗτος ὁ αἰών, ἐν ᾧ διάγων οἰκονομίας χάριν ἐνταῦθα ἦκεν. Πολλοὶ γάρ εἰσιν, ὅσοι ὑπὸ τὸ⟨ν⟩ ζυγὸν τῆς ἁμαρτίας γεγενημένοι φόρους καὶ τέλη τῷ ἀντικειμένῳ παρέχουσιν. Τοιού**226**τοις φόροις ὑπόχρεων γεγενημένην τὴν Ἱερουσαλὴμ ὁ προφήτης Ἱερεμίας ἐθρήνει λέγων περὶ αὐτῆς· «ἄρχουσα ἐν χώραις ἐγενήθη εἰς φόρον»[7]. Ἥτις ἐστὶν πιστῶν ψυχῶν σύνοδος ἡ .... α τῆς οἰκείας ἐλευθερίας τῷ ὠμοτάτῳ τυράννῳ ..... .ω ὑπέταξεν ἑαυτήν. ..... ἅγιοι οὗτοι καὶ δεικνύντες .. τὸ ἐν τῷ εὐαγγελίῳ ὁπηνίκα
.....
.....
βασιλέων δέ ἐστιν τὸ μὴ εἶναι ὑποτελεῖς. Οὗτοι οὖν οἱ ἀπολελυμένοι τῶν προσκαίρων ἢ διὰ τὸ μὴ πεπειρᾶσθαι αὐτῶν ἢ καὶ μετὰ πεῖραν ἀνωτέρω αὐτῶν ὄντες, ἑκατέρως δὲ ἀλλοτρίων ἔξω φόρου εἰσὶν μὴ τοῖς πειρασμὸν ἐνποιοῦσιν.....
.....

«Ὁ μικρὸς καὶ μέγας [ε] ἐκεῖ ἐστιν, καὶ θεράπων δεδοικὼς τὸν Κύριον[8] καὶ τετευχὼς σκιᾶς».

Τὸ ἀπροσωπόλημπτον[9] τοῦ διοικοῦντος ἐν τοῖς προκειμένοις **228** δείκνυται. Οὐδὲ γὰρ ἑτέρως Κύριος καὶ ἑτέρως δοῦλος ἢ πένης

---

1. Γεν. 21,33. 2. Β' Κορ. 4,18. 3. Λουκ. 16,8. 4. Ιρβλ. Δευτ. 15,17. 5. Ιρβλ. Α' Κορ. 8,13. 6. Ἰὼβ 3,18. 7. Θρ. 1,1. 8. Ἰὼβ 3,19. 9. Ιρβλ. Ρωμ. 2,11.

εἰς τὸν βίον εἰσέρχεται. Οὐ γὰρ ἐν τῷ· «βασιλεύς τις ἢ τύραννος»[1] ἡ Σοφία διαγορεύει «ἑτέραν» τινὰ «γενέσεως ἀρχήν»[2]· «μία» γὰρ «πάντων εἴσοδος εἰς τὸν βίον ἔξοδός τε ἴση»[3], καὶ εἰ διάφορος κατὰ τὴν κίνησιν ὑπῆρξεν. Οὗτοι οὐχ ἑτέρως ἐγεννήθησαν. Ἀλλὰ καὶ ὁ θεράπων ὁ τῷ Κυρίῳ ὑπηρετούμενος, εἰ καὶ μὴ Κύριός ἐστιν ἀλλὰ δοῦλος Κυρίου διὰ πάσης τῆς ὁδοῦ, σκιᾶς τυγχάνει, ἵνα ἐκ ταύτης τῆς σκιᾶς συμβόλου λόγον ἐχούσης ἀναχθῇ ἀπὸ τῶν νόμων τῶν δοθέντων καὶ ἐνταῦθα ἐπὶ τὴν οὐράνιον πολιτείαν. Ἐκδε⟨κ⟩τέον καὶ ἑτέρως· ἐν τῇ ζωῇ ταύτῃ τῇ προσκαίρῳ μικροῦ καὶ μεγάλου καὶ δούλου διαφορὰ καθέστηκεν, τῆς πλεονεξίας αὐτὴν εἰσαγαγούσης τὴν ποικιλίαν. Ἐν δὲ τῷ μέλλοντι αἰῶνι «οὐκ ἔνι ἄρσεν» φησὶν ὁ Παῦλος «καὶ θῆλυ, οὐκ ἔνι δοῦλος οὐδὲ ἐλεύθερος»[4]. Ὁμοίως δ' ἂν εἴποι, ὡς οὐδὲ πλούσιος ἢ πένης, ἀλλ' ἡ τῶν ἔργων ἐπίδειξις, **230** καθ' ἣν συμβήσεται τὸν ἐν τῷ ζῆν τούτῳ μικρὸν ἢ δοῦλον ἐκεῖ μέγαν καὶ ἐλεύθερον νομίζεσθαι. «Εἶδον» γάρ φησιν «δούλους ἐφ' ἵππους καί»[5] ..... πᾶν τὸ ὑπολαμβανόμενον μέγα ἐκεῖ ἐν κολάσει εὑρίσκεται. Τάχα δὲ καὶ οὕτω δυνατόν, ὅτι ἀπεντεῦθεν ὁ μέγας παρ' ἕκαστον ὢν μέγας κατὰ ἀρετὴν κἀκεῖ οὕτω εὑρεθήσεται καὶ ὁ μικρὸς ὡσαύτως. Κατὰ ταύτην τὴν διάνοιαν καὶ τὸ ἐν τῷ Ἐκκλησιαστῇ φερόμενον ἐξείλημπται οὕτως ἔχον· «ὅπου ἐὰν πέσῃ τὸ ξύλον, ἐκεῖ μενεῖ»[6], ξύλον λέγων τὸν ἄνθρωπον, ὅστις εἰ ἔπεσεν ἐν κολάσει τουτέστιν εἰ τέλος ἔσχεν τούτου τοῦ ζῆν ἐν ἁμαρτίαις ὤν, οὕτως «ἔσται ἐκεῖ»[7]. Εἰ δὲ καὶ ἐν ἀρετῇ, ὁμοίως· «πάντας» γὰρ «δεῖ παραστῆναι τῷ βήματι τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος πρὸς ἃ διὰ τοῦ σώματος ἔπραξεν»[8]. Καὶ ὁ θεράπων ὁ τῷ Θεῷ δουλεύων νοημόνως ἐκεῖ ἐστιν σκιᾶς τυγχάνων καὶ ἀναπαύσεως, διαφυγὼν τὸν καύσωνα τοῦ βίου· «διεσώθη **232** ἀπὸ καύματος υἱὸς νοήμων»[9], οὐ καταφλεγεὶς ὑπὸ τοῦ καύσωνος κατὰ τοὺς ἐν τῇ παραβολῇ μὴ εἰς βάθος τὸν σπόρον ἀποδεξαμένους καὶ ὑποπεσόντας τῷ φλογμῷ τῆς ἁμαρτίας. Αὕτη ἡ ἐπαγγελία τῷ Δαυὶδ λέγεται ἐν Ψαλμοῖς· «ἡμέρας ὁ ἥλιος οὐ συνκαύσει σε καὶ ἡ σελήνη τὴν νύκτα»[10], ὅπερ κατὰ τὸ ῥητὸν οὐχ εὑρίσκομεν. Αὐτὸς γὰρ δίκαιος ὢν κατεπονεῖτο ὑπὸ καύσωνος τοῦ αἰσθητοῦ, ἀκαταπόνητος ν ὑπὸ καύσωνος ἁμαρτίας. Κοινὸν γὰρ τὸ τῶν ἔξωθεν προσπιπτόντων ἀντιλαμβάνεσθαι δικαίου καὶ ἀδίκου, ἴδιον δὲ τοῦ σπουδαίου τὸ διαφεύγειν τὸν ἀπὸ τῆς κακίας καύσωνα.

«Ἰνατί γὰρ δέδοται τοῖς ἐν πικρίᾳ φῶς, ζωὴ δὲ ταῖς ἐν ὀδύναις ψυχαῖς;[11] Οἳ ὁμείρονται τοῦ θανάτου καὶ οὐκ ἐπιτυγχάνουσιν

---

1. Πρβλ. Σ. Σολ. 12,14. 2. Σ. Σολ. 7,5. 3. Σ. Σολ. 7,6. 4. Γαλ. 3,28. 5. Ἐκκλ. 10,7. 6. Πρβλ. Ἐκκλ. 11,3. 7. Ἔνθ' ἀν. 8. Πρβλ. Β' Κορ. 5,10. Ρωμ. 14,10. 9. Παρμ. 10,5. 10. Ψαλ. 120,6. 11. Ἰώβ 3,20.

ἀνορύσσοντες ὥσπερ θησαυρούς[1], περιχαρεῖς δὲ ἐγένοντο ἐὰν κατατύχωσιν»[2].

Τὸ κεκρυμμένον καὶ οὐ πᾶσι φανερὸν κρίμα τῆς προνοίας ἐξετάζει ὁ ἅγιος παιδεύσεως τῶν ἀκουόντων **234** ἕνεκα, ἵνα πρῶτον μὲν μὴ δυσαρεστῶνται τοῖς συμβαίνουσιν, ἔπειτα καὶ γιγνώσκοντες ὅτι παρὰ Θεοῦ γίνεται μήτε ταὐτόματον μήτε εἱμαρμένην αἰτίαν τῶν γιγνομένων λογίζωνται. Ποικίλων γὰρ ὄντων ⟨τῶν⟩ ἀκολουθούντων ἀνθρώποις συμπτωμάτων ὡς τὸν μὲν πένεσθαι, τὸν δ' ἐκ πλούτου εἰς πενίαν μεθίστασθαι καὶ ταῦτα διαφόρως, τὸν δὲ ἐν περιστάσεσι διαφόρ⟨ο⟩ις καὶ ἄλλον ἐν [κε] κακώσει, καὶ οὐ πάντως φαύλων τοιούτων πεῖραν δεχομένων, ἀλλὰ καὶ σπουδαίων, ἐξετάζων τὸ κρίμα ἐρωτᾷ λέγων· «ἱνατί γὰρ δέδοται τοῖς ἐν πικρίᾳ φῶς;»[3]. Εἰ γὰρ καὶ οἶδεν, ἀλλά γοῦν ὑπομενητικοὺς καὶ ἡμᾶς εἶναι βουλόμενος παιδεύει, ὡς παρὰ Θεοῦ τὴν τούτων ἀπεκδέχεσθαι διδασκαλίαν προσήκει. Εἴη δὲ καὶ περὶ τῶν πικραινομένων διὰ τὰς τῶν ἀνθρώπων ἀδικίας λέγων· «ἱνατί γὰρ δέδοται τοῖς ἐν πικρίᾳ φῶς;»[4]. Τοιοῦτόν τι καὶ ὁ Ἱερεμίας αἰνιττόμενος ἔφη· «κατὰ μόνας ἐκαθήμην, ὅτι πικρίας **236** ἐνεπλήσθην»[5]. Πικρίας δὲ ἐνεπίπλατο διὰ τὸ θεωρεῖν τὰς περὶ τοὺς ἀνθρώπους ἀνωμαλίας καὶ ἀδικίας. Οἱ δ' αὐτοὶ οὗτοι καὶ ὀδυνῶνται. Ἦ οὐκ ὀδύνην εἶχεν ὁ μακάριος Παῦλος λέγων· «λύπη μοί ἐστιν μεγάλη καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου. Εὐχόμην γὰρ ἐγὼ ἀνάθεμα εἶναι ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου κατὰ σάρκα»[6], οἵτινες διὰ τὸ «ἀποστρέφεσθαι τὴν ἀλήθειαν»[7] ἐκτὸς αὐτῆς ἐτύγχανον; Προσέτι δὲ καὶ τοῦ θανάτου ὁμείρονται λέγοντες· «κάλλιον ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι»[8], καθάπερ «θησαυρὸν ἀνορύσσοντες»[9] τὸν εἰς τοῦτο πόθον, ὡς λέγειν ἕνα τῶν ἁγίων· «οἴμ[μ]οι, ὅτι ἡ παροικία μου ἐμακρύνθη»[10], καὶ Παῦλον περὶ τῶν ὁμοίων γράφειν· «οὐ γὰρ ἔχουσιν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦσιν»[11]. Διὸ οὐδὲ φιλόζωοι ὄντες ἕτοιμοι πρὸς τὸ ἀποθανεῖν εἰσιν, ὡς λέγειν Παῦλον τὸν μακάριον· «καθ' ἡμέραν ἀποθνήσκω»[12]. Διὰ **238** γὰρ τὴν ἑτοιμότητα τοῦτο οὕτως ἔγραφεν. Φιλόζωος δ' οὐκ ἂν εἴποι τοῦτο. Ἐπίστανται γὰρ οἱ ἅγιοι, ὅτι ἂν ἐξέλθωσιν ἐκ τούτου τοῦ βίου, τὰς θείας ἀμοιβὰς ἀπολήμψονται. «Ὥσπερ» οὖν «θησαυρὸν ἀνορύττοντες»[13] οὕτως εἰσίν, εἰ γὰρ καὶ τὸ ἀνορύττειν μετὰ καμάτου γίνεται. Ὥσπερ οὖν καὶ αὐτοὶ οἱ ἅγιοι διὰ πολλῶν ⟨πόνων⟩ εἰς τὴν βασιλείαν προσδοκῶσιν εἰσέρχεσθαι — ἀλλ' ἡ ἐλπὶς κουφίζει τὸν πόνον —, οὕτω καὶ οἱ ἐν ἀγῶνι ἀθλοῦντες πολλὰ κάμνουσι πρὸς τὸν στέφανον ἀποβλέποντες.

Τοῖς αὐτοῖς ἁγίοις ἁρμόζει καὶ τὸ ἑξῆς ἡμιστίχιον, εἰ γάρ φησιν· «περιχαρεῖς δὲ ἐγένοντο, ἐὰν κατατύχωσιν»[14]. Οὐδεὶς τῶν φαύλων, εἰ

---

1. Πρβλ. Ἰὼβ 3,21. 2. Ἰὼβ 3,22. 3. Ἰὼβ 3,20. 4. Αὐτόθι. 5. Ἱερ. 15,17. 6. Ρωμ. 9,2-3. 7. Πρβλ. Τιτ. 1,14. 8. Πρβλ. Φιλιπ. 1,23. 9. Πρβλ. Ἰὼβ 3,21. 10. Ψαλ. 119,5. 11. Πρβλ. Ἑβρ. 13,14. 12. Α' Κορ. 15,31. 13. Ἰὼβ 3,21. 14. Ἰὼβ 3,22.

καὶ ἐν περιστάσει ἐστὶν καὶ διὰ ταύτην ἐπιθυμεῖ τοῦ βίου ἐξελθεῖν, περιχαρὴς ἀπελθὼν γίγνεται. Εἰ γὰρ καὶ τῶν ἐνταῦθα θλιβηρῶν ἀπέστη ἀλλά γε διαδέχονται αἱ διὰ τὰ βεβιωμένα κολάσεις. Ἔτι δὲ καὶ ἀναχωροῦντες συναπερχομένας ἔχουσιν καὶ τὰς τῆς ψυ**240**χῆς ὁρμὰς ἢ θυμοὺς ἢ ἀγριότητας ἢ ἕτερα πάθη, ἅπερ παραπεπήγασιν αὐτῇ ἐνταῦθα κρατυνθέντα. Διὰ ἑπομένων κολάσεων οὐκ εἰσὶ περιχαρεῖς. Ἀκόλουθον οὖν καὶ τοῦτο περὶ τῶν ἁγίων νοῆσαι· ἢ οὐ περιχαρεῖς εἰσιν ὑπ' ἀγγέλων παραπεμπόμενοι καὶ εἰς κόλπους Ἀβραὰμ καὶ ἐν βασιλείᾳ καταντῶντες ἀντικαταλαττόμενοι ταύτην τῶν περιστάσεων ὧν ἔξωθεν πεπόνθασιν καὶ ὧν ὑπὲρ ἀρετῆς εἰσήνεγκαν πόνων; Καὶ [α] Δαυὶδ ὁ μακάριος εἰς ἐκεῖνα βλέπων καίτοι βασιλεὺς ὢν τὸ ζῆν καθάπερ δεσμωτήριον εἶναι λογιζόμενος ἔψαλλεν πρὸς Θεόν· «ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου»[1]. Οὐδὲ γὰρ αἰσθητῇ φυλακῇ ἐφυλάττετο. Ἔστιν καὶ [η] ἀπὸ τοῦ ἐπιφερομένου λογίσασθαι, ὡς τὴν ἐντεῦθεν ἀπαλλαγὴν ἐπόθει· λέγει γάρ· «ἐμὲ ὑπομενοῦσιν δίκαιοι, ἕως οὗ ἀνταποδῷς μοι»[2]. Καὶ γὰρ ἰσοδυναμεῖ τῷ· «ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν»[3]. Ὧν ἀληθιναὶ αἱ ἀνδραγα**242**θίαι, καὶ τὰ τῶν ἐπαγγελιῶν. Εἰ δὲ τοῦτο, πῶς οὐ περιχαρεῖς οἱ ἅγιοι κατατυχόντες τοῦ τέλους τοῦ ζῆν τούτου, μεθ' ὃ ἡ τῶν οὐρανῶν βασιλεία διαδέξεται;

«Θάνατος ἀνδρὶ ἀνάπαυσις· συνέκλεισεν γὰρ ὁ Θεὸς κατ' αὐτοῦ»[4].

Εἰ κατὰ τὸ πρόχειρόν τις ἐκλαβεῖν ἐθέλοι τοῦτο, εἴη ἂν λέγων, ὅτι τοῖς ἐν περιστάσει καὶ πόνοις ἀνάπαυσίς ἐστιν ὁ θάνατος, ἐπεὶ «συνέκλεισεν ὁ Θεὸς κατ' αὐτοῦ»[5], ἀποφηνάμενος τὰ περιστατικά. Ὁ δὲ τῇ πρώτῃ διανοίᾳ ἑπόμενος οὐδὲν ἕξει ἐπικομπάζον φάσκων, ὡς οὐ πάντες οἱ τελευτῶντες ἐν ⟨ἀν⟩απαύσει γίγνονται τῷ τοὺς φαύλους διαδέχεσθαι κολάσεις. Παρασημειώσαιτο δὲ καὶ τοῦτο, ὡς οὐκ εἶπεν· 'θάνατος ἀνθρώπῳ', ἀλλ' «ἀνδρί»[6]. Ὁ γὰρ ἀνδρείαν ἔχων καὶ ἐν τῇ ἀρετῇ ὢν ἀκατάπληκτός ἐστιν πρὸς τὸν θάνατον, ἑτοιμότατα ἔχων πρὸς αὐτὸν καὶ ψάλλων· «ἑτοίμη ἡ καρδία μου, ὁ Θεός, ἑτοίμη ἡ καρδία μου»[7]. Οὗτος δ' αὐτὸς καὶ ἀνάπαυσιν ἕξει διαδεχομένων αὐτὸν ἐπαγγε**244**λιῶν. Ἔτι δὲ πονῶν ἀνάπαυσιν ἕξει, ὅτι ὅπερ «συνέκλεισεν κατ' αὐτοῦ»[8] ὁ Θεὸς διὰ τῆς κοινῆς ἀποφάσεως τῆς κατὰ τοῦ Ἀδὰμ λέγων· «γῇ εἶ καὶ εἰς γῆν ἀπελεύσ⟨η⟩»[9] λέλυται λοιπὸν «ἀποδράσης» αὐτῷ «ὀδύνης καὶ λύπης καὶ στεναγμοῦ»[10] διὰ τὸ ἀκοῦσαι· «εἴσελθε εἰς τὴν χαρὰν τ⟨ο⟩ῦ Κυρίου σου»[11].

«Πρὸ γὰρ τῶν σίτων μου στεναγμός μοι ἥκει, δακρύω δὲ ἐγὼ συνεχόμενος φόβῳ·

---

1. Ψαλ. 141,8. 2. Ἔνθ' ἀν. 3. Ἑβρ. 11,40. 4. Ἰὼβ 3,23. 5. Ἔνθ' ἀν. 6. Ἔνθ' ἀν. 7. Ψαλ. 56,8. 8. Ἰὼβ 3,23. 9. Γεν. 3,19. 10. Πρβλ. Ἡσ. 35,10. 51,11. 11. Ματθ. 25,21.

φόβος γὰρ ὃν ἐφρόντισα ἦλθέν μοι, καὶ ὃν ἐδεδοίκειν συνήντησέν μοι»[1].

Οὐκ ἀεὶ ὁ φόβος τὸν παθητικὸν σημαίνει οὐδὲ τὸν ἀστεῖον καὶ τέλειον, ἀλλὰ καὶ μέσον, περὶ δ[ν] οὔτ' ὁ παθητικὸς οὔτ' ὁ ἀστεῖος συμβαίνει, ἀλλ' ὡς ἂν εἴποι τις ἐγγ....τι τούτων διὰ τὴν ἑτέρων ὠφελίαν γινόμενος ἢ διὰ πτῶσιν. Ἐὰν γὰρ **246** λέγῃ ὁ μακάριος Παῦλος· «φοβοῦμαι, μή πως ὡς ὁ ὄφις ἐξηπάτησεν Εὔαν»[2], οὐ παθητικῶς ἔχει τὸν φόβον οὐδ' ὁ τέλειος καὶ καθαρὸς ἐν τούτῳ σημαίνεται, εἰ καὶ εἶχεν αὐτὸν ὁ σοφὸς Παῦλος, ἀλλ' ἡ διὰ τὴν ἑτέρων σωτηρίαν φροντίς. Εἴρηται περὶ τοῦ τελείου· «φόβος Κυρίου πάντα ὑπερέβαλεν»[3], περὶ δὲ τοῦ παθητικοῦ, ἵνα μὴ ἐπιφέρηται, φησὶν τὸ λόγιον· «τὸν δὲ φόβον αὐτῶν μὴ φοβηθῆτε»[4], καί· «μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεννό⟨ν⟩των τὸ σῶμα»[5], καί· «ἐκεῖ ἐφοβήθησαν φόβον, οὗ οὐκ ἦν φόβος»[6]. Καὶ ταῦτα μὲν διὰ τὸ εἰρῆσθαι· «δακρύω δὲ ἐγὼ συνεχόμενος φόβῳ»[7].

Ἴδωμεν δὲ ἐξ ἀρχῆς τὰ συνεκτεθέντα· «πρὸ γὰρ τῶν σίτων μου στεναγμός μοι ἥκει»[8], ὅπερ διδακτικόν ἐστιν, ὅτι οἱ μὲν ἄλλοι ἄνθρωποι ἁβροδιαίτῳ βίῳ κεχρημένοι καὶ ὅλοι τρυφῆς καὶ ἡδονῆς τυγχάνοντες ⟨καὶ⟩ οὐδενὸς ἑτέρου φροντίζοντες ἔργοις αὐτοῖς βοῶσιν· «φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀ**248**ποθν⟨ή⟩σκομεν»[9], ὁ δὲ ἅγιος καὶ κατὰ τὸν μακάριον Παῦλον φάσκων· «τίς ἀσθενεῖ καὶ οὐκ ἀσθενῶ, τίς ⟨σ⟩κανδαλίζεται καὶ οὐκ ἐγὼ πυροῦμαι;»[10], τὴν τροφὴν τὴν αἰσθητὴν οὐ χωρὶς στεναγμοῦ προσίεται τῆς ἀνθρωπίνης ἀσθενείας καὶ οὐχ ἡδονῆς ἕνεκεν, ἐννοῶν δὲ τὴν καθαρὰν καὶ ἄϋλον ζωὴν καὶ τὴν τράπεζαν ἐκείνην, ἣν ἐπηγγείλατο ὁ Σωτὴρ τοῖς ἰδίοις μαθηταῖς λέγων· «⟨ἵνα ἔσθητε καὶ πίνητε⟩ ἐπὶ τῆς τραπέζης μου ἐν τῇ βασιλείᾳ»[11] τῶν οὐρανῶν, στενάζει· ἔτι ταύτην δεχόμενος ψάλλει τῇ διανοίᾳ· «ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου»[12]. Εἶτ' ἐπεὶ ὁ ἅγιος κἂν τέλειος ὑπάρχῃ οἶδεν, ὅτι ἐνδέχεται τὸν ἄνθρωπον ἕως ἐν τῷ βίῳ ἐστὶν περιπεσεῖν πτώματι, ἐπάγει· «δακρύω δὲ ἐγὼ περιεχόμενος φόβῳ»[13]. Διανοίας δὲ ἐρρωμένης τὸ δακρύειν ἐν τοῖς πόνοις κατὰ τὸ λεγόμενον· «λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσίν μου τὴν στρωμνήν **250** μου βρέξω»[14]. Ταῦτ⟨α⟩ δὲ ποιοῦσιν οἱ ἅγιοι οὐ χαυνοῦντες ἑαυτούς, ἀλλὰ διεγειρόμενοι τῷ φρονήματι, ἵνα διὰ τούτων ἐκκαλέσωνται τὸν Θεὸν εἰς ἐπικου⟨ρ⟩ίαν, καθάπερ καὶ ὁ μακάριος Δαυὶδ τῶν ὁμοίων αὐτῷ σύλλογον συνκαλῶν φησιν· «δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ καὶ κλαύσωμεν ἐνώπιον Κυρίου τοῦ ποιήσαντος ἡμᾶς»[15]. Μέγα γὰρ ἀγαθὸν ἡ διὰ τὴν ἀπόπτωσιν φροντίς, ἥντινα ἔχειν τοὺς μαθητὰς ὁ Κύριος βουλόμενός φησιν· «γρηγορεῖτε ὅτι οὐκ οἴδατε

---

1. Ἰὼβ 3,24-25. 2. Β' Κορ. 11,3. 3. Σ. Σειρ. 25,11. 4. Α' Πέτρ. 3,14. 5. Ματθ. 10,28. 6. Πρβλ. Ψαλ. 52,6. 7. Ἰὼβ 3,24. 8. Ἔνθ' ἀν. 9. Α' Κορ. 15,32. Ἡσ. 22,13. 10. Β' Κορ. 11,29. 11. Λουκ. 22,30. 12. Ψαλ. 83,3. 13. Πρβλ. Ἰὼβ 3,24. 14. Ψαλ. 6,7. 15. Ψαλ. 94,6.

καὶ ἐν περιστάσει ἐστὶν καὶ διὰ ταύτην ἐπιθυμεῖ τοῦ βίου ἐξελθεῖν, περιχαρὴς ἀπελθὼν γίγνεται. Εἰ γὰρ καὶ τῶν ἐνταῦθα θλιβηρῶν ἀπέστη ἀλλά γε διαδέχονται αἱ διὰ τὰ βεβιωμένα κολάσεις. Ἔτι δὲ καὶ ἀναχωροῦντες συναπερχομένας ἔχουσιν καὶ τὰς τῆς ψυ**240**χῆς ὁρμὰς ἢ θυμοὺς ἢ ἀγριότητας ἢ ἕτερα πάθη, ἅπερ παραπεπήγασιν αὐτῇ ἐνταῦθα κρατυνθέντα. Διὰ ἑπομένων κολάσεων οὐκ εἰσὶ περιχαρεῖς. Ἀκόλουθον οὖν καὶ τοῦτο περὶ τῶν ἁγίων νοῆσαι· ἢ οὐ περιχαρεῖς εἰσιν ὑπ' ἀγγέλων παραπεμπόμενοι καὶ εἰς κόλπους Ἀβραὰμ καὶ ἐν βασιλείᾳ καταντῶντες ἀντικαταλαττόμενοι ταύτην τῶν περιστάσεων ὧν ἔξωθεν πεπόνθασιν καὶ ὧν ὑπὲρ ἀρετῆς εἰσήνενκαν πόνων; Καὶ [α] Δαυὶδ ὁ μακάριος εἰς ἐκεῖνα βλέπων καίτοι βασιλεὺς ὢν τὸ ζῆν καθάπερ δεσμωτήριον εἶναι λογιζόμενος ἔψαλλεν πρὸς Θεόν· «ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου»[1]. Οὐδὲ γὰρ αἰσθητῇ φυλακῇ ἐφυλάττετο. Ἔστιν καὶ [η] ἀπὸ τοῦ ἐπιφερομένου λογίσασθαι, ὡς τὴν ἐντεῦθεν ἀπαλλαγὴν ἐπόθει· λέγει γάρ· «ἐμὲ ὑπομενοῦσιν δίκαιοι, ἕως οὗ ἀνταποδῷς μοι»[2]. Καὶ γὰρ ἰσοδυναμεῖ τῷ· «ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν»[3]. Ὧν ἀληθιναὶ αἱ ἀνδραγα**242**θίαι, καὶ τὰ τῶν ἐπαγγελιῶν. Εἰ δὲ τοῦτο, πῶς οὐ περιχαρεῖς οἱ ἅγιοι κατατυχόντες τοῦ τέλους τοῦ ζῆν τούτου, μεθ' ὃ ἡ τῶν οὐρανῶν βασιλεία διαδέξεται;

«Θάνατος ἀνδρὶ ἀνάπαυσις· συνέκλεισεν γὰρ ὁ Θεὸς κατ' αὐτοῦ»[4].

Εἰ κατὰ τὸ πρόχειρόν τις ἐκλαβεῖν ἐθέλοι τοῦτο, εἴη ἂν λέγων, ὅτι τοῖς ἐν περιστάσει καὶ πόνοις ἀνάπαυσίς ἐστιν ὁ θάνατος, ἐπεὶ «συνέκλεισεν ὁ Θεὸς κατ' αὐτοῦ»[5], ἀποφηνάμενος τὰ περιστατικά. Ὁ δὲ τῇ πρώτῃ διανοίᾳ ἑπόμενος οὐδὲν ἔξει ἐπικομπάζον φάσκων, ὡς οὐ πάντες οἱ τελευτῶντες ἐν ⟨ἀν⟩απαύσει γίγνονται τῷ τοὺς φαύλους διαδέχεσθαι κολάσεις. Παρασημειώσαιτο δὲ καὶ τοῦτο, ὡς οὐκ εἶπεν· 'θάνατος ἀνθρώπῳ', ἀλλ' «ἀνδρί»[6]. Ὁ γὰρ ἀνδρείαν ἔχων καὶ ἐν τῇ ἀρετῇ ὢν ἀκατάπληκτός ἐστιν πρὸς τὸν θάνατον, ἑτοιμότατα ἔχων πρὸς αὐτὸν καὶ ψάλλων· «ἑτοίμη ἡ καρδία μου, ὁ Θεός, ἑτοίμη ἡ καρδία μου»[7]. Οὗτος δ' αὐτὸς καὶ ἀνάπαυσιν ἕξει διαδεχομένων αὐτὸν ἐπαγγε**244**λιῶν. Ἔτι δὲ πονῶν ἀνάπαυσιν ἕξει, ὅτι ὅπερ «συνέκλεισεν κατ' αὐτοῦ»[8] ὁ Θεὸς διὰ τῆς κοινῆς ἀποφάσεως τῆς κατὰ τοῦ Ἀδὰμ λέγων· «γῇ εἶ καὶ εἰς γῆν ἀπελεύσ⟨η⟩»[9] λέλυται λοιπὸν «ἀποδράσης» αὐτῷ «ὀδύνης καὶ λύπης καὶ στεναγμοῦ»[10] διὰ τὸ ἀκοῦσαι· «εἴσελθε εἰς τὴν χαρὰν τ⟨ο⟩ῦ Κυρίου σου»[11].

«Πρὸ γὰρ τῶν σίτων μου στεναγμός μοι ἥκει, δακρύω δὲ ἐγὼ συνεχόμενος φόβῳ·

---

1. Ψαλ. 141,8. 2. Ἔνθ' ἀν. 3. Ἑβρ. 11,40. 4. Ἰὼβ 3,23. 5. Ἔνθ' ἀν. 6. Ἔνθ' ἀν. 7. Ψαλ. 56,8. 8. Ἰὼβ 3,23. 9. Γεν. 3,19. 10. Πρβλ. Ἡσ. 35,10. 51,11. 11. Ματθ. 25,21.

φόβος γὰρ ὃν ἐφρόντισα ἦλθέν μοι, καὶ ὃν ἐδεδοίκειν συνήντησέν μοι»[1].

Οὐκ ἀεὶ ὁ φόβος τὸν παθητικὸν σημαίνει οὐδὲ τὸν ἀστεῖον καὶ τέλειον, ἀλλὰ καὶ μέσον, περὶ ὃ[ν] οὔτ' ὁ παθητικὸς οὔτ' ὁ ἀστεῖος συμβαίνει, ἀλλ' ὡς ἂν εἴποι τις ἐγγ.....τι τούτων διὰ τὴν ἑτέρων ὠφελίαν γινόμενος ἢ διὰ πτῶσιν. Ἐὰν γὰρ **246** λέγῃ ὁ μακάριος Παῦλος· «φοβοῦμαι, μή πως ὡς ὁ ὄφις ἐξηπάτησεν Εὔαν»[2], οὐ παθητικῶς ἔχει τὸν φόβον οὐδ' ὁ τέλειος καὶ καθαρὸς ἐν τούτῳ σημαίνεται, εἰ καὶ εἶχεν αὐτὸν ὁ σοφὸς Παῦλος, ἀλλ' ἡ διὰ τὴν ἑτέρων σωτηρίαν φροντίς. Εἴρηται περὶ τοῦ τελείου· «φόβος Κυρίου πάντα ὑπερέβαλεν»[3], περὶ δὲ τοῦ παθητικοῦ, ἵνα μὴ ἐπιφέρηται, φησὶν τὸ λόγιον· «τὸν δὲ φόβον αὐτῶν μὴ φοβηθῆτε»[4], καί· «μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεννό⟨ν⟩των τὸ σῶμα»[5], καί· «ἐκεῖ ἐφοβήθησαν φόβον, οὗ οὐκ ἦν φόβος»[6]. Καὶ ταῦτα μὲν διὰ τὸ εἰρῆσθαι· «δακρύω δὲ ἐγὼ συνεχόμενος φόβῳ»[7].

Ἴδωμεν δὲ ἐξ ἀρχῆς τὰ συνεκτεθέντα· «πρὸ γὰρ τῶν σίτων μου στεναγμός μοι ἥκει»[8], ὅπερ διδακτικόν ἐστιν, ὅτι οἱ μὲν ἄλλοι ἄνθρωποι ἁβροδιαίτῳ βίῳ κεχρημένοι καὶ ὅλοι τρυφῆς καὶ ἡδονῆς τυγχάνοντες ⟨καὶ⟩ οὐδενὸς ἑτέρου φροντίζοντες ἔργοις αὐτοῖς βοῶσιν· «φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀ**248**ποθν⟨ή⟩σκομεν»[9], ὁ δὲ ἅγιος καὶ κατὰ τὸν μακάριον Παῦλον φάσκων· «τίς ἀσθενεῖ καὶ οὐκ ἀσθενῶ, τίς ⟨σ⟩κανδαλίζεται καὶ οὐκ ἐγὼ πυροῦμαι;»[10], τὴν τροφὴν τὴν αἰσθητὴν οὐ χωρὶς στεναγμοῦ προσίεται τῆς ἀνθρωπίνης ἀσθενείας καὶ οὐχ ἡδονῆς ἕνεκεν, ἐννοῶν δὲ τὴν καθαρὰν καὶ ἄϋλον ζωὴν καὶ τὴν τράπεζαν ἐκείνην, ἣν ἐπηγγείλατο ὁ Σωτὴρ τοῖς ἰδίοις μαθηταῖς λέγων· «⟨ἵνα ἔσθητε καὶ πίνητε⟩ ἐπὶ τῆς τραπέζης μου ἐν τῇ βασιλείᾳ»[11] τῶν οὐρανῶν, στενάζει· ἔτι ταύτην δεχόμενος ψάλλει τῇ διανοίᾳ· «ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου»[12]. Εἶτ' ἐπεὶ ὁ ἅγιος κἂν τέλειος ὑπάρχῃ οἶδεν, ὅτι ἐνδέχεται τὸν ἄνθρωπον ἕως ἐν τῷ βίῳ ἐστὶν περιπεσεῖν πτώματι, ἐπάγει· «δακρύω δὲ ἐγὼ περιεχόμενος φόβῳ»[13]. Διανοίας δὲ ἐρρωμένης τὸ δακρύειν ἐν τοῖς πόνοις κατὰ τὸ λεγόμενον· «λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσίν μου τὴν στρωμνήν **250** μου βρέξω»[14]. Ταῦτ⟨α⟩ δὲ ποιοῦσιν οἱ ἅγιοι οὐ χαυνοῦντες ἑαυτούς, ἀλλὰ διεγειρόμενοι τῷ φρονήματι, ἵνα διὰ τούτων ἐκκαλέσωνται τὸν Θεὸν εἰς ἐπικου⟨ρ⟩ίαν, καθάπερ καὶ ὁ μακάριος Δαυὶδ τῶν ὁμοίων αὐτῷ σύλλογον συγκαλῶν φησιν· «δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ καὶ κλαύσωμεν ἐνώπιον Κυρίου τοῦ ποιήσαντος ἡμᾶς»[15]. Μέγα γὰρ ἀγαθὸν ἡ διὰ τὴν ἀπόπτωσιν φροντίς, ἥντινα ἔχειν τοὺς μαθητὰς ὁ Κύριος βουλόμενός φησιν· «γρηγορεῖτε ὅτι οὐκ οἴδατε

---

1. Ἰὼβ 3,24-25. 2. Β' Κορ. 11,3. 3. Σ. Σειρ. 25,11. 4. Α' Πέτρ. 3,14. 5. Ματθ. 10,28. 6. Πρβλ. Ψαλ. 52,6. 7. Ἰὼβ 3,24. 8. Ἔνθ' ἀν. 9. Α' Κορ. 15,32. Ἡσ. 22,13. 10. Β' Κορ. 11,29. 11. Λουκ. 22,30. 12. Ψαλ. 83,3. 13. Πρβλ. Ἰὼβ 3,24. 14. Ψαλ. 6,7. 15. Ψαλ. 94,6.

ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται»[1]. Οὐδὲν δὲ ἧττον καὶ διὰ τοὺς ἐπαγομένους πειρασμοὺς ἐμμελεῖς εἰσιν οἱ ἅγιοι, οὐκ ἀμελείᾳ ἑαυτοὺς ἐνδιδόντες, ἀλλὰ παρασκευάζοντες ἑαυτοὺς πρὸς τούτους, φοβούμενοι, μή πως ἄλλοις κηρύξαντες αὐτοὶ ἀδόκιμοι γένωνται. Καὶ οὐ παραιτοῦνται δὲ τὰ πταίσματα. Οὐκ ἀφροντίστως δὲ λόγον ἔχοντες ἕτοιμοι πρὸς παρασκευήν εἰσιν. Διὰ τοῦτο καὶ αὐτὸς ὁ μακάριος ἀεὶ διαμένει καθελὼν τὰς ἀπὸ τοῦ **252** διαβόλου ἐπαναστάσεις. Ἐβούλετο μὲν μὴ γενέσθαι ἐν περιστατικοῖς, ἐπεὶ ἡ ἀνθρωπίνη ἀσθένεια, ὅσον ἦκεν εἰς τὸ ἑαυτῆς μέτρον, οὐ φέρει τὰς τῶν πόνων ἀμετρίας, εἰ μὴ λογισμὸς ἀνδρεῖος ὑπερβάλῃ τὴν ἀσθένειαν. Διὰ τοῦτο γὰρ ἐπιφέρει· «φόβος γὰρ ὃν ἐφρόντισα ἦλθέν μοι, καὶ ὃν ἐδεδοίκειν συνήντησέν μοι»[2]. Ταῦτα δὲ οὐ καταπτήξας ἔλεγεν, ἀλλὰ κατὰ τὴν ἀποδοθεῖσαν διάνοιαν. Φόβον γὰρ εἶχε, μὴ ἐπιβραδύνας τῷ βίῳ καὶ θλίψεών τε καὶ περιστάσεων πειραθῇ, ἐξ ὧν ὀκλάσαι τοὺς πολλοὺς συμβαίνει. Κἂν γὰρ ἀκαταμάχητοι ὦσιν, οὐ βούλονται ἐφέλκεσθαι τοὺς πειρασμούς, ἵνα μήτε ὁ ἀντικείμενος καὶ δι' αὐτοὺς ἔχῃ περισσοτέραν κόλασιν καὶ μὴ τὰ τῆς ἀνθρωπίνης ὡς ἔφαμεν ἀσθενείας ὀκλάσαι ποιήσῃ, ἐπεὶ καὶ κυβερνήτης κατευθὺ ἄγων τὸ σκάφος οὐ βούλεται χειμῶνος πειραθῆναι, μή πως καὶ πταίσματι περιπέσῃ. Ὅτι δὲ οὐ δειλίᾳ τὰς περιστάσεις **254** παραιτοῦνται, ἔστιν ἐνὸς αὐτῶν ἀκοῦσαι περὶ τοῦ κοινοῦ αὐτῶν λέγοντος· «ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, βοηθὸς ἐν θλίψεσιν ταῖς εὑρούσαις ἡμᾶς σφόδρα. Διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσ⟨ε⟩σθαι τὴν γῆν καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν»[3]. Οἷς συμφώνως καὶ ὁ Ἀπό⟨σ⟩τολός φησιν· «τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τῆς ἐν Χριστῷ Ἰησοῦ; Θλῖψις ἢ στενοχωρία ἢ διωγμὸς ἢ λιμὸς»[4] καὶ τὰ ἑξῆς. Ὅτι δ' οὐκ ἀνιδρωτὶ ταῦτα ὑφίστανται, ἐπάγει· «ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς»[5], ὅπερ ἐστὶ δεῖγμα [διὰ] τῆς ἐναγωνίου μάχης, μεθ' ἣν ἡ νίκη συμβαίνει. Εὖ δὲ καὶ τὸ «συν⟨ήν⟩τησέν μοι»[6]· ὡς γὰρ ἀθλητῇ συνήντησεν τὰ παλαίσματα. Οὐ γὰρ τοῖς τυχοῦσιν ὁ διάβολος μάχεται, ὡς καὶ ὁ Σωτὴρ δηλοῖ λέγων πρὸς τοὺς μαθητάς· «ἰδοὺ ἐξῃτήσατο ὑμᾶς ὁ σατανᾶς τοῦ σινιάσαι ὡς τὸν σῖτον»[7]. Συνήντησεν καὶ τούτῳ ἑτοιμότατα ἔχοντι πρὸς μάχην ὡς καὶ τὸ πρᾶγμα ἔδειξεν καὶ τὰ **256** ἑξῆς δηλοῖ.

«Οὔτε εἰρήνευσα οὔτε ἡσύχασα οὔτε ἀνεπαυσάμην, ἦλθεν δέ μοι ὀργή»[8].

Τὸ ἐνπαράσκευον αὐτοῦ πρὸς τὸ⟨ν⟩ ἀντικείμενον ἐκ τούτων δηλοῦται. Ἐπάγρυπνος γὰρ ὢν καὶ ἔχων τὴν ἐλπίδα καὶ τὸ τοῦ Πνεύματος

---

1. Πρβλ. Ματθ. 24,42-43. Λουκ. 12,39. 2. Ψαλ. 3,25. 3. Ψαλ. 45,2-3. 4. Ρωμ. 8,35. 5. Ρωμ. 8,37. 6. Ἰὼβ 3,25. 7. Λουκ. 22,31. 8. Ἰὼβ 3,26.

χάρισμα ἵστατο πρὸς τὸν ἀντίπαλον εἰδὼς τοῦτο καὶ Παῦλος ὡς «οὐκ ἔστιν» τοῖς ἁγίοις «ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς ἀρχάς, πρὸς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας»[1], καὶ πρὸς αὐτὸν τὸν ἀρχέκακον διάβολον, ὅστις «ὡς λέων περιπατεῖ ζητῶν τίνα καταπίῃ»[2]. Ὅμως καὶ οὕτως αὐτοῦ ἐγρηγορότος οὐκ ἠμέλησεν ὁ διάβολος, ὡς ἐξαιτήσασθαι, ἵν' ἐπαγάγῃ αὐτῷ ἃ ἐπήγαγεν, ἅπερ ὀργὴν διὰ τὰ ἐπίπονα καλεῖ, ἐπιστάμενος ὡς οὐ διὰ κακίαν ἐπήχθησαν. Φησὶν γάρ· «οἶδα ὅτι δίκαιος ἀναφανοῦμαι»[3]. Καὶ ἄλλως δὲ οἶδεν τὰ ἐπίπονα ὀργὴν ὀνομάζειν. «Ἐξαπέστειλας» γάρ φησιν «τὴν ὀργήν σου καὶ κατέφαγεν αὐτοὺς ὡς καλάμην»[4]. Ὀργὴν δὲ **258** ἂν ἀκούωμεν Θεοῦ, μὴ πάθος αὐτοῦ εἶναι ταύτην κατὰ ἀνθρώπινα λογιζόμεθα. Τὸ γὰρ τοιοῦτο πάθος οὐ πέφυκεν ἐξαποστέλλεσθαι, ἐν τῇ ψυχῇ φωλεῦον. Ἡ δὲ λεγομένη Θεοῦ ὀργὴ ἐξαποστέλλεται· «ἐξαπέστειλας» γὰρ «τὴν ὀργήν σου»[5], ὅ ἐστιν τὰ ἐπίπονα. Ταῦτα γὰρ καὶ ἐπιπέμπεται. Καὶ οὗτος οὖν ταῦτα ὀργὴ⟨ν⟩ ὀνομάζει, ἅπερ αὐτῷ συμβέβηκεν. Οὕτω δὲ ἀποτείνας ὁ ἅγιος οὗτος διήγησιν τοιαύτη⟨ν⟩, ἐν ᾗ τῶν κριμάτων τοῦ Θεοῦ διδασκαλία τυγχάνει, καὶ μυστηρίων θείων, ⟨ἃ⟩ κατὰ τὸ δυνατὸν ἐξεθέμεθα, δῆλός ἐστιν οὐ περιπαθὴς γενόμενος διὰ τὰ συμβεβηκότα, ἀλλὰ καὶ ἐν αὐτοῖς τῆς θείας θεωρίας πόθον καὶ ἔρωτα [καὶ] οὐράνιον ἔχων.

ΚΕΦΑΛΑΙΟΝ Δ′

260 «Ὑπολαβὼν δὲ Ἐλιφὰζ ὁ Θαιμανίτης λέγει· μὴ πολλάκις σοι λελάληται ἐν κόπῳ; Ἰσχὺν δὲ ῥημάτων σου τίς ὑποίσει; Εἰ γὰρ σὺ ἐνουθέτησας πολλοὺς καὶ χεῖρας ἀσθενοῦς παρεκάλεσας ἀσθενοῦντάς τε ἐξανέστησας ῥήμασιν γόνασίν τε ἀδυνατοῦσιν θάρσος περιέθηκας, νῦν δὲ ἥκει ἐπὶ σὲ φόβος καὶ ἥψατό σου, σὺ δὲ ἐσπούδασας»[6].

Πάσης διδασκαλίας καὶ διαλήμψεως εἰσὶν ἀρχαί, ὧν εὖ ἐχουσῶν πάντα κατὰ λόγον χωρεῖ. Ὅταν δὲ μὴ καλῶς ἔχωσιν αἱ ἀρχαί, πολλὰ ἔπονται σφάλματα. Καὶ ἔστω ἀφ' αἱρέσεων τὸ παράδειγμα· εἰ γάρ τις ἀσεβῶν θείῃ προϋπάρχοντα τὸν Πατέρα τοῦ Υἱοῦ, ταύτῃ τῇ ἀρχῇ σαθρᾷ οὔσῃ πολλὰ ἕπεται ψευδῆ· κτίσμα γὰρ εὐθυντὸν τὸν Υἱὸν ὑπολήμψεται, οὐκ ἀΐδιον· οὐ γὰρ οἷόν τε ἀϊδίου προϋπάρχοντος. Εἰ δὲ προϋπάρχει κατὰ τὴν σαθρὰν ὑπόθεσιν αὐτῶν ὁ Πατήρ, οὐκ ἂν εἴη ὁ Υἱὸς ἀΐδιος. Κτίσμα δὲ καὶ ποίημα αὐτὸν εἶναι ἕπεται, οἷς ἀκολουθεῖ τὸ τρεπτὸν εἶναι αὐτὸν καὶ ἀλλοιω**262**τόν. Τούτου οὕτως

---

1. Ἐφ. 6,12. 2. Α′ Πέτρ. 5,8. 3. Ἰὼβ 13,18. 4. Πρβλ. Ἐξ. 15,7. 5. Ἔνθ' ἀν. 6. Ἰὼβ 4,1-5.

ἔχοντος οὐκ ἔσται κατ' οὐσίαν Θεός. Διόπερ εἴ ποτε σαθροῖς δόγμασιν περιτύχοις, τὴν ἀρχὴν αὐτῶν ζήτει. Ταύτ⟨ης⟩ γὰρ ἀνατραπείσης συναπέρχεται ὅλα. 'Εκκείσθω δὲ καὶ δεύτερον τοῦ αὐτοῦ παράδειγμα.

Εἰσίν τινες, οἳ τὴν δόκησιν εἰσάγουσιν, τῷ δοκεῖν πεφάνθαι τὸν Σωτῆρα φρονοῦντες. Ζητητέον, τίνος ἕνεκα ἐπεδ⟨ή⟩μησεν, καὶ δῆλον, ὡς τῆς τῶν ἀνθρώπων σωτηρίας χάριν. Εἰ δὲ δοκήσει ὤφθη καὶ εἰ διδασκαλία δοκήσει γέγονε, καὶ ὁ σταυρὸς καὶ ἡ ἀνάλημψις, οἷς ἕπεται δοκήσει καὶ τὴν σωτηρίαν καὶ οὐκ ἀλη[λ]θείᾳ γεγενῆσθαι. Ὅπερ κατὰ τὴν ἄτοπον ἀρχὴν ἠκολούθησεν. Καὶ ἐπὶ τῶν ἐκτεθέντων τοίνυν ὑπὸ τοῦ 'Ελιφὰζ λόγων τοιοῦτόν τι ἔστιν. Δύο εἰσὶν ἀρχαὶ ἀναντίρρητοι τῶν ἐπιφερομένων ἀνθρώποις σκυθρωπῶν, μία μὲν ἡ κατὰ διόρθωσιν ἁμαρτημάτων, ἑτέρα δὲ ἡ πρὸς τὸ ἀνα**264**δειχθῆναι ἀνδρείαν καὶ δοκιμὴν τῶν θλιβομένων, ὅπερ σημαίνει τὸ οὕτως ἔχον λόγιον· «μακάριος ἀνὴρ ὃς ὑπομένει πειρασμόν, ὅτι δόκιμος γενάμενος λήμψεται τὸν στέφανον τῆς ζωῆς, ὃν ἐπηγγείλατο τοῖς ἀγαπῶσιν αὐτόν»[1]. Καὶ πάλιν· «πᾶσαν χαρὰν ἡγήσασθε, ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις»[2], ὅτι τὸ δοκίμιον τῆς θλίψεως κατεργάζεται ὑπομονήν[3], ἡ δὲ [δ] ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα»[4]. Ἔστιν δὲ καὶ τοῦ ἑτέρου εἴδους ἐκ τῶν 'Αγίων Γραφῶν δέξασθαι μαρτύρια. Εἴρηται γάρ· «ὀργὴν Κυρίου ὑποίσω ὅτι ἥμαρτον αὐτῷ»[5]. Τὴν γὰρ ἐπαγωγὴν δι' ἁμάρτημά φησιν γενέσθαι.

266 Κοινὰ τοίνυν τὰ ἐπίπονα καὶ σπουδαίῳ καὶ φαύλῳ, ἀλλ' ὁ τρόπος τῆς αἰτίας διάφορος. 'Αμέλει γοῦν τὰ τοῖς ἁμαρτωλοῖς διὰ τὰς γεγενημένας κακίας ἐπαγόμενα «μάστιγες» λέγονται ἐν τῷ· «πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ, τὸν δὲ ἐλπίζοντα ἐπὶ Κύριον ἔλεος κυκλώσει»[6]. Καὶ πάλιν· «ἐὰν ἐγκαταλίπωσιν οἱ υἱοὶ αὐτοῦ τὸν νόμον μου καὶ ἐν τοῖς κρίμασίν μου μὴ πορευθῶσιν[7], καὶ τὰ δικαιώματά μου μὴ φυλάξωσιν, καὶ τὰς ἐντολάς μου μὴ τηρήσωσιν[8], ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν καὶ ἐν μάστιξιν τὰς ἁμαρτίας αὐτῶν»[9]. Τὰ αὐτὰ ταῦτα συμπτώματα καὶ τὰ αὐτὰ ἀνιαρὰ καὶ π⟨ε⟩ρ⟨ι⟩στατικὰ τοῖς δικαίοις ἐπαγόμενα οὐ λέγονται «μάστιγες» ἀλλὰ «θλίψεις»· «πολλαὶ αἱ θλίψεις τῶν δικαίων»[10], καί· «ἐν θλίψει τοῦ Κυρίου ἐμνήσθην»[11]. 'Αλλὰ καὶ περὶ τοῦ δικαίου τοῦ ὡς ἐπὶ τὸ πλεῖστον θλιβομένου κατὰ τὸ εἰρημένον· «ἐν παντὶ θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι»[12] λέγεται· «καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου»[13]. Τὰ ἐπαγόμενά **268** τινι θλιβηρά, ὡς προείρηται, κατὰ δύο ἀναντιρρήτους ἀρχὰς συμβαίνει, ἢ ἐπιτιμίας ἕνεκα καὶ διορθώσεως ἢ ἵνα τις μεγαλοψύχως ἐνεγκὼν αὐτὰ ἐπὶ καρτερίᾳ καὶ ἀνδρείᾳ στεφάνων τύχῃ. Τοῦτο ἀγνοήσαντες οἱ φίλοι τοῦ 'Ιὼβ κατὰ τὸν ἕτερον τῶν δύο τούτων τρόπον ὠ⟨ή⟩θησαν ὡς

---

1. 'Ιακ. 1,12. 2. 'Ιακ. 1,2. 3. Πρβλ. 'Ιακ. 1,3. Ρωμ. 5,33. 4. Ρωμ. 5,4. 5. Μιχ. 7,9. 6. Ψαλ. 31,10. 7. Ψαλ. 88,31. 8. Πρβλ. Ψαλ. 88,32. 9. Ψαλ. 88,33. 10. Πρβλ. Ψαλ. 33,20. 11. Πρβλ. 'Ησ. 26,16. 12. Β' Κορ. 4,8. 13. Ψαλ. 90,10.

παρατρεπόμενος διὰ ἁμαρτήματα θλίβεται. Οὐκ ἐ[ν]τίθεσαν γοῦν τὸν ἕτερον τρόπον, καίτοι μηδὲν συνειδότες τῷ Ἰὼβ ἁμάρτημα. Πῶς γὰρ οἷόν τε ἦν, μαρτυρουμένου αὐτοῦ, ὡς καθ' ἡμέραν τῇ πρὸς Θεὸν παρεδρίᾳ καρτερῶς προσεῖχεν ἀναφέρων ὑπὲρ τῶν υἱῶν θυσίας «μή ⟨ποτε κακὰ⟩ ἐνενόησαν»[1]. Οὐδὲν γὰρ φαινόμενον αὐτῶν ἐτύνχανεν ἁμάρτημα. Διὸ καὶ ὑπὲρ τῆς ἐννοίας αὐτῶν τὴν προσφορὰν ἐποίει. Τοῦτο δὲ καὶ μεῖζον, ὅτι καὶ ὑπ⟨ὸ⟩ Θεοῦ ἐμαρτυρεῖτο λέγοντος ὡς «ἀνὴρ δίκαιος ἦν, ἄμεμπτος»[2] καὶ τὰ ἑξῆς. Ὅμως δὲ οἱ φίλοι κατὰ μόνον ὡς εἴρηται τὸν ἕτερον τρόπον τὰς ἐπαγωγὰς ἐπιπέμπεσθαι νο**270**μίζοντες δικαίῳ προσθεῖναι ταύτας οὐκ ἐτόλμων, δηλοῦν τὴν πρόνοιαν θέλοντες, ὅτι πρὸς τὰ πεπραγμένα τὰς θλίψεις ἐπάγει. Διὰ ταύτην δὲ τὴν ἑαυτῶν ὑπόληψιν ἀντίθετα πρὸς τὸν Ἰὼβ ἐλάλησαν. Διὸ καὶ ὁ Θεὸς συγγνώμην αὐτοῖς ἀπένειμεν καὶ ὑπὲρ ἀγνοίας ἐποίησεν προσαγαγεῖν θυσίαν[3]. Ὅτι δ' οὐ κακῇ προθέσει τοῦτο ἐποίησαν ἀλλ' ὡς δικαιοῦντες τὴν πρόνοιαν, τοῦτο ἔλεγον, εἰ καὶ τὴν ἀκρίβειαν ἠγνόησαν. Ἀπὸ ταύτης γοῦν τῆς διαλήμψεως καὶ τὰς λέξεις ἐπιφέρει ὁ πρῶτος ἀρξάμενος φάσκων· «μὴ πολλάκις σοι λελάληται ἐν κόπῳ»[4] ὅπερ δηλοῖ ὅτι· καὶ αὐτὸς σὺ πολλάκις ἐχρήσω λόγοις πρός τινας ⟨περι⟩πεπτωκότας θλιβηροῖς, ἵνα τὸ λελάληται ἐνεργητικῶς ἀκούσωμεν ὡς τὸ πέπρακταί σοι. Δύναται καὶ παθητικῶς εἰρῆσθαι, ἵν' ᾖ τὸ λεγόμενον· ἢ νῦν πρῶτον ἐν κόποις γεγενημένος ἔσχες **272** τὸν λαλοῦντά σοι τὰ τῆς παρακλήσεως; τοῦ μὴ ἀντὶ τοῦ οὐχὶ λαμβανομένου. Οὐδὲ γὰρ τό⟨τε⟩ μόνον ἐν περιστάσει ἦν ὁ Ἰώβ. Εἰκὸς γὰρ αὐτὸν ἐν πλείονι χρόνῳ ἐν τοῖς θλιβηροῖς εἶναι.

Εἶτα τῶν εἰρημένων πρὸς τοῦ Ἰὼβ ἑτέρως ἐξειληφὼς τὴν διάνοιαν καὶ ὡς παρὰ ὀλιγωροῦντος ἀκούσας αὐτοῦ τὰ ῥήματα ἐπάγει· «ἰσχὺν δὲ ῥημάτων τίς ὑποίσει;»[5]. Αὐτὸς μὲν πολλοῖς παράκλησιν προσήγαγες, τὰ δὲ σὰ ῥήματα ὀλιγωρίας πεπληρωμένα οὐδεὶς οἷός τέ ἐστι φέρειν. Ταῦτα δὲ ἔλεγεν ἀγνοῶν τὸ μέγεθος τῶν παρ' αὐτοῦ εἰρημένων. Καὶ δέχεται δῆθεν ἀπ' αὐτοῦ τὴν σύνκρισιν λέγων· «εἰ γὰρ σὺ ἐνουθέτησας πολλούς»[6] καὶ τὰ ἑξῆς, δηλῶν ὅτι· ἃ σὺ τοῖς ἄλλοις εἰς παραμυθίαν παρήγαγες διανιστῶν τρόπον τινὰ τοὺς παρεθέντας ὑπὸ λύπης οὐχ ὑπομιμνῃσκόμενος «ἐσπούδασας»[7] — ἀντὶ τοῦ τετάραξαι —, καὶ πρὸς ἐπικουρίαν καὶ παράκλησιν πολλὰ ποιῶν τοῖς θλιβομένοις ὡς δεξιὰν ὀρέγειν αὐτοῖς κατὰ τὸ ἐν Ἡσαΐᾳ λεγόμενον πρὸς τοὺς ἄρχον-**274**τας· «παρακαλεῖτε τῇ χειρί»[8], τὴν σύνπνοιαν καὶ συνπάθειαν δηλοῦντος τοῦ λόγου. «Γόνασιν δὲ ἀδυνατοῦσιν θάρσος περιέθηκας»[9], ἀσθενείᾳ πεπιασμένοις ἀνθρώποις ἰσχὺν παρέχων διὰ τῆς εἰς αὐτοὺς σπουδῆς. Κατὰ δὲ ἀναγωγὴν γόνατα παραλελυμένα ἔχει «ὁ τῇ Βάαλ αὐτὰ κάμπτων»[10], ὁ Θεὸν ἕτερον ἀναγορεύων, ὁ δουλεύων ἢ ποιεῖ ἁμαρτίᾳ.

---

1. Ἰὼβ 1,5. 2. Πρβλ. Ἰὼβ 1,1. 3. Πρβλ. Ἰὼβ 42,8. 4. Ἰὼβ 4,2. 5. Ἔνθ' ἀν. 6. Ἰὼβ 4,3. 7. Ἰὼβ 4,5. 8. Ἡσ. 13,2. 9. Ἰὼβ 4,4. 10. Πρβλ. Ρωμ. 11,4. Γ' Βασ. 19,18.

«Νῦν δὲ ἥκει ἐπὶ σὲ πόνος καὶ ἥψατό σου»[1], τοῦ ἥψατο δηλοῦντος σφοδρὰν ἐπίτασιν τῆς περιστάσεως. Πρὸς τοῖς εἰρημένοις ἐκεῖ ἐννοεῖν ἀκόλουθον ὡς χαλεπωτέρα τῆς περιστάσεως θλῖψις ὑπῆρχεν ἡ παρὰ τῶν φίλων διὰ τῶν λόγων προσαγομένη καταδρομή. Πρὸς γὰρ τῷ ἀπαράκλητον εἶναι τὸ δεινὸν ἔτι καὶ οἱ λόγοι φορτικοὶ ὄντες οὐ μικρὰν παρεῖχον ἀνίαν.

«Πότερον οὐ⟨χ⟩ ὁ φόβος σού ἐστιν ἐν ἀφροσύνῃ καὶ ἡ ἐλπίς σου καὶ ἡ κακία τῆς ὁδοῦ σου;»[2].

Τοῦ συνγραφικοῦ Πνεύματος μαρτυρήσαντος τῷ Ἰὼβ ὅτι οὐκ ἔδωκεν ἀφροσύνην τῷ Θεῷ, οὗτος ἑτέραν διάλημψιν ἔχων περὶ τῶν ἐπαχθέν**276**των αὐτῷ καὶ λογιζόμενος, ὅτι διὰ ἁμαρτήματα πάσχει, οἰόμενός τε αὐτὸν ἐξ ὀλιγωρίας εἰρηκέναι ἃ ἐφθέγξατο, φησίν· «πότερον οὐ⟨χ⟩ ὁ φόβος σού ἐστιν ἐν ἀφροσύνῃ»[3] — οἰόμενος γὰρ σαυτὸν δίκαιον — «καὶ ἡ ἐλπίς σου καὶ ἡ κακία τῆς ὁδοῦ[ς] σου»[4]. Ἀφροσύνη δέ, φησίν, καὶ τὸ ἐλπίζειν ὅτι δίκαιος ὀφθήσει. Δικαίῳ[ς] γὰρ τοιαῦτα οὐκ ἐπάγεται. Αὐτὴ δ' αὕτη ἡ ὁδὸς ὁδὸς κακίας εἴρηται διὰ πάντων νομίζοντι τῷ Ἐλιφὰζ ὅτι δι' ἁμαρτίας πάσχει ὁ μακάριος. Οὕτως καὶ ἀφροσύνην αὐτῷ προσῆπτεν.

«Μνήσθητι οὖν τίς καθαρὸς ὢν ἀπώλετο ἢ πότε ἀληθινοὶ ὁλόρριζοι ἀπώλοντο. Καθ' ὃν τρόπον εἶδον τοὺς ἀροτριῶντας τὰ ἄτοπα, οἱ δὲ σπείροντες αὐτὰ ὀδύνας θερίσουσιν ἑαυτοῖς. Ἀπὸ προστάγματος Κυρίου ἀπολοῦνται, ἀπὸ δὲ πνεύματος ὀργῆς αὐτοῦ ἀφανισθήσονται»[5].

Ἔτι τῆς αὐτῆς ἐχόμενος διανοίας ὡς δι' ἁμαρτίας ὁ Ἰὼβ τῶν περιστατικῶν εἰλήφει πεῖραν, ταῦτά φησιν πρὸς αὐτόν, οἰόμενος ὡς οὐδεὶς ἄνθρωπος καθαρὸς ὢν τῷ βίῳ θλιβηροῖς περιέπεσεν καὶ «ὁλόρ**278**ριζος ἀπώλετο»[6], αἰνιττόμενος τὴν τέκνων καὶ χρημάτων καὶ κτημάτων ἀπώλειαν. Τὸ γὰρ ἀπώλοντο τοῦτο αὐτῷ σημαίνει. Παραβάλλει δὲ τοὺς φαύλους, τούτους καὶ ὑποτιθέμενος ταῖς κακώσεσιν ὑποπίπτειν — λέγων τι ἀληθὲς ὡς «οἱ σπείροντες ἄδικα ὀδύνας θερίζουσιν»[7]—, τὴν ἀνταπόδοσιν ὑποβάλλων νοεῖν, ἥντινα ἐπιπέμπεσθαι ἐκ Θεοῦ φησιν, καὶ περὶ τοῦτο ὀρθῶς διακείμενος διὰ τοῦ λέγειν· «ἀπὸ προστάγματος Κυρίου ἀπολοῦνται, ἀπὸ δὲ πνεύματο⟨ς⟩ ὀργῆς αὐτοῦ ἀφανισθήσονται»[8]. Ὃ ὅμοιον παρὰ τῷ μακαρίῳ Παύλῳ λέγεται· «ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ»[9].

---

1. Ἰὼβ 4,5. 2. Ἰὼβ 4,6. 3. Ἔνθ' ἀν. 4. Ἔνθ' ἀν. 5. Ἰὼβ 4,7-9. 6. Πρβλ. Ἰὼβ 4,7. 7. Πρβλ. Ἰὼβ 4,8. 8. Ἰὼβ 4,9. 9. Ρωμ. 2,6. Πρβλ. Παρμ. 24,12. Β' Τιμ. 4,14.

«Σθένος λέοντος, φωνὴ δὲ λεαίνης, γαυρίαμα δὲ δρακόντων ἐσβέσθη. Μυρμηκολέων ὤλετο παρὰ τὸ μὴ ἔχειν βοράν, σκύμνοι δὲ λεόντων ἔλιπον ἀλλήλους. Εἰ δέ τι ῥῆμα ἀληθινὸν ⟨ἐ⟩γεγόνει ἐν λόγοις σου, οὐδὲν ἄν σοι τούτων κακὸν ὑπήντησεν»[1].

Εἰ καὶ διεσφάλησαν οἱ τοῦ Ἰὼβ φίλοι, ὧν ἦν καὶ οὗτος, κατὰ τὸ διακεῖσθαι περὶ αὐτοῦ ὡς δι' ἁμαρτήματα περιπεσόντος τοῖς θλιβηροῖς, ἀλλὰ γοῦν ἔχουσιν ἀνθρωπίνην **280** σύνεσιν, ἥτις οὐκ ἔστιν ἀδιάπτωτος. Διόπερ ἐπιβάλλοντες αὐτοῖς τοῖς λόγοις τοῖς μὲν ἐκ συνέσεως λεγομένοις οὐκ ἀπαρεσκόμεθα διακείμενοι, ὡς οὐκ ἐξίσχυσαν ἅπασαν τὴν περὶ τὰ φρονητέα ἀλήθειαν καταλαβεῖν καὶ ἐκ τοῦ νῦν ἐκτεθέντος ἐπὶ τέλει· «εἰ γάρ τι», φησίν, «ῥῆμα ἀληθινὸν ἐγεγόνει ἐν λόγοις σου, οὐδὲν ἄν σοι τούτων κακὸν συνήντησεν»[2], ὅπερ ὡς ἔφαμεν οὐκ οἰκείως οὐδὲ συνετῶς παρ' αὐτοῦ εἴρηται. Ταύτην γὰρ μόνην αἰτίαν τῶν θλιβηρῶν ᾤετο, τὴν δι' ἁμαρτίας λέγω[ν]. Διέξεισιν δὲ τὰς περὶ τοὺς ἀνθρώπους μεταβολὰς οὐκ ἀσυνετῶς λέγων· «σθένος λέοντος, φωνὴ δὲ λεαίνης, γαυρίαμα δὲ δρακόντων ἐσβέσθη»[3]. Τροπολογίας γὰρ εἴδει ταῦτά φησιν, πολλῶν ὑπερηφάνων καὶ μέγα ἐπὶ τοῖς ἀνθρωπίνοις φρονούντων μεταβολὴν πεπονθότων, οἷος ὁ Ναβουχοδοσὸρ ἐκ βασιλείας εἰς ἔσχατον ἰδιώτου ἐλθών. Ἀλλὰ καὶ τὸ τῷ πλουσίῳ εἰρημένον εἰπόντι· «καθελῶ μου τὰς ἀποθήκας καὶ μείζονας οἰκοδομήσω[4]. — Ἄφρων, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου αἱροῦσιν **282** ἀπὸ σοῦ»[5], ταύτης τῆς διανοίας ἐστὶ παραστατικόν. «Λέων» μὲν οὖν διὰ τὸ ὠμόθυμον αὐτῷ εἴλημπται καὶ γαῦρον ὡς «ἐφ' ἑαυτῷ πεποιθέναι»[6]. Ὅπερ νοῶν καὶ ὁ μακάριος Παῦλος περὶ Νέρωνος ἔφη· «ἐν τῇ πρώτῃ μο⟨υ⟩ ἀπολογίᾳ οὐδείς μοι παρεγένετο[7], ὁ δὲ Κύριός μοι παρέστη καὶ ἐ⟨ρ⟩ρύσατό με ἐκ στόματος λέοντος»[8]. Ἀλλὰ καὶ ὁ Ἱερεμίας λέγων· «πρόβατον πλανώμενον Ἰσ[δ]ραήλ, λέοντες ἐξῶσαν αὐτὸν»[9] ἑξῆς ἑρμηνεύει, τίνες οἱ λέοντες, λέγων· «ὁ πρῶτος κατέφαγεν αὐτὸ⟨ν⟩ βασιλεὺς Ἀσσούρ»[10] καὶ τὰ ἑξῆς. Ἀλλὰ καὶ τό· «ὁ Θεὸς συνέτριψεν τὰς μύλας τῶν λεόντων»[11] τὴν κατὰ τῶν ὑπερηφάνων καὶ ὠμ⟨ο⟩θύμων ἀνθρώπων ἦτταν σημαίνει. Τὴν δὲ «λέαιναν» ἀντὶ ἁπλήστου τρόπου εἴη δεχόμενος, ἥτις φύσιν ἔχει τοιαύτην. Καὶ γὰρ ὅτε τροφῆς δεῖται, οὐ βοᾷ, ἵνα μὴ τῶν ὀφειλόντων τροφὴ⟨ν⟩ αὐτῇ γενέσθαι θηρίων φυγὴ γένηται. Εἰ δὲ **284** καὶ ὁ ἄρρην ταύτης ἐστὶ τῆς φύσεως, ἀλλ' ἀπὸ τοῦ ἐπικρατεστέρου καὶ πρὸς βασιλικόν τε καὶ ὑπερήφανον αὐτοῦ ἐμνήσθη.

Καὶ τῶν «δρακόντων»[12] δὲ μνήμην ⟨π⟩εποίηται, αἰνιττόμενος τοὺς ὀφιώδεις ἀνθρώπους, ὡς καὶ αὐτοὶ καταλύονται μεταβολῆς καὶ

---

1. Ἰὼβ 4,10-12. 2. Πρβλ. Ἰὼβ 4,12. 3. Ἰὼβ 4,10. 4. Λουκ. 12,18. 5. Πρβλ. Λουκ. 12,20. 6. Πρβλ. Παρμ. 28,1. 7. Β' Τιμ. 4,16. 8. Πρβλ. Β' Τιμ. 4,17. 9. Ἱερ. 27,17. 10. Ἔνθ' ἀν. 11. Ψαλ. 57,7. 12. Ἰὼβ 4,10.

περὶ αὐτοὺς γιγνομένης. Δολεροὶ δὲ οὗτοι καὶ ἀπάτην ἐργαζόμενοι, κατ' ἐκεῖνο περὶ οὗ εἴρηται· «φοβοῦμαι δέ, μή πως ὡς ὁ ὄφις ἐξηπάτησεν Εὔαν ἐν τῇ πανουργίᾳ αὐτοῦ φθαρῇ τὰ νοήματα ὑμῶν»[1]. «Μυρμηκολέων»[2] δὲ ἔοικεν ἀνθρώπῳ ἀλαζόνι καὶ προπετεῖ, ὅστις διὰ τὸ ἀβέβαιον καὶ ἀστάθμητον θᾶττον ἀποπίπτει. Λέγεται δὲ οὗτος τίκτεσθαι ἀπὸ λέοντος συνελθόντος μύρμηκι, οὐ τῷ ζῳϋφαρίῳ, ἀλλὰ ἄλλῳ, ὃ μέγεθος μὲν ἔχει ἄρκου, οὕτω δὲ καλεῖται. Φασὶν δὲ οἱ ἱστοροῦν**286**τες, ὡς διὰ μὲν τὸν πατέρα σαρκοφάγον ὄντα καὶ διὰ τὴν μητέρα ποηφάγον ἀπόλλ⟨υ⟩ται μὴ δυνάμενος διὰ τὴν ἐξ ἀμφοτέρων γένεσιν μιᾷ τροφῇ χρῆσθαι. Ὅπως δὲ ἔχει ταῦτα, κρινέτω ὁ ἐντυγχάνων. Εἰσὶν δὲ οἱ εἰς τὸν διάβολον τοῦτον δεχόμενοι πιθανῶς λέγοντες, ὅτι τοῖς μὲν ἁγίοις μύρμηξ ἐστὶν δι' ἀσθένειαν, τοῖς δὲ ἁμαρτάνουσι λέων διὰ τὸ «τόπον δεδωκέναι αὐτῷ»[3]. «Σκυμνοὶ δὲ λεόντων ἔλιπον ἀλλήλους»[4], ὅπερ ἔφη αἰνιττόμενος τοὺς ⟨ἀ⟩διαθέτους καὶ ἀγρίους ἀνθρώπους. Καὶ γὰρ οἱ σκυμνοὶ ἕως μὲν ὑπὸ τὴν μητέρα τυγχάνουσιν, ἅμα εἰσίν, ἐπειδὰν δὲ ἀνδρυνθῶσιν, διασχίζονται ἀλλήλων. Οὕτω καὶ πανοῦργος ἄνθρωπος καὶ ἄγριος ἕως μέν τινα ἔχει ὠφελίαν — ἀνθρωπίνην λέγω — παρὰ τοῦ συνόντος, κρύπτει τὴν κακουργίαν, πληρωθεὶς δὲ τοῦ σπουδαζομένου μικρὰ φροντίζει τοῦ εὐεργέτου. «'Αληθινὸν» δὲ «ῥῆμα»[5] νοεῖν δεῖ τὸ ἀπὸ διαθέσεως ⟨π⟩ροϊὸν ἀψευδοῦς· ἔστι γὰρ καὶ **288** ἐν ψυχῇ λόγος. Καὶ τοῦτο δὲ λεκτέον, ὡς οὐ παντὸς προσώπου τοῦ ἐν τῇ Γραφῇ κειμένου τοὺς λόγους σπουδαίους ἢ ἀξίους συνέσεως ἡγεῖσθαι προσήκει. Ἐν γοῦν τοῖς εὐαγγελίοις τὰ μὲν τῶν Ἰουδαίων ἀσύνετα, ἀλλὰ καὶ Νικόδημος λόγοις ἐχρήσατο οὐ φρονίμως· τοῦ γὰρ Σωτῆρος λέγοντος· «δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν»[6], εἶπεν αὐτός· «μὴ δύναταί τις γέρων ὢν γεννηθῆναι ἢ δεύτερον εἰς τὴν κοιλίαν τῆς μητρὸς εἰσελθεῖν»[7]. Οὕτως οὐκ ἀεὶ ἀπαιτεῖν δεῖ σύνεσιν παρὰ παντὸς προσώπου ἐν τῇ Γραφῇ κειμένου.

«Πότερον οὐ δέξεταί μου τὸ οὖς ἐξαίσια παρ' αὐτοῦ, φόβῳ δὲ καὶ ἠχὼ νυκτερινή, ἐπι⟨πί⟩πτων φόβος ἐπ' ἀνθρώπους, φρίκη δέ μοι συνήντησεν καὶ τρόμος καὶ μεγάλως μου τὰ ὀστᾶ συνέσεισεν, καὶ πνεῦμα ἐπὶ πρόσωπόν μου ἐπῆλθεν, ἔφριξαν δέ μου **290**τρίχες καὶ σάρκες. Ἀνέστην καὶ οὐκ ἐπέγνων· εἶδον καὶ οὐκ ἦν μορφὴ πρὸ ὀφθαλμῶν μου, ἀλλ' ἢ αὔραν καὶ φωνὴν ἤκουον»[8].

Ἐπεὶ πλείοσιν ἐχρήσατο λόγοις, τὰ μὲν πρῶτα δόξασιν εἶναι παρακλητικοῖς, ἔπειτα καθαπτομένοις ὡς ἂν σπεύσαντος αὐτοῦ τοῦ

---

1. Β' Κορ. 11,3. 2. Ἰὼβ 4,11. 3. Πρβλ. Ἐφ. 4,27. 4. Ἰὼβ 4,11. 5. Ἰὼβ 4,12. 6. Ἰω. 3,7. Πρβλ. Ἰω. 3,3. 7. Πρβλ. Ἰω. 3,4. 8. Ἰὼβ 4,12-16.

Ἰὼβ διὰ τὰ συμβεβηκότα καὶ ὅτι δι' ἁμαρτίας πέπονθεν — τοῦτο γὰρ ἐξ ἀρχῆς ἐνόμισεν ὁ Ἐλιφάζ, καὶ πρὸς τούτοις, ὅτι τὰ πράγματα τὰ ἀνθρώπινα, κἂν ᾖ ἐπίδοξα, πολλὴν δέχεται τὴν μεταβολήν —, λογισάμενος ὡς ἐνδέχεται τὸν ἀκούοντα μὴ προσέχειν τοῖς παρ' αὐτοῦ εἰρημένοις πιστοποιήσεως χάριν ἐπάγει τὰ ἐκτεθέντα λέγων· «πότερον οὐ δέξεταί μου τὸ οὖς ἐξαίσια παρ' αὐτοῦ»[1], μονονουχὶ φάσκων· μηδεὶς τῶν ἀκουόντων οἰέσθω ἀσύνετόν με τυγχάνειν. Δέχεται γάρ μου τὸ οὖς τῆς διανοίας θαυμαστὰ παρ' αὐτοῦ, αὐτοῦ λέγων τοῦ Θεοῦ. Αὐθεντίας γὰρ τοῦτο σημαντικὸν ὡς ἐν τῷ· «αὐτὸς ὁ λαλῶν πάρειμι»[2], καὶ ἐν τῷ· «αὐτὸς σοφὸς ἦγεν ἐπ' αὐτοὺς κακά, καὶ ὁ νόμος αὐτοῦ οὐ μὴ ἀθετηθῇ»[3], **292**δηλονότι τοῦ Θεοῦ. Καὶ γὰρ τῷ ὄντι ἐὰν ἀνθρωπίνη σύνεσις ἐπιβάλλῃ τοῖς παρὰ τοῦ Θεοῦ, φόβου πιμπλάνεται κατὰ τὸ λεγόμενον· «κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην»[4]. Τῷ δ' αὐτῷ τούτῳ καὶ «ἦχος» ἕπεται «νυκτερινός»[5], ὅ ἐστιν ἀσαφία πολλή, ἐξ ἧς φρίττειν καὶ φοβεῖσθαι συμβαίνει τῷ ἀρξαμένῳ νοεῖν τι τῶν Θεοῦ κριμάτων. Οὐ μὴν ἀλλὰ καὶ «τὰ ὀστᾶ»[6] τοῦ τοιού⟨του⟩ ταράττεται, ἅ ἐστιν δύναμις ψυχῆς. Πᾶς γὰρ ἀνθρώπινος λογισμὸς ἐξασθενεῖ πρὸς τὴν τῶν θείων ἀκριβῆ κατανόησιν. Τοῦτο αὐτὸ καὶ Ἀμβακοὺμ ἐπιστάμενός φησιν· «ἀπὸ φωνῆς προσευχῆς με εἰσῆλθεν τρόμος εἰς τὰ ὀστᾶ μου»[7]. Τῷ οὖν ὡς προείρηται θείων ἔργων φοβερῶν τυγχανόντων βουλομένῳ ἐπαΐειν κατὰ τὸ διανοητικὸν γίνεταί τις τύπος νοήσεως οὐκ ἀκριβής, ὅστις δηλοῦται διὰ τοῦ· «καὶ πνεῦμα ἐπὶ πρόσωπόν μου ἐπῆλθεν»[8]. Ἐξῆς καὶ ἔστιν τό· «ἔφριξαν δέ μου τρίχες καὶ σάρκες»[9]. Θόρυβον γὰρ ὑπομένει οὐ μικρὸν ἄνθρωπος, εἰ τολμήσειεν ἐπιβαλεῖν τοῖς Θεοῦ κρίμα**294**σίν τε καὶ θαυμασίοις. «Ἀνέστην, καὶ οὐκ ἦν μορφὴ πρὸ ὀφθαλμῶν μου»[10], ἵν' ᾖ τὸ λεγόμενον ὅτι· κἂν διεγεῖραι αὐτὸν θέλῃ ἄνθρωπος πρὸς κατανόησιν, διαφεύγει αὐτὸν ἡ ἀκρίβεια μορφὴ εἰρημένη. Τούτῳ ὅμοιον ἂν εἴη τό· «βαθὺ βάθος, τίς εὑρήσει αὐτήν»[11]. «Ἀλλ' ἢ αὔραν καὶ φωνὴν ἤκουον»[12]. Θαυμαστὰ γάρ τινα καὶ ἀπηχήματα τῆς διοικήσεως τῆς ἀπὸ Θεοῦ δέχεται συνέσει τις χρώμενος. Καὶ οὐ πάντῃ σθένει γε καταλαβεῖν, καὶ μάλα εἰκότως· εἰ γὰρ Παῦλος ἐν Χριστῷ λαλῶν φησιν· «ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ. Ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ»[13], πόσῳ ὁ τοῖς ἀνθρωπίνοις λογισμοῖς ἐπιβάλλων ἀτονήσει πρὸς τὴν κατάλημψιν;

«Τί γάρ; Μὴ καθαρὸς ἔσται βροτὸς ἐναντίον Κυρίου ἢ ἀπὸ τῶν ἔργων αὐτοῦ ἄμεμπτος ἀνήρ;»[14].

Σύνεσιν ἀνθρωπίνην ἔχειν ὑπεθέμεθα καὶ ἐν τοῖς προλαβοῦσιν

---

1. Ἰὼβ 4,12. 2. Ἡσ. 52,6. 3. Ἡσ. 31,2. 4. Ἀββ. 3,2. 5. Πρβλ. Ἰὼβ 4,13. 6. Ἰὼβ 4,14. 7. Ἀββ. 3,16. 8. Ἰὼβ 4,15. 9. Ἔνθ' ἀν. 10. Ἰὼβ 4,16. 11. Ἐκκλ. 7,24. 12. Ἰὼβ 4,16. 13. Ρωμ. 11,33. 14. Ἰὼβ 4,17.

τοὺς φίλους τοῦ Ἰώβ. Καὶ γὰρ οὐ μικρὸν δεῖγμα συνέσεως τὸ βασιλεῖς ὄντας καταλιπεῖν μὲν τὰς **296** χώρας, παραγενέσθαι δὲ διὰ συνπάθειαν τοῦ Ἰώβ, καίτοι διαλαμβάνοντες ὡς οὐκ ἀπήλλακται ἁμαρτημάτων. Ὅμως δ', εἰ καὶ ἀνθρωπίνοις χρῶνται λογισμοῖς, ἀλλὰ γοῦν καὶ διασφάλ⟨λ⟩ονται. Ὡς γὰρ οὖν προείρηται, μίαν αἰτίαν τῶν ἐπαγωγῶν τιθέμεν⟨οι⟩ οἴονται καὶ τὸν Ἰὼβ δι' ἁμαρτίας πεπονθέναι, ἀπὸ πιθανοῦ λόγου ἐπὶ τοῦτο ἀγόμενοι, τὸ ἀσθενὲς τῆς ἀνθρωπίνης ἐννοοῦντες φύσεως. Διὸ καὶ ὁ Ἐλιφὰζ τὰ προκείμενά φησιν· «τί γάρ; μὴ καθαρὸς ἔσται βροτὸς ἐναντίον Κυρίου, ἢ ἀπὸ τῶν ἔργων αὐτοῦ ἄμεμπτος ἀνήρ;»[1]. Τοῦτο μενοῦν πιθανὸν ὑπάρχον, εἰ κατὰ τὴν ἔννοιαν αὐτοῦ ἐξετάζοιτο, ἔχει τὸν ἔλεγχον. Εἰ γὰρ δι' ἁμαρτίας ὁ περιπίπτων ἀνιαροῖς θλίβεται, οὐδεὶς δὲ καθαρός, οὐδεὶς ἐκτὸς ἀνιαρῶν ὑπῆρξεν ἄν. Ἀλλὰ ταῦτα μὲν οὗτος, ἡ δὲ θεία παίδευσις διδάσκει, ὡς καὶ πονηροὶ ἄνθρωποι καὶ τὰ πάντα ἐν ἁμαρτίαις ὄντες ἀπερίστατον τὸν βίον ἑαυτῶν διήγαγον. Ὧν ἐστιν ὁ σὺν τῷ Λαζάρῳ πλούσιος καθ' ἡμέραν εὐφραινόμενος λαμπρῶς βύσσον τε καὶ **298** πορφύραν ἐνδιδυσκόμενος[2] μέχρις ὑστέρας ἀναπνοῆς διαμείνας ἐν ἡδίστῃ διαγωγῇ, τοῦ Λαζάρου δικαίου μαρτυρουμένου καὶ μὴ ἐσχηκότος ἐνταῦθα ἀνάπαυσιν. Ἀλλὰ καὶ ⟨ὁ⟩ ἀκούσας· «ἄφρων, ταύτῃ τῇ νυκτὶ αἱροῦσιν τὴν ψυχὴν ἀπὸ σοῦ. Ἃ δὲ ἡτοίμασας, τίνι ἔσται;»[3] οὐ περιστάσει κοινωνήσας ἀναγέγραπται. Καὶ τοῦτο δὲ παιδεύει ὁ θεῖος λόγος, εἰ καὶ οὗτος αὐτὸ εἶπεν ἀνθρωπίνως, ὅτι οὐκ ὁ καθαρὸς πάντως καὶ ἐναντίον Κυρίου τοιοῦτός ἐστιν. Τοῦτο δὲ δείκνυται ἐκ τοῦ· «ἄστρα δὲ οὐ καθαρὰ αὐτοῦ ἐνώπιον»[4], καὶ τοῦ ἐν Ψαλμοῖς· «οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν»[5]. Οὐ γὰρ εἶπεν· 'οὐδεὶς δικαιοῦται', ἀλλ' 'ἐπίπροσθεν σοῦ'. Εὑρήσεις γοῦν ὡς πρὸς Θεὸν ἀπολειπομένους πάντας, καὶ οὐ καθ' ὑπερβολὴν ἔχουσιν. Ὁ Μωσῆς μὲν γὰρ καίτοι «πεπαιδευμένος πάσῃ σοφίᾳ Αἰγυπτίων»[6] φησίν· «οὐκ εἰμὶ ἱκανὸς λαλῆσαι πρὸ τῆς χθὲς καὶ πρὸ τῆς τρίτης καὶ ἀφ' οὗ σὺ ἤρξω λαλεῖν τῷ θεράποντί σου»[7]. ⟨Παρ⟩όντος γὰρ τοῦ ὑπερβάλλοντος δοκεῖ ἐλάττων εἶναι. Ἢ καὶ μεθ' ἕτερα λέγων· «ἐγὼ δὲ ἄλο**300**γός εἰμι»[8]. Ἀλλὰ καὶ Ἀβραὰμ ὁ «φίλος Θεοῦ»[9] χρηματίσας λέγει· «ἐπειδὴ ἠρξάμην λαλεῖν πρὸς τὸν Κύριόν μου, ἐγὼ δέ εἰμι γῆ καὶ σποδός»[10]. Οὐ καθάπαξ δὲ ἀτιμάζει ἑαυτόν, ἀλλὰ ἀφ' οὗ ἤρξατο λαλεῖν πρὸς Θεόν. «Βροτὸς» δὲ καὶ «ἀνὴρ»[11] εἰ παρὰ τοῦ Ἐλιφὰζ ἐκ παραλλήλου εἴρηται, ἀλλ' ἡμεῖς ἀκριβέστερον ἐπιβαλόντες τῷ λόγῳ φαμέν, ὅτι τὸ μὲν βροτὸς οἷόν τέ ἐστι ἐπὶ γυναικὸς τετάχθαι. Τὸ γὰρ ἀνὴρ οὐκ ἐπὶ παντὸς ἀνθρώπου λέγεται.

«Εἰ κατὰ παίδων αὐτοῦ οὐ πιστεύει, κατὰ δὲ ἀγγέλων αὐτοῦ σκολιόν τι ἐπενόησεν,

---

1. Ἰὼβ 4,17. 2. Πρβλ. Λουκ. 16,19. 3. Λουκ. 12,20. 4. Πρβλ. Ἰὼβ 25,5. 5. Ψαλ. 142,2. 6. Πρβλ. Πράξ. 7,22. 7. Πρβλ. Ἐξ. 4,10. 8. Ἐξ. 6,12. 9. Ἰακ. 2,23. 10. Πρβλ. Γεν. 18,27. 11. Ἰὼβ 4,17.

τοὺς δὲ κατοικοῦντας οἰκίας πηλίνας, ἐξ ὧν καὶ αὐτοὶ ἐκ τοῦ αὐτοῦ πηλοῦ ἐσμεν, ἔπαισεν αὐτοὺς σητὸς τρόπον. Καὶ ἀπὸ πρωίθεν μέχρις ἑσπέρας οὐκέτι εἰσίν»[1].

Ἀπὸ τοῦ μείζονος τὴν ἀπόδειξιν ἐπαγαγεῖν βούλεται καὶ πιστο- 5
302ποιῆσαι, ὅτι πᾶς ἄνθρωπος ὑ⟨φ⟩' ἁμαρτίαν ἐστὶν λέγων, ὅτι καὶ οἱ παῖδες τοῦ Θεοῦ παρ' αὐτῷ οὐ πιστεύονται, ὅ ἐστιν· οὐ⟨χ⟩ ὡς ἄτρεπτοί εἰσιν. «Κατὰ ⟨δ⟩ὲ ἀγγέλων ἑαυτοῦ σκολιὸν ἐπενόησεν»[2] ἁμαρτόντων. Εἰ δὲ τοῦτο, πολλῷ πλέον κατὰ τῶν οἰκούντων τὰς πηλίνας οἰκίας. Καὶ αὐτῶν ἐκ τοῦ αὐτοῦ πηλοῦ τυγχανόντων ἁμαρτανόντων 10
οὐ φείσεται, σητὸς τρόπον τὰς κολάσεις αὐτοῖς ἐπιπέμπων, οἳ καὶ κρίματι αὐτοῦ ἀπὸ πρωίθεν πολλάκις ἕως ἑσπέρας οὐκ ὑπομενοῦσιν. Ἀλλὰ μὲν οὖν αὕτη ἡ ὁλ⟨ο⟩σχερεστάτη νόησις τῶν εἰρημένων, ζητήσειεν δ' ἄν τις, πόθεν οὗτος ἔχει διάλημψιν περὶ τῶν παραβεβηκότων ἀγγέλων, καθ' ὧν σκολιὸν ἐπινενοηκέναι, τὸν Θεόν φησιν. Πρὸς ὃ 15
λεχθείη, ὅτι ἅτε συνετὸς ὢν ἀνὴρ οἶδεν, ὡς οὐ κατὰ φύσιν ἀγαθοὶ τυγχάνουσιν, ἀλλὰ τρεπτοὶ οἱ ἄγγελοι. Οὐκ ἄτοπο⟨ν⟩ δὲ αὐτὸν καὶ ἐκ τῶν δαιμονιζομένων ἀνθρώπων τοῦτο ἐννοεῖν, περὶ ὧν ἡ θεία διδασκαλία φησίν· «ἀγγέλους δὲ τοὺς μὴ τηρήσαν**304**τας τὴν ἑαυτῶν τάξιν ὑπὸ ζόφον τετήρηκεν»[3]. Κατοικεῖν δὲ οἰκίας πηλίνας τοὺς ἀνθρώπους 20
φησὶν ἀντὶ τοῦ ὑλικάς, ἁπλούστερον καὶ τοὺς ἀνθρώπους ἐκ τοῦ αὐτοῦ πηλοῦ συνεστάναι λέγων. Οὐ γὰρ καὶ ἡ ψυχὴ ἐκ πηλοῦ· τὸ γὰρ σῶμα πήλινον εἴρηται· «ἔπαισεν αὐτοὺς σητὸς τρόπον»[4]. Τὴν κατ' αὐτῶν ὡς εὐτελῶν ἐπιπεμπομένην κόλασιν δηλοῖ. Τοῦτο ἐν τῇ Σοφίᾳ δηλοῦται.
..... 25
.....

Ἀλλὰ καὶ ὁ προφήτης φησίν· «ὁ ἄρχων αἰτεῖ καὶ ὁ κριτὴς εἰρηνικοὺς λόγους ἐλάλησεν· καταθύμιον ψυχῆς αὐτοῦ ἐστιν. Καὶ ἐξελοῦμαι τὰ ἀγαθὰ αὐτῶν ὡς σὴς ἐκτρώγων καὶ βαδίζων ἐπὶ κάνονος ἐν ἡμέρᾳ σκοπιᾶς»[5], ὅπερ δηλοῖ τὸ ἀθρόον καὶ αἰφνίδιον τῶν κολάσεων 30
καὶ τὸ κεκρι**306**μένον. Τοῦτο γὰρ κανὼν δηλοῖ. Εἰ γὰρ μὴ «ὀργὴν ἐπάγει καθ' ἑκάστην ἡμέραν»[6], ἀλλ' «ἀποδίδωσ⟨ιν⟩ ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ»[7], κανόνι τοῦτο ποιεῖ μετὰ τοῦ κεραννύ⟨ν⟩αι τὴν ἀγαθότητα.

«Παρὰ τὸ μὴ δύνασθαι αὐτοὺς ἑαυτοῖς βοηθῆσαι ἀπώλοντο. Ἐνεφύσησεν γὰρ αὐ- 35
τοῖς καὶ ἐξηράνθησαν, ἀπώλοντο παρὰ τὸ μὴ ἔχειν αὐτοὺς σοφίαν»[8].

Ἔτι τῆς αὐτῆς ἀρχῆς ἐχόμενος, καθ' ἣν οἴεται δι' ἁμαρτίας τὰ

---

1. Ἰὼβ 4,18-20. 2. Ἰὼβ 4,18. 3. Πρβλ. Ἰούδα 6. 4. Ἰὼβ 4,19.
5. Μιχ. 7,3-4. 6. Πρβλ. Ψαλ. 7,12. 7. Παρμ. 24,12. Πρβλ. Ρωμ. 2,6.
8. Ἰὼβ 4,20-21.

περιστατικὰ συμβαίνειν, καὶ ταῦτά φησιν. Ἐπειδὴ γὰρ δι' ἀρετῆς οὐκ ἐδυνήθησαν μεταγνόντες τῶν κακῶν βοηθῆσαι ἑαυτοῖς, ἠκολούθησεν αὐτοῖς τὰ θλιβηρά. Καὶ τοῦτο δὲ ὑπο**308**βάλλει νοεῖν· δι' ἀσθένειαν τὴν τῶν ἐπελθόντων δεινότητα ἀπώσασθαι μὴ δυνηθέντες ἀπώλ⟨λ⟩υντο, τὸ εὐτελὲς τῆς ἀνθρώπου δυνάμεως ἐπιδεικνύντες. Τοῦτο γοῦν καὶ τὸ ἐπιφερόμενον φαίνεται σημαῖνον· «ἐνεφύσησεν γὰρ αὐτοῖς καὶ ἐξηράνθησαν»[1]. Δηλοῖ γάρ, ὅτι οὐκ ἐδέησεν ὑπερβαλλούσης ἐπιφορᾶς κατ' αὐτῶν, ἀλλ' ἐμφυσήσαντος μόνον, ὅπερ ἤρκεσεν ἐπὶ ἀναίρεσιν αὐτῶν, ἣν ἀπώλειαν εἶπεν. Τῆς αὐτῆς δὲ τῆς φθασάσης διανοίας ὑπάρχων ἐπάγει τό· «ἀπώλοντο διὰ τὸ μὴ ἔχειν αὐτοὺς σοφίαν»[2], ἀγνοῶν, ὅτι πολλοὶ σοφοὶ ἀνιαροῖς ὑπερβάλλουσι περιέπεσαν.

ΚΕΦΑΛΑΙΟΝ Ε΄

14 «Ἐπικάλεσαι δέ, εἴ τίς σοι ὑπακούσεται, ἢ εἴ τινα ἁγίων ἀγγέλων ὄψῃ»[3].

Προτροπὴν ὡς ἔοικε προσάγει τῷ ἁγίῳ πρὸς μετάνοιαν ὁρῶσαν, ἵν' ἐκ τούτου ἐπὶ παράκλησιν ἐλθὼν τύχῃ τοῦ ἐπικουροῦντος καὶ ἐπακούσαντος. Παρίστησιν δὲ καὶ τό· «εἴ τινα ἁγίων ἀγγέλων ὄψει»[4] ἐπιστάμενον αὐτόν, ὅτι εἰσὶν οὐκ ἅγιοι ἄγγελοι. Εἰ γὰρ μὴ τοῦτο ἐγίγνωσκεν, περιττὴ ἡ προσθήκη· ὥσπερ διαστέλλων ἅγιον ἀπὸ μὴ τοιούτου τοῦτό φησιν. Εἰσὶν δὲ οἱ λέγοντες, ὅτι ταῦτα εἰρωνευόμενος λέγει. Τῆς ἀρχῆς πάλιν τῆς ἐσφαλμένης ἔχεται λέγων, ὅτι ..... δι' ἁμαρτίας ..... ἵνα γνω.....

«Καὶ γὰρ ἄφρονα ἀναιρεῖ ὀργή, πεπλανημένον δὲ θανατοῖ ζῆλος»[5].

Πρ.....σιν οὕτως .....λεσαι. Εἰ χ.....σαι σοι ἀφρ..... πεσοντ..... καλεῖν τ..... βοήθειαν ..... **16** καὶ αυτη .....ται ὅταν ..... τινες καὶ .....λου ἀντὶ τοῦ κ.....τοῦνται τοιαῦτ..... τῶν δυσαρεστούντων τῇ τοῦ Θεοῦ προνοίᾳ· διὰ τί ἐγώ γε τοσούτοις ἀνιαροῖς περιπίπτω .....τε καὶ τὴν τιμὴν ..... κατὰ τὸ λεγόμενον· «μὴ παραζήλου ἐν πονηρευομένοις μηδὲ ζήλου τοὺς ποιοῦντας τὴν ἀνομίαν»[6]. .αι ζῆλος .....του ὅμοιος αὐτοῦ ο..... δευτέραν δὲ ἀπόδοσιν .....τα πρὸς τὴν πρώτην ..... κἂν κατ' εἰρωνείαν ..... τό· «ἐπικάλεσαι δέ, εἴ τίς σοι ὑπακούσεται»[7], δόξει

---

1. Ἰὼβ 4,21. 2. Ἔνθ' ἀν. 3. Ἰὼβ 5,1. 4. Ἔνθ' ἀν. 5. Ἰὼβ 5,2. 6. Ψαλ. 36,1. 7. Ἰὼβ 2,1.

οἰκείως εἰρηκέναι ὅτι οὐχ ὑπακου.....λος ὡς εἴρηται.

«Ἐγὼ δὲ ἑώρακα ἄφρονας ῥίζαν βάλλοντας, ἀλλ' εὐθέως ἐβρώθη αὐτῶν ἡ δίαιτα»[1].

.....νους ὑπὸ τῶν ..... ῥίζας δυ- 5
να.....το πολυσχι..... παντὶ ἀνε18..
..... πολύρριζος ει.....νέχειν καὶ ...
..... ἀνθρώπινα λέγει ..... συμβαῖνον εὐθέως γὰρ
.ἐβρώθη αὐτῶν ἡ δίαιτα ..... ἐπὶ τὸ πολὺ .....
.....τα ὡς τὸν ὑ.....νευόμενον με.....ιν 10
καὶ τὸν πλούσιον πολλάκις εἰς πενίαν μεταβάλλεσθαι .....τι δὲ
περιόντος .....αινει ἀλλὰ γοῦν του ..... κατὰ ζῆν τοῦτο
ἐλθόν.....τα τῆς ἀλαζονείας ..... τοιαύτην τὸ θεῖον γράμμα γὰρ
τὴν νόησιν παρίστησιν ἐν ψαλμοῖς ἀπὸ ἁγίου λεγόμενον· «εἶδον ἀσε-
βῆ[ν] ὑπερυψούμενον καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου· 15
καὶ παρῆλθον καὶ ἰδοὺ οὐκ ἦν, καὶ ἐζήτησα αὐτὸν καὶ οὐχ εὑρέθη[ν]
ὁ τόπος αὐτοῦ»[2]. ..... γὰρ τὸ κακὸν οὐδ' ὑφιστάμενον ...
πειτ..μαι εἰ μὴ ἐν τῇ προαιρέσει τοῦ ἐνεργοῦντος. Ἂν γοῦν ἐκεῖνος
προαιρούμενος παύσηται, οὐκέτι τὸ κακὸν σύστασιν ἔχει ..δη δι.....
.. .ς 20 ἐστιν ἡ προαιρητικὴ αὐτοῦ ὕπαρξις. «Σύντριψον τὸν βραχίονα 20
τοῦ ἁμαρτωλοῦ καὶ πονηροῦ, ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ· καὶ οὐ
μὴ εὑρεθῇ δι' αὐτήν»[3]. Διὰ γὰρ τὸ ἀνυπόστατος εἶναι οὐχ εὑρίσκεται·
οὐ γὰρ οὐσία ἐστὶν ἡ κακία, ἀλλ' ἐν προαιρέσει γεγεννημένη ἔχει τὸ
εἶναι. Πάλιν παυσαμένης τῆς πλάνης καὶ ἡ κακία συναπέρχεται. Ἀλ-
λὰ γοῦν περὶ τῆς καθόλου κακίας εἴρηται· «καὶ ἐψεύσατο ἡ ἀδικία 25
ἑαυτήν»[4]. Ὥσπερ γὰρ λέγομεν πολλάκις ψεύδεσθαι πόρον τὴν γῆν
τὸν οἰκεῖον καὶ τὸν ἀγαθόν, οὕτως καὶ ἡ κακία ψεύδεσθαι λέγεται αὐτὴν
μηκέτι ἐξα..... ... γινομένης, ὅταν «ἀποδρᾷ ... . πᾶσα ὀδύνη
καὶ λύπη καὶ στεναγμός»[5]. Βιβρώσκεται δὲ ἡ δίαιτα τῆς κολά-
σεως ἐπιτελουμένης. 30

«Πόρρω γένοιντο οἱ υἱοὶ αὐτῶν ἀπὸ σωτηρίας. Κολαβρισθείησαν δὲ ἐπὶ θύραις ἡσσόνων καὶ οὐκ ἔσται ὁ ἐξαιρούμενος»[6].

Παίδευσίν τινα ἐπεύχεται γενέσθαι τοῖς ἀλάζοσιν, ἵνα τὰ ἡδέα
καὶ τὰ ἀν22θρώπινα ἀγαθὰ ἀποστῇ αὐτῶν, ἅπερ «σωτηρίαν» ἐκάλε- 35
σεν· οὕτω γὰρ συμβήσεταί τις αὐτοῖς πόνος. Λέγει δέ· «κολαβρισθείη-
σαν», εὐτελισθείησαν ὑπὸ ἐλαττόνων ταπεινούμενοι μηδενὸς ὄντος
τοῦ βοηθοῦντος. Συμφέρει γὰρ τῷ ὑπερηφάνῳ ταπείνωσις, πρῶτον

---

1. Ἰὼβ 5,3. 2. Ψαλ. 36,35-36. 3. Ψαλ. 9,36. 4. Πρβλ. Ψαλ. 26,12. 5. Πρβλ. Ἡσ. 35,10. 51,11. 6. Ἰὼβ 5,4.

μέν, ἵνα τοιούτῳ ἀργία τῆς ἀμέτρου κακίας γένηται, ἔπειτα, ὅπως καὶ ὡς .....αι μεταπαιδευθῇ. Τὸ δὲ κολαβρισθείησαν παρῆκται ἀπὸ τοῦ κόλου, ὅ ἐστιν κολοβοῦ· λέγεται γὰρ κόλοβρον τὸν μικρὸν εἶναι χοῖρον.

«Ἃ γὰρ ἐκεῖνοι συνήγαγον, δίκαιοι ἔδονται»[1].

Οὗτος καίτοι ἀνθρωπίνως αὐτὸ λέγων εὖ παρέχοι τὸν ἀπολογισμὸν φάσκων, ὡς ἅπερ οἱ ἀσεβεῖς συνάγουσιν, οἱ δίκαιοι φάγονται, εἰ μὴ φαίνεταί ποτέ τι συμβαῖνον παράδοξον· οὐδὲ γὰρ πάντως τοῦτο οὕτως ἔχον εὑρίσκεται. Ἐν δὲ ταῖς θείαις Παροιμίαις λέγεται· «θησαυρίζεται δικαίοις πλοῦτος ἀσεβῶν»[2], ὅπερ πάλιν οὐκ ἀναγκαίως ἐπὶ ἱστορίας δεχόμεθα. Ἐπειδὴ δὲ παροιμιωδῶς εἴρηται, ἀκολούθως λέγονται πλουτοῦν Ἰουδαῖοι νόμον τε καὶ προφήτας ἔχοντες, οἷς οὐκ ἐχρήσα⟨ν⟩το δεόντως. Οὗτος ὁ πλοῦτος δ' ἐπὶ τὰ ἔθνη μετέστη· «Ἀρθήσεται» γὰρ ὁ ἀμπελὼν «καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτοῦ»[3].

«Αὐτοὶ δὲ ἐκ κακῶν οὐκ ἐξαίρετοι ἔσονται, ἐκσιφωνισθείη αὐτῶν ἡ ἰσχύς»[4].

Λέγει, ὅτι οὐ μόνον προσαφαιροῦνται τὸν πλοῦτον οἱ ἀσεβεῖς, ἀλλὰ ἐκ κακῶν οὐδέποτε ἐξαιρεθείησαν. Τῶν δ' αὐτῶν καὶ ἡ δύναμις αὐτῶν παντελῶς κενωθείη, ἀπὸ μεταφορᾶς τῶν σιφωνιζομένων πρὸς τὸ μηδὲν ἔτι ὑγρὸν ὑπολείπεσθαι. Ταῦτα μὲν εἰ ἀρατικῶς λέγει, συνεπίσκεψαι. Οἶδε ⟨δέ⟩, ὅτι [δε] συμβήσεται ταῦτα τοῖς φαύλοις οὐ πάντως· πολλοὶ γὰρ ἐν εὐγηρίᾳ τέλος τοῦ ζῆν τούτο⟨υ⟩ ἐδέξαντο. Εἰ δὲ καὶ διάλημψιν ἔχων μέλλοντος αἰῶνος καὶ κολάσεως ταῦτα λέγει, ἐπισκέψει καὶ τοῦτο. Ἃ μέντοι ὁ ἅγιος περὶ τῶν πλουτούντων ἀδίκως τοιάδε παραινῶν τὸν προσέχοντά φησιν· «μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος[5], ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήμψεται τὰ πάντα οὐδὲ συνκατα[λα]βήσεται αὐτῷ ἡ δόξα τοῦ πλούτου αὐτοῦ»[6]. Δι' ὅλου δὲ τοῦ λόγου ἑαυτοῦ οὗτος κακὰ λέγει τὰ ἐπίπονα· πενίαν, νόσον, ἀδοξίαν, ἀτιμίαν.

«Οὐ γὰρ μὴ ἐξέλθῃ ἐκ τῆς γῆς κόπος, οὐδὲ ἐξ ὀρέων ἀναβλαστήσει πόνος, ἀλλὰ ἄνθρωπος γεννᾶται πόνῳ, νεοσσοὶ δὲ γυπῶν τὰ ὑψηλὰ πέτονται»[7].

Τὰς ἀρὰς ἃς ἐπηράσατο κατὰ τῶν ἀσεβῶν ἢ ἃς εἶπεν αὐτοῖς ἔπεσθαι δεῖξαι βουλόμενος, ὅτι εὐλόγως ἐποιήσατο, φησίν· ἀνθρώπων γάρ

---

1. Ἰὼβ 5,5. 2. Παρμ. 13,22. 3. Πρβλ. Ματθ. 21,43. 4. Ἰὼβ 5,5. 5. Ψαλ. 48,17. 6. Πρβλ. Ψαλ. 48,18. 7. Ἰὼβ 5,6-7.

ἐστιν τὸ περιπίπτειν θλιβηροῖς καὶ οὐκ ἀψύχων. Δύναται δὲ καὶ ὡς παρακλητικὸς εἶναι ὁ λόγος, ὡς καὶ ἔθος ἐστὶν λέγειν τοῖς πολλοῖς ὅτι· οὐκ ἔξω τῆς ἀνθρωπίνης πέπονθας φύσεως· καὶ γὰρ ἐν πόνῳ τὸ ζῆν ἔχομεν. Καὶ αὐτὸ δὲ τὸ γεννηθῆναι ἡμᾶς πόνῳ καὶ κακοπαθείᾳ γίνεται, καὶ τῶν γεννώντων μυρία ὅσα ὑφισταμένων καὶ τῶν γεννωμένων ἐν μόχθῳ διαγόντων. Εἰ δὲ δύνασαι **28** παρεμβάλλειν τὸν περὶ τοῦ ἀπὸ γέννης τυφλοῦ λόγον τούτῳ, συνεπίσκεψαι. Περὶ γὰρ ἐκείνου «ἠρώτησαν τὸν Ἰησοῦν οἱ μαθηταὶ αὐτοῦ· οὗτος ἥμαρτεν ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ;»[1]. «Νεοσσοὶ δὲ γυπῶν τὰ ὑψηλὰ πέτονται»[2] ὅμοιον τῷ λέγειν, ὅτι ἀψύχων οὐχ ἅπτεται κάκωσις. Καὶ νεοττοὶ δὲ γυπῶν, φησίν, ἐν ὕψει πέτονται, ἀντὶ τοῦ· ἀταλαίπωροί εἰσιν — οὐ γὰρ ἐν κακίᾳ ζῶσιν —, ἵνα ὃ λέγει τοιοῦτον ᾖ· τὰ ἄψυχα καὶ τὰ ἄλογα — διὰ τῶν νεοσσῶν γὰρ τῶν γυπῶν τὰ ἄλογα σημαίνειν φαίνεται — οὐ δέχεται πεῖραν ἀνταποδόσεως, ἀνθρώπου διὰ τὰς ἁμαρτίας τοιούτων παραπολαύοντος, ὅπερ λέγει τῇ οἰκείᾳ ἀρχῇ ἑπόμενος.

«Οὐ μὴν δέ, ἀλλ' ἐγὼ δεηθήσομαι Κυρίου, Κύριον δὲ τὸν πάντων δεσπότην ἐπικαλέσομαι»[3].

Αἰτιασάμενος τοὺς ἄφρονας καὶ τὰ ἑξῆς εἰπὼν περὶ αὐτῶν ἐγὼ δέ, φησίν, οὐ χαίρομαι ὡς ἐκεῖνοι, ἀλλ' ἅτε πρόνοιαν ἐπιστάμενος καὶ εἰδὼς δεσπότην τῶν πάντων **30** τὸν Θεὸν ἐπικαλοῦμαι αὐτόν, πρέπειν τοῦτο ἡγούμενος. Κατανόησον δέ, εἰ μὴ διάλημψιν ὡς περὶ δικαίου ἑαυτοῦ ἐξαποστεῖλαι βουλόμενος ταῦτά φησιν.

«Τὸν ποιοῦντα μεγάλα καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός. Τὸν διδόντα ὑετὸν ἐπὶ τὴν γῆν, ἀποστέλλοντα ὕδωρ ἐπὶ τὴν ὑπ' οὐρανόν»[4].

Προνοητὴν ὁμολογ⟨εῖ⟩ τῶν ὅλων καὶ δημιουργὸν τὸν Θεόν. Οὐκ ἀπεικ⟨ὸς⟩ δὲ αὐτὸν ταύτας ἔχειν τὰς διαλήμψεις, ἄνδρα σοφὸν τὰ ἀνθρώπινα. Ἔχει δὲ καὶ περὶ ἀοράτων καὶ ὁρατῶν διάλημψιν, περὶ ἀνεξ⟨ιχν⟩ιάστων λέγων καὶ μεγάλων καὶ ἐνδόξων ὑετοῦ τε καὶ ὕδατος, ὅπερ ὕδωρ εἰ διαστέλλοι τοῦ ὑετοῦ, τὰ ἐκ πηγῶν καὶ χειμάρρων καὶ φλεβίων εἴη λέγων· Ἔχεις δὲ καὶ πολλαχοῦ τῶν Γραφῶν ταύτας τὰς ἐννοίας συνετώτατα, οὐχ ἥκιστα δὲ καὶ παρὰ Παύλῳ γράφοντι· «ἐν Χριστῷ ἔκτισται τὰ ὁρατὰ καὶ τὰ ἀόρατα καὶ τὰ ἐπίγεια καὶ ἐπουράνια»[5]. Δεῖ δὲ καὶ τοῦτο λογίζεσθαι, ὅτι ἐκ τῶν τῷ ἁγίῳ Ἰὼβ συμβεβηκό**32**των ὡς ἄνθρωπος εἰς φόβον ἀχθεὶς θαυμάζει τὰ τῆς προνοίας ἔργα. Τὸ δ' «οὐκ ἔστιν ἀριθμὸς»[6] νοεῖν δεῖ ὅτι ἄνθρωπος· Θεὸς γὰρ

---

1. Πρβλ. Ἰω. 9,2. 2. Ἰὼβ 5,7. 3. Ἰὼβ 5,8. 4. Ἰὼβ 5,9-10.
5. Κολ. 1,16. 6. Ἰὼβ 5,9.

τὰ πάντα οἶδεν. Καὶ οὐδὲν θαυμαστόν, ὅπου καὶ Σαλομών φησιν· «ὁ Θεὸς δέδωκέν μοι τῶν ὄντων γνῶσιν ἀληθῆ εἰδέναι σύστασιν κόσμου καὶ ἐνέργειαν στοιχείων, ἀρχὴν καὶ τέλος καὶ μεσότητα χρόνου, τροπῶν ἀλλαγάς»[1] καὶ τὰ ἑξῆς. Οὐδὲ γὰρ τὰ φύσει μὴ ἀριθμητὰ καὶ Θεῷ ἀναριθμητά ἐστιν, περὶ οὗ λέγεται· «ὁ ἀριθμῶν πλήθη ἄστρων»[2], καί· «ὑμῶν δὲ αἱ τρίχες τῆς κεφαλῆς ἠρίθμηνται»[3], ἅπερ καὶ τοῖς ἀξίοις εἰδέναι πρὸς τὸ συμφέρον δίδοται, ὡς περὶ Σολομῶντος εἴρηται.

«Τὸν ποιοῦντα ταπεινοὺς εἰς ὕψος καὶ ἀπολωλότας ἐξεγείροντα»[4].

Μεταβαίνει καὶ ἐπὶ τὴν κατὰ ἀνθρώπους πρόνοιαν καὶ τοῦτο διακείμενος περὶ τοῦ Θεοῦ τῶν ὅλων, ὅτι αὐτὸς ἐξ ὕψους ταπεινοῖ ἐκ πενήτων πλουσίους, ἐξ ὑπηκόων ἄρχοντας, ἐκ νοσούντων **34** [ἄρχοντας] ⟨ὑγιαίνοντας ἀπεργαζόμενος⟩ καὶ τὸ ἔμπαλιν. Δῆλον, ὅτι καὶ τῷ ὄντι ταῦτα καὶ φαινόμενα καὶ νοούμενα ὑπάρχει συμφέροντα, τούτῳ τῷ ὑπὸ ἁγίου εἰρημένῳ· Κύριος «καθιστᾷ βασιλεῖς καὶ μεθιστᾷ»[5], καὶ τῷ «δι' ἐμοῦ βασιλεῖς βασιλεύουσιν»[6], καὶ τῷ· «ὁ ἐγείρων ἀπὸ γῆς πτωχὸν καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα»[7]. Τῆς ὑψώσεως δὲ τῆς ἐκ Θεοῦ προοίμιον ἡ ἐξ ἡμῶν ταπεινοφροσύνη· «ὁ» γὰρ «ταπεινῶν ἑαυτὸν ὑψωθήσεται καὶ ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται»[8]. Καὶ πάλιν· «ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσιν χάριν»[9]. «Ἀπολωλότας»[1] δὲ «ἐξεγείρεσθαι»[10] λέγει τοὺς ἐν περιστάσεσι καταστάντας καὶ μεταβολῆς πειραθέντας παυούσης μὲν τὰ θλιβηρά, ἀντιδιδούσης δὲ τὰ τῆς ἀναπαύσεως, ὅπερ καὶ τῷ μακαρίῳ Ἰὼβ συμβέβηκεν ἑδραίῳ διαμείναντι ἐν τοῖς τῆς ψυχῆς ἐναρέτοις ἔργοις. Εἰ δὲ τὸν ἀπολωλότα ἀντὶ τοῦ ἁμαρτήσαντος λάβοις, καὶ τούτους ἐξεγείρει **36** Θεὸς «μετανοίας τόπον»[11] διὰ διδασκαλίας παρέχων. Ἀλλ' ὁ Ἰὼβ ὁ μακάριος οὐκ ἀπολώλει τοιαύτην ἀπώλειαν, ἵνα καὶ τοιαύτης ἐγέρσεως δεηθῇ.

«Διαλ⟨λ⟩άσσοντα βουλὰς πανούργων καὶ οὐ μὴ ποιήσουσιν αἱ χεῖρες αὐτῶν ἀληθές»[12].

Διὰ πάντων περὶ Θεοῦ κατὰ τὸν δυνατὸν ἑαυτῷ τρόπον διέξεισιν ἐννοίαις ἀνθρωπίναις οὐκ ἀπιθάνως ἐν πολλοῖς κινούμενος. Διεξελθὼν περὶ προνοίας Θεοῦ καὶ ὅτι ⟨δι'⟩ αὐτοῦ ἀδοξίαι καὶ δόξαι συμβαίνουσιν καὶ ταπεινοῦταί τις οὐκ ἄνευ αὐτοῦ, μέτεισιν ἐπὶ τὸ δεῖξαι, ὅτι κἂν μεγάλῃ ποικιλίᾳ συνέσεως ἄνθρωποι χρήσωνται, Θεοῦ ἐστι τὸ τέλος παρασχεῖν. Σημαίνει γοῦν αὐτῷ τὸ «διαλ⟨λά⟩σσοντα βουλὰς πα-

---

1. Σ. Σολ. 7,17-18. 2. Ψαλ. 146,4. 3. Πρβλ. Λουκ. 12,7. 4. Ἰὼβ 5,11. 5. Δαν. (Θδτ.) 2,21. 6. Παρμ. 8,15. 7. Ψαλ. 112,7. 8. Πρβλ. Λουκ. 14,11. 9. Ἰακ. 4,6. Α' Πέτρ. 5,5. Πρβλ. Παρμ. 3,34. 10. Πρβλ. Ἰὼβ 5,11. 11. Πρβλ. Σ. Σολ. 12,10. 12. Ἰὼβ 5,12.

νούργων»[1], ὅτι κἂν βουλεύσωνται καὶ νομίσωσιν ἑαυτῶν ἄνθρωποι πανοῦργον ἀναντίρρητον καὶ βέβαιον, ἐξαλ⟨λ⟩άττει ταῦτα Θεὸς πρὸς τὸ συμφέρον ἑκάστῳ ποιῶν. Ἡ πολλάκις ἄνθρωποι ἐλπίσαντες οὐκ ὀλίγα ἀπέτυχον καὶ μὴ προσδοκηθέντα ἔσχον Θεοῦ διοικοῦντος, **38** οὐκ ἀνθρωπίνως οἰκονομοῦντος. Οὐδ' αὖ τοιοῦτοι οὐδ' ἐν ταῖς πράξεσιν ἑαυτῶν ἀληθές τι ἔχο⟨υσιν⟩, ὅσοι ἐφ' ἑαυτοῖς βαλλόμενοι αὐτάρκεις πρὸς πάντα διὰ τῶν ἰδίων βουλῶν ἐτόπασαν εἶναι. Δεῖ δὲ εἰδέναι, ὅτι ἐν τῇ θείᾳ Γραφῇ οὐ μόνον ἐπὶ ψεκτοῦ ἀλλὰ καὶ ἐπαινετοῦ τὸ τῆς πανουργίας ὄνομα κεῖται. Ὅταν γὰρ λέγηται περὶ τῆς σοφίας· «ἵνα δῷ ἀκάκοις πανουργίαν»[2], δῆλον, ὡς φρόνησιν λέγει καὶ πρᾶγμα ἐπαίνου ἄξιον· τοιοῦτον γὰρ ὑπὸ σοφίας δίδοται. Καὶ πάλιν· «πανοῦργος κακῶν ἐπερχομένων ἀπεκρύβη»[3] δηλοῖ συνετοῦ πρᾶξιν, ἥτις πρὸς αὐτοῦ ἐπιτελεῖται μετανοίας τρόπῳ, ὅταν ἐπιφορὰ κακῶν προσδόκιμος ᾖ, ὅπερ οἱ Νινευῖται ποιήσαντες[4] διέφυγον τὴν ἀπειλήν[5]· κρύπτεται γὰρ τὴν ὀργὴν μετανοίᾳ ταύτην διαδιδράσκων. Ὅτι καὶ ψεκτῶς ἡ πανουργία κεῖται, δηλοῦται ἐν τῷ· «φοβοῦμαι, μή πως ὡς ὁ ὄφις ἐξηπάτησεν Εὔαν ἐν τῇ πανουργίᾳ αὐτοῦ, φθα**40**ρῇ τὰ νοήματα ὑμῶν»[6]. «Χεῖρας» δὲ τὰς πράξεις ἔχομεν σημαινομένας ἐν τῇ Γραφῇ, ὡς καὶ οὗτος φαίνεται νενοηκώς. Ὅταν γὰρ λέγῃ· «ἄκανθαι φύονται ἐν χειρὶ τοῦ μεθύσου»[7], οὐ τὸ μέρος τοῦ σώματος ἐκλαμβάνομεν ὃν — οὐ γὰρ ἐπὶ τούτῳ ἄκανθαι φύονται —, ἀλλὰ τὰς πράξεις, καθ' ἃς ἁμαρτάνει. «Οὐ ποιήσουσιν» οὖν «αἱ χεῖρες αὐτῶν ἀληθές»[8], τοῦ Θεοῦ μὴ ἐῶντος τὰς ἐκβάσεις τῶν βουλευμάτων αὐτῶν πληροῦσθαι.

«Ὁ καταλαμβάνων σοφοὺς ἐν τῇ φρονήσει, βουλὴν δὲ πολυπλόκων ἐξέστησεν»[9].

Ἤτοι τῇ φρονήσει τῇ ἰδίᾳ τὰς τῶν σοφῶν μηχανάς φησιν αὐτὸν καταλαμβάνειν ἢ τῇ τῶν ἀπ' αὐτοῦ μετεσχηκότων τῆς φρονήσεως, ἢ ⟨Ἐ⟩λισαῖε τὴν σοφιστείαν τοῦ Γιεζί, ὃν κατείληφεν μηχανώμενον λαθεῖν αὐτὸν λέγων· «οὐκ ἀπῆλθεν ὁ δοῦλός σου δεξιὰν ἢ ἀριστεράν»[10]. Πρὸς ὃν καταλαβὼν αὐτοῦ τὸ κίνημα εἶπεν· «οὐχὶ ἡ καρδία μου μετὰ σοῦ ἦν;»[11] **42** ..... ἀλλὰ καὶ τὴν βουλὴν τῶν πλεκόντων πανουργίας ἐξίστησιν ὡς τοῦ Ἀχιτοφέλ, εὐξαμένου τοῦ μακαρίου Δαυὶδ καὶ λέγοντος· «διασκέδασόν μοι τὴν βουλὴν ⟨τοῦ⟩ Ἀχιτοφέλ»[12]. Οὐ μὴν δέ, ἀλλὰ καὶ τὴν «τῶν παρανόμων πρεσβυτέρων»[13] καὶ τῆς Αἰγυπτίας ἐξέστησε βουλὴν κατὰ σωφροσύνης βουλευσαμένων οὕτως, ὡς τὴν μὲν Σωσάνναν διὰ τὸ πολύπλοκον αὐτῶν εἰπεῖν· «στενά μοι πάντοθεν»[14], τὸν δὲ Ἰωσὴφ νεανικῷ καὶ φρονήματι καὶ κινή-

---

1. Ἰὼβ 5,12. 2. Παρμ. 1,4. 3. Παρμ. 27,12. 4. Πρβλ. Ἰων. 3,5. Ματθ. 12,41. Λουκ. 11,32. 5. Πρβλ. Ἰων. 3,10. 6. Β' Κορ. 11,3. 7. Παρμ. 26,9. 8. Ἰὼβ 5,12. 9. Ἰὼβ 5,13. 10. Πρβλ. Δ' Βασ. 5,25. 11. Πρβλ. Δ' Βασ. 5,26. 12. Πρβλ. Β' Βασ. 15,31. 13. Πρβλ. Δαν. Σουσ. 32,34. 14. Ἔνθ' ἀν. (Θδτ.) 22.

ματι διαδρᾶναι τὰς τῆς Αἰγυπτίας παρανόμου γυναικὸς μηχανάς[1].

«Ἡμέρας συναντήσεταί αὐτοῖς σκότος, τὸ δὲ μεσημερινὸν ψηλαφήσαισαν ἴσα νυκτί, ἀπόλοιντο δὲ ἐν πολέμῳ»[2].

Λέγει, ὅτι ὅσοι ὑπὲρ τὴν ἑαυτ⟨ῶ⟩ν δύναμιν ἐπιχειροῦσιν ὡς οἴεσθαι, ὅτι χωρὶς ἐπιπνοίας Θεοῦ τι καταλαμβάνουσιν, οὐδὲν εὑρίσκουσιν, σκότῳ συνεχόμενοι ἀσαφίας ψηλαφῶντες καθάπερ ἐν νυκτὶ τὰ πράγματα, οὐδὲν ὅλως ἀκριβείας συνιδεῖν δυνάμενοι. Ὥσ44περ γὰρ ὑπόχυμα ὀφθαλμοῖς ἐπικείμενον κωλύει τὴν ὁρατικὴν δύναμιν, οὕτω τοιοῦτον περὶ τὸν νοῦν πάθος ποιεῖ καὶ ἐν τοῖς φωτεινοῖς καὶ φανεροῖς ἀβλεπτεῖν. Ἐπιτεταμένως δὲ αὐτῶν σημαίνει τὴν ἄγνοιαν γίνεσθαι τῷ καὶ ἐ⟨ν μ⟩εσημβρινῷ καιρῷ ἀβλεπτεῖν. Λέγοις δὲ ἂν καὶ αὐτὸ⟨ν⟩ τ⟨ῷ⟩ πεπιστευκότ⟨ι⟩ μὲν τῷ κηρύγματι τῷ εὐαγγελικῷ, ἐν ἁμαρτίαις δὲ ἔτι ἐνκαλεῖν δυναμένῳ φωτὸς μεγάλου παρόντος μὴ ὁρᾶν· ᾗ μὲν γὰρ πιστεύει, φῶς αὐτῷ φαίνεται, ᾗ δὲ οὐ χρῆται πρὸς τὸ δέον τῷ φωτί, τυφλώττει. Γέγονε δὲ ταῦτα συμβολικῶς τοῖς Αἰγυπτίοις· τρεῖ⟨ς⟩ γὰρ ἡμέρας καὶ τρεῖς νύκτας ὅλας ἐφεξῆς ἐν σκότει διέτριψαν. Καὶ ὅτι παρὰ τὴν αὐτῶν αἰτίαν τοῦτ' ἔπασχον, οὐ πᾶσιν ἁπλῶς ἀφεγγὴς ἦν ἡ ἡμέρα ἀλλὰ αὐτοῖς μόνοις, τῶν Ἰσ[δ]ραηλιτῶν οὐδὲν τοιοῦτο πασχό⟨ν⟩των. Ἀλλὰ καὶ οἱ κατὰ Σοδομὰ ἄνδρες ἀορασίᾳ πληγέντες[3] αἰσθητῇ συμβολικῶς ἐδείκνυντο τυφλώττειν κατὰ τὴν διάνοι46αν. Καὶ οἱ ἐν τα⟨ῖ⟩ς Βασιλείαις δὲ ἀορασίᾳ πληγέντες[4], οἳ καὶ .....

.....

οὐκ ἀναγκαστῶς δὲ ἐρεῖς καὶ τοὺς κατὰ τῆς ἀληθείας γινομένους διὰ σοφιστικῶν καὶ πιθανῶν λόγων περιπίπτειν ἐν ἡμέρᾳ σκότῳ καὶ μ⟨ε⟩σημβρίᾳ καθάπερ ἐν νυκτί, ἀλλ' ἐπὰν ὁ συνιστάμενος τῇ ἀληθείᾳ ταῖς ἀποδείξεσιν τὸ σαθρὸν αὐτῶν τῆς πιθανότητος ἐλέγχῃ, πρὸς ἃς μὴ δυνάμενοι ἀντιστῆναι τυφλοῖς καὶ ἀνοήτοις ἐοίκασιν. Οἳ καὶ ἐν πολέμῳ τῷ κατὰ τὸν ἀγῶνα τὸν ὑπὲρ τῆς ἀληθείας ἀπόλλυνται. Ὧν σύμβολα οἵ τε Αἰγύπτιοι ὑπὸ Φαραὼ στρατευόμενοι καὶ ἡττηθέντες ὑπὸ τῶν Ἰσ[δ]ραηλιτῶν Θεοῦ βοηθείᾳ[5] καὶ Γολιὰθ ὑπὸ τοῦ Δαυὶδ[6] καὶ πάντες, ὅσοι ὑπὸ τῶν θεραπευτῶν τοῦ Θεοῦ καὶ κατὰ τὸ αἰσθητὸν ἡττήθησαν. Οὗτοι γὰρ δεῖγμα ἐκφέρουσιν τοῦ μηδὲ τοὺς κατὰ διάνοιαν πολεμίους τῶν σοφῶν δύνασθαι πρὸς τὴν πρεσβευομένην ὑπ' αὐτῶν ἀλή48θειαν. Οὐ μὴν ἀλλὰ καὶ τὸ κατὰ Μωσέα τούτου σαφέστατόν ἐστι δεῖγμα, ὅτε πρὸς Ἀμαλῆκα ἐπολέμει. Ἡνίκα γὰρ αἱ χεῖρες καθεῖντο, τροπὴ ἐγίγνετο νίκης γιγνομένης ὅτε ἄνω πρὸς Θεὸν ἐκτεταμέναι ἐτύγχανον[7]. Ἐξ οὗ παρίσταται, ὡς ὁ τῷ ὑψηλῷ φρονήματι τῆς ἀληθείας ἐπερειδόμενος ἀήττητος ὢν καὶ «τὴν ψευδώνυμον γνῶσιν»[8]

---

1. Πρβλ. Γεν. 39,7-9. 2. Ἰὼβ 5,14-15. 3. Πρβλ. Γεν. 19,11. 4. Πρβλ. Δ' Βασ. 6,18. 5. Πρβλ. Ἐξ. 14,26-28. 6. Πρβλ. Α' Βασ. 17,49. 7. Πρβλ. Ἐξ. 17,11. 8. Πρβλ. Α' Τιμ. 6,20.

πατεῖ. Ὁ δὲ κάτω περὶ τὰ γήϊνα στρεφόμενος τυφλώττων καὶ ἀγνοίᾳ σκοτωθεὶς τὴν διάνοιαν ἦτταν ὑπομένει χαλεπωτάτην.

«Ἀδύνατος δὲ ἐξέλθοι ἐκ χειρὸς δυνάστου»[1].

Εἴη μὲν ταῦτα καὶ κα⟨τὰ⟩ τὸ σχῆμα τῆς λέξεως οὕτω δηλο⟨ῦντα⟩ εὐκτικά, ἵν' ᾖ τὸ λεγόμενον· γένοιτο τοὺς ἀσθενεῖς τυχεῖν βοηθείας, ὡς διαφυγεῖν τῶν δυνατῶν τὰς χεῖρας. Δυνατὸν καὶ ὡς ἀπὸ διηγ⟨ή⟩σεως αὐτὸ φέρεσθαι, ἵν' ᾖ οὕτως· «ὁ ποιῶν μεγάλα καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ [ἐν] ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός, ὁ διδοὺς ὑετὸν ἐπὶ τὴν γῆν, ὁ ἀποστέλλων ὕδωρ ἐπὶ τὴν ὑπ' οὐρανόν, ὁ ταπεινοὺς ὑψῶν, ὁ ἀπο**50**λωλότας ἐξεγείρων»[2], ὡς εἴρηται, καὶ τὰ ἑξῆς. Πάντας οὗτος καὶ τοὺς ἀδυνάτους ἐκ χειρὸς δυνατῶν ῥύεται. Ἔχομεν τοῦτο ἐν ταῖς Βασιλείαις, ὁπηνίκα γὰρ ὁ Σαοὺλ τὸν Δαυὶδ ἐδίωκεν οὕτως, ὡς εἰς ⟨σ⟩πήλαιον αὐτὸν ὑποκρύπτεσθαι, ἐν ᾧ καὶ ἠὐλίσθη ὁ Σαούλ[3]. Καὶ τί τὸ παράδοξον; Περιστοιχισθεὶς γὰρ ὑπὸ τῶν ἐχθρῶν δυνάμει θείᾳ διεσώθη, ὡς καὶ τὸν ἐχθρὸν ὑπὸ χεῖρα αὐτῷ δοθῆναι, εἰ καὶ ἀρετῇ ἀμνησ⟨ι⟩κακίας ὑπερεῖδεν τὴν κατὰ τοῦ ἀντιπάλου σφαγήν, οὐ μόνον μὴ καθελὼν ἀλλὰ καὶ παιδεύων ἀποστῆναι τῆς μοχθηρίας. Ἀποτεμὼν γὰρ αὐτοῦ «τὸ πτερύγιον τῆς διπλοΐδος»[4] ἔδειξεν αὐτῷ, ὅτι καὶ τὴν κεφαλὴν ἀποτεμεῖν ἐδύνατο. Ἀμφότερα οὖν παιδεύει, καὶ τὴν τοῦ Θεοῦ περὶ τοὺς ἑαυτοῦ θεράποντας κηδεμονίαν καὶ τὴν ἑαυτοῦ ἀνεξικακίαν, ἐφ' ᾗν εἰς μίμησιν αὐτοῦ προκαλεῖται τὸν ἐχθρὸν διδάσκων αὐτόν, ὅτι τοὺς ἀδυνάτους ὁ Θεὸς ἐξαιρεῖται ἀπὸ τῶν δυνατῶν καὶ ἐπιβούλων.

52 «Εἴη δὲ ἀδυνάτῳ ἐλπίς, ἀδίκου δὲ στόμα ἐνφραχθείη»[5].

Καὶ πρὸς τὸν τῆς προνοίας λόγον ἁρμόζει ἡ λέξις. Εἰ ἀδύνατός ἐστιν λειπόμενος δυνάμεως, μὴ ἀποδοκιμαζέτω ἑαυτόν, μὴ πᾶσαν προσδοκίαν ἀποστρεφέσθω· καὶ τοῖς ἀδυνάτοις γὰρ ἐλπίς ἐστιν. Ἐμφράσσεται δὲ καὶ τοῦ ἀδίκου τὸ στόμα, ὅταν ὑπ' ἀλαζονείας ἐπιφυσόμενος κατὰ τῶν ἀδικουμένων θεάσηται αὐτοὺς διαφυγόντας τὴν ἀπ' αὐτοῦ βίαν καὶ πρὸς τοῦτο ἐνδόξους γεγενημένους .....τα μὲν οὖν

ο.....ς κοιναὶ ..... μεμπτὰς ἰδ .....
..... ἐκ τῶν ἁγίων .....ιλ.ισαπ.....
ὑπὸ φαι..... σ.υτου ....ων ...ν.....
.....νον .....αχως θαρ.....
.....υ .....αντες ..... ἀλλὰ καὶ
..... τοὺς ἰδόν**54**.....ν δὲ καὶ .....
..... ἐκλα.....ναι ..... «τὴν

---

1. Ἰὼβ 5,15. 2. Πρβλ. Ἰὼβ 5,9-11. 3. Πρβλ. Α' Βασ. 24,4. 4. Α' Βασ. 24,5. 5. Ἰὼβ 5,16.

ἰσχὺν τῶν ἐθνῶν προνομεύσω καὶ τῇ σοφίᾳ τῆς συνέσεως ἀφελῶ ὅρια ἐθνῶν[1], τὴν οἰκουμένην ὅλην καταλήμψομαι τῇ χειρὶ ὡς νοσσιὰν καὶ ὡς ᾠὰ καταλελειμμένα ἀρῶ»[2], ἅπερ ὑπ' ἀλαζονείας πράττεται μονονουχὶ λέγων· ἡ πᾶσα οἰκουμένη ὥσπερ ...μεα..... λόγον .ων
5 .....εικ.....μμεν.. πο..... ..πω πτερωθεν.....
..... ἀλλ' εὐχειρωτ..... «διαφεύξεται»[3] .....
..... ἄλλα ἀπ..... τὰς ἐλπίδας .....
..διαφυγεῖν κατ.....του ἐχω. π..... διὰ
τὴν ἀκακίαν ..... ἀσπίδων τ.....λιου
10 μη κ..... δέδωκεν «ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ»[4]. Καὶ γὰρ ο..προ.
..... **56** β.....τα αν....
..... «καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν»[5] .....
..... ο.. ..... μ.....
15 ..... χωρη ..... λω.... «μὴ δοξασθήσεται ἀξίνη ἄνευ τοῦ κόπτοντος ἐν αὐτῇ;»[6] η.ηο..τ..... .. μὴ γὰρ σὺ εἶ ὁ κόπτων. Προηγουμένως ἀξίνη λόγον ἐπέχεις. Ὁ τῆς προνοίας λόγος παραδίδωσιν, τίνα ....ται ....ισιν. Μὴ ἐπὶ σαυτῷ σ..εσο πεποιθώς· ἀξίνη γὰρ ὑπάρχεις. Ἐγώ εἰμι ὁ κόπτων ἐν σοί. «Μὴ ὑψωθήσεται
20 πρίων ἄνευ τοῦ ἕλκοντος αὐτόν;»[7] Παρε[μ]λημφθ.....
...πρίσης τὰ μηκ.....οντα δένδρα .....ν.
Ἐγὼ γάρ εἰμι .....σεως ἕλκων κ..... ἐν τῷ ψαλμῷ οα λέγει· «ὅτι ἐρρύσατο πτωχὸν ἐκ χειρὸς δυνάστου καὶ πένητα ᾧ οὐχ ὑπῆρχεν βοηθός· φείσεται πτωχοῦ καὶ πένητος[8], ἐκ τόκου
25 καὶ ἐξ ἀδικίας λυτρώσεται τὰς ψυχὰς αὐτῶν»[9] .....ο **58**
εἰργάσατο ..... σταυρῷ τόκ.....ιν οτα.σιδ...
.....ησαμεν ..... χαρισαμεν.....
«ἀδύνατον ἐκ δυνάστου χειρὸς»[10] ..... . Ἅπαξ δὲ .....
....ες σκοπησ.....ουκου ρουσε...μο.....
30 ἁμαρτάνοντες ἑαυ..... τῶν ἁμαρτημάτων .....
ὅπερ διὰ τοῦ χρε..... ..κους δηλοῦται, τοῦ β..... ἐπουράνια, οὐ δ(ὲ) φαινόμενα ....λου ἐκ τοῦ καὶ κατὰ τ.....
..... ὁρμᾶν. Ἐλπὶς δὲ ὑπάρχουσα τοῖς ἀδυνατοῦσιν ἔλεγχός ἐστιν κατὰ τῶν Νοβατιανῶν, οἳ μετάνοιαν ἐξαιροῦντες καὶ τὰς ἐλπίδας
35 ἐκκόπτουσι. Οἳ ὤφειλον κἂν παρὰ **60** τοῦ Ἐλιφὰζ παιδευθῆναι φυσικο..... .εινομένου, ὅτι ἐλπίδα ..... σωτηρίας καὶ με.
..... γάρ τις ἐκουσι..... αὐτῶν καὶ α.....
... ἐστίν. «Ἐμφραχθείη δὲ τὸ στόμα τοῦ ἀδίκου»[11] .....
κουμενην ολ.....ι κόρης μὲν στ..... ὑπερβαι-

---

1. Πρβλ. Ἡσ. 10,13. 2. Ἡσ. 10,14. 3. Ἔνθ' ἀν. 4. Λουκ. 10,19. 5. Α' Κορ. 10,13. 6. Ἡσ. 10,15. 7. Ἔνθ' ἀν. 8. Ψαλ. 71,12-13. 9. Ψαλ. 71,14. 10. Πρβλ. Ἰὼβ 5,15. 11. Πρβλ. Ἰὼβ 5,16.

ν.....ινα νεανίου δὲ .....ης ἐπιρρεπ.....
..ύντος τοῦ το..... «πᾶσα ἀδικία ἐμφράξει τὸ στόμα αὐτῆς»[1], ὅπερ ἀντὶ τοῦ ἀδίκου εἴρηται. Πολλάκι⟨ς⟩ γὰρ .....μ.υσιν οιπ..... Εἰ γοῦν Παῦλος γράφει περὶ τῆς ἀγάπης, τὰ ῥήματα οὐκ αὐτῇ ἀλλὰ τῷ ἔχοντι αὐτὴν ἐφαρμόζει. Φησὶν γάρ· «ἡ ἀγάπη οὐ ⟨περπε⟩ρεύεται, οὐ φυσιοῦται»[2] ου.επετ.. τ..... καὶ ταῦτα δὲ περὶ τοῦ ἔχοντος κυριολεκτεῖται· «ἡ ἀγάπη οὐδέποτε πίπτει»[3]. Ἀρετὴ δὲ οὐ πίπτει, ἀλλ' ὁ ἔχων αὐτήν. «Ἐμφραχθείη» οὖν «τῇ ἀδικίᾳ τὸ στόμα αὐτῆς»[4] **62** τουτέστιν ὁ ἄδικος, ὅς ἐστιν ὁ διάβολος μηκέτι ἔχων τι λέγειν, ὅπερ καὶ ὁ Παῦλος γράφει λέγων· «ἵνα καὶ ὁ ἐξ ἐναντίας ἐντραπῇ μηδὲν ἔχων περὶ ὑμῶν λέγειν»[5], ἀντὶ τοῦ· καθ' ἡμῶν.

«Μακάριος ἄνθρωπος ὃν ἤλεγξεν ὁ Κύριος, νουθέτημα δὲ παντοκράτορος μὴ ἀπαναίνου. Αὐτὸς γὰρ ἀλγεῖν ποιεῖ καὶ πάλιν ἀποκαθίστησιν, ἔπαισεν, καὶ αἱ χεῖρες αὐτοῦ ἰάσαντο»[6].

..... .αται ἐχο..... προφήτου .....εν ἐν τι..... κηδομενο.....μων τοῦτο δε.....ι χαλεπωτατ ..... κατὰ ἀπόδοσιν .....ιν γίνεται. Λέγεται γάρ· «καὶ οὐκ ἐπισκέψομαι ἐπὶ τὰς θυγατέρας αὐτῶν, ὅταν πορνεύσωσιν οὐδ' ἐπὶ τὰς νύμφας αὐτῶν ὅταν μοιχεύσωσιν»[7]. Καὶ παρατηροῦ, ὅτι ἐπὶ μὲν τῶν θυγατέρων τὸ πορνεύειν εἴρηται, ἐπὶ δὲ νυμφῶν τὸ μοιχεύειν. Ἀλλὰ καὶ τὸ ἐν Παροιμίαις λεγόμε**64**νον· «ὃν ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται»[8] τὴν αὐτὴν ὑποβάλλει διάνοιαν. Καὶ εἷς ἐκ τῶν ἁγίων προθυμίαν εἰς τοῦτο ἔχων παρρησιαζόμενος μετανοίας λόγους τῷ Θεῷ προσφέρων ἔλεγεν· «ἐγὼ εἰς μάστιγας ἕτοιμος»[9]· οἶδα γάρ, ὅτι συμφερόντως παρὰ σοῦ γίνεται, καθὰ καὶ ἰατρῷ συνετῷ λέγοι τις· ἐγὼ καὶ πρὸς τομὴν ἕτοιμός εἰμι θαρρῶν σου τῇ ἀλήμπτῳ τέχνῃ. Ἔτι οὖν τῆς αὐτῆς ἀρχῆς ἐχόμενος τρόπον τινὰ

..... Ἰὼβ παραχ..... ὡς πρὸς ἀν.....
..... ἔλεγχον καλ. .....ο εἶδος. «Αὐ**66**τὸς γὰρ ἀλγεῖν ποιεῖ καὶ πάλιν ἀποκαθίστησιν»[10] ....ς καὶ περὶ .....ω ἀλλα...α .....ς αὐθεντικὰ κω..... τὸν Θεόν. Αὐτὸς δὲ ἐκ βο..... ὁ Μωσῆς φησιν· «ἐγὼ ἀποκτέννω καὶ ζῆν ποιήσω, πατάξω κἀγὼ ἰάσομαι»[11]. Οὐδὲ γὰρ κατὰ τοὺς Μανιχαίους ἄλλος μὲν ἀλγεῖν ποιεῖ, ἄλλος δὲ ἰᾶται· εἷς γάρ ἐστιν ὁ ἰώμενος, ὃς καὶ τὴν τῶν

---

1. Πρβλ. Ψαλ. 106,42. 2. Α' Κορ. 13,4. 3. Α' Κορ. 13,8. 4. Πρβλ. Ψαλ. 106,42. 5. Τιτ. 2,8. 6. Ἰὼβ 5,17-18. 7. Πρβλ. Ὡσ. 4,14. 8. Παρμ. 3,12. 9. Ψαλ. 37,18. 10. Ἰὼβ 5,18. 11. Δευτ. 32,39.

κακωτικῶν ἐπαγωγὴν ἐπέτρεψεν πρὸς τὸν σκοπὸν προνοίας ἄγων τὰ δαιμόνια ...οι γὰρ .π..... ... αὐτοῦ δυναμ⟨ι⟩ν.....ὑπάρχουσι ... τὰ τῆς κακώσεως πρὸς ὑγείαν ἐπάγουσι .... «ἐξάκις ἐξ ἀναγκῶν σε ἐξελεῖται, ἐν δὲ τῷ ἑβδόμῳ οὐ μὴ ἅψηταί σου κακόν»[1].

'Επιστάνων τῷ εἰρημένῳ καὶ λογιζόμενος, ὡς ὁ 'Ελιφάζ οὐκ ἔστι τῶν ἁγίων, ἀπορήσειεν ἄν τις, πῶς τοιοῦτοι λόγοι παρ' αὐτοῦ λέγονται, οἳ καὶ πρὸς ἁγίων ῥηθεῖεν. Λεκτέον οὖν πρὸς τοῦτο, ὅτι οἱ κατὰ Θεὸν σοφοὶ καὶ πρὸ τοῦ νόμου καὶ **68** τῆς ἐνγράφου διδασκαλίας πολλὰ ἀγράφως μετὰ σοφίας ἔλεγον, ἅπερ ὕστερόν τις ἐγγράφως παραδέδωκεν θείᾳ γε χορηγίᾳ. Εἰκὸς οὖν, ὅτι καὶ οἱ τοῦ 'Ιὼβ φίλοι ἔχοντες διηρθρωμένην ἔννοιαν ἐμέμνηντο τῶν ὑπὸ ἁγίων διατεθέντων λόγων. Καὶ τοῦτό ἐστιν τὸ ἐνάγον αὐτοὺς εἰς τὸ συνετοὺς προφέρειν λόγους, εἰ καὶ ἔν τισιν διημάρτανον. Ὃ ὑποβάλλουσιν τοίνυν οἱ ἐκτεθέντες στίχοι, τοῦτ' ἔστιν· ἐς ὅσον ⟨τι⟩ς ὑπὸ τὸν ἐν ἓξ ἡμέραις γεγενημένον ὑπάρχει κόσμον, τὰς ⟨ἐν⟩ αὐτῷ ὑπομένει ἀνίας καὶ θλίψεις. Κἂν γὰρ ἅγιός τις ὑπάρχῃ, ἔχει τὴν ἐκ τοῦ σώματος τῆς χρείας ἀνάγκην, ἧς ἀπαλλάττεται ὑπερβὰς τὸν κόσμον καὶ ἐν ⟨ἑ⟩βδοματικῇ ἀναπαύσει γεγενημένος. Τοῦτο δηλοῦται **70** ἐκ τοῦ· «ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός»[2]. Καὶ κατὰ ταύτην γὰρ τὴν διάνοιαν οὐκ ἀπεμφαίνει ἐκλαβεῖν τὸ ῥητόν. Οὐχ ἅπτεται γὰρ κάκωσις τοῦ ὑπερβάντος τὸν κόσμον, ἐπεὶ τοῦ καὶ ἀφιλάργυρον ἔχοντος τρόπον καὶ ἀκτήμονος οὐχ ἅπτεται ζημία, τοῦ ἅπτεται συνετῶς νοουμένου ὡς καὶ πρότερον ἐπεσημηνάμεθα πλείονα τῆς λέξεως σημαινούσης· ἐν μὲν γὰρ τῷ· «πάντων ἅψαι»[3] τὸν προσεγγισμὸν καὶ αὐτὴν τὴν ἁφὴν δηλοῖ, ἐν δὲ τῷ· «⟨ὁ⟩ ἁπτόμενος ὑμῶν ὡς ὁ ἁπτόμενος τῆς κόρης τοῦ ὀφθαλμοῦ αὐτοῦ»[4] τὴν κατά τινος ἐπιφορὰν καὶ ὁρμὴν δηλοῖ καὶ ἐπιβουλήν, κἂν μὴ δι' αὐτοῦ αὐτὴν ὁ ἀδικῶν ἐνεργῇ. Νοηθείη δὲ καὶ οὕτως· ὁ ἔτι ἐπιπροκόπτων ὡς δι' ἔργων καὶ πράξεων ἐπὶ τὸ τέλος ἐπείγεσθαι, οὗτος ἂν ἐν ἓξ ἀνάγκαις εἴη βιαστής τις γινόμενος· «βιασταὶ» γὰρ «ἁρπάζουσι τὴν βασιλείαν»[5]. 'Επειδὰν δὲ τελειότητος ἐφίκηται, οὐκέτι τῆς δι**72**ὰ πόνου καὶ ἱδρῶτος τοῦ ἐνδείᾳ προκοπῆ⟨ς⟩ συνισταμένου δεήσεται ⟨βίας⟩ τῇ τελειότητι διαναγκαζόμενος. Τοῦτο τοί⟨νυν⟩ συμβολικῶς ἐν τῷ πατριάρχῃ δείκνυται 'Ιακὼβ μὲν πρότερον καλουμένῳ διὰ τὸ «πτερνίζειν»[6] τὰ πάθη, ὕστερον δὲ 'Ισ[δ]ραὴλ διὰ τὸ θεωρίᾳ σχολάζειν μετὰ τὴν πρὸς τὰ πάθη πάλην. Τοῦτο γοῦν καὶ τοῖς μαθηταῖς ἑαυτοῦ 'Ιησοῦς ἔλεγεν· «οὐκέτι ἐστὲ ἐκ τοῦ κόσμου τούτου»[7] ὑπερπηδήσασιν [ε] αὐτόν. Εἰ **74** δέ τις ἐνσταίη ὡς μὴ ὑποβαλλομένης ἀνηγμένης θεωρίας πρὸς τοῦ εἰρημένου ὑπὸ τοῦ 'Ελιφάζ, δίκαιος ἂν εἴη τὴν διάνοιαν ἀποδοῦναι καὶ λέγειν, εἰ ο⟨ὕτ⟩ως μήποτε νοῦν ἔχειν οἴεται, ὅτι ἕως ἕκτης θλίψεως συνχωρεῖ ἀνθρώπῳ

---

1. 'Ιὼβ 5,19. 2. 'Ησ. 35,10. 3. Πρβλ. 'Ιὼβ 1,11. 4. Ζαχ. 2,12. 5. Πρβλ. Ματθ. 11,12. 6. Γεν. 27,36. 7. Πρβλ. 'Ιω. 15,19.

Θεὸς θλίβεσθαι τὸ ἕβδομον οὐκέτι συνχωρῶν, πεῖραν αὐτοῦ ἔχοντος ὡς πολλάκις ἄνθρωποι πολλοῖς πειρασμοῖς εἰσενέπεσαν· οὐ γὰρ ἀπεικὸς τοῦτο.

«Ἐν λιμῷ ῥύσεταί σε ἐκ θανάτου, ἐν πολέμῳ δὲ ἐκ χειρὸς σιδήρου λύσει σε»[1].

Εἴποι μὲν ἄν τις, ὡς οὐδὲν ἀπεοικὸς τὸν νομίσαντα δι' ἁμαρτίας τὸν πάσχοντα πάσχειν νομίσαι, ⟨ὅτι⟩ καὶ ὁ [τι] νουθετούμενος ὑπὸ Κυρίου μετὰ τὴν νουθεσίαν εὐθὺς τοιούτων ἀξιοῦται ὡς καὶ ὑπὸ ⟨Θεοῦ ἐν⟩ λιμῷ ἐκ θανάτου ῥύεσθαι καὶ ἐν πολέμῳ ἐκ σιδήρου ὑπὸ Θεοῦ λύεσθαι, τούτου ἀναντιρρήτου μὴ ὑπάρχοντος· πολλοὶ γὰρ ἐπαπέθανον σπουδαῖοι ἐν λιμῷ καὶ οὐ πάντες οἱ ἐν πολέμῳ ἀπολλύμε-
76νοι φαῦλοι, τοῦ λόγου κατὰ ἀναγωγὴν ἔχοντος τὸ ἀναντίρρητον. Τὸ γὰρ λεγόμενον ἐν Ψαλμοῖς· «νεώτερος ἐγενάμην· καὶ γὰρ ἐγήρασα καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους. Ὅλην τὴν ἡμέραν ἐλεᾷ καὶ δανίζει»[2] ἀληθὲς καὶ ἀναγκαῖον κατὰ διάνοιαν λαμβανόμενον· οὐδὲ γὰρ δίκαιος δέεται τῶν τρεφόντων ψυχὴν πλήρης ὑπάρχων τοῦ «ζωοποιοῦντος πνεύματος»[3]. Ἀλλὰ καὶ τὸ σπέρμα αὐτοῦ τὸ κατὰ τὴν θείαν ἀπογέννησιν τικτόμενον ⟨οὐχ⟩ ὑποκείσεται ταύτῃ τῇ ἐνδείᾳ τῶν τροφῶν· μιμητὴς γὰρ ὁ σπουδαῖος γινόμενος τοῦ Χριστοῦ κατὰ τὸν Παῦλον λέγοντα· «μιμηταί μου γίνεσθε καθὼς κἀγὼ Χριστοῦ»[4] βρῶμα ἔχει τὸ τοῦ Θεοῦ θέλημα ἐν ταῖς ἐντολαῖς καὶ δικαιώμασιν αὐτοῦ πορευόμενος. Ὁ δ' αὐτὸς ἐλεεῖ καὶ δανίζει οὐκ ἀπηγορευμένον δάν⟨ε⟩ιον — πῶς γὰρ οἷόν τε; Τὸ γὰρ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ —, ἀλλὰ παίδευσιν θεί**78**αν καὶ διδασκαλίαν, ἐξ ἧς προκοπὴ καὶ κέρδος τοῖς ἀκούουσιν γίνεται καὶ τῷ διδάσκοντι. Τοῖς γοῦν γνωρίμοις Ἰησοῦς σπεύδουσι μὴ ἔχειν «χαλκὸν εἰς τὰς ζώνας»[5] μηδ' ὅλως τι ἔχειν ὡς παρρησιαζομένους εἰπεῖν· «ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι»[6], φησίν· «τὸν θέλοντα ἀπὸ σοῦ δανίσασθαι μὴ ἀποστραφῇς»[7], δηλονότι ὡς προείρηται. Ὁ φαῦλος οὖν δανιζόμενος οὐκ ἀποτινύει. Πολλοὺς γὰρ λόγους εἰς παίδευσιν ἄγοντας ἀκούων οὐδὲν εἰς ἔργον προφέρει. Ἀλλὰ καὶ τό· «δανιεῖς ἔθνεσι πολλοῖς»[8], λεγόμενον ἐν προστάξει· «σὺ δὲ οὐ δανιῇ»[9], οὐκ ἔχον ἱστορίαν — πῶς γὰρ οἷόν τε ἦν διαβῆναι ἔθνη πολέμια ἐπὶ τῷ τοκίζειν; Ἀλλὰ καὶ τῶν Ἰσ[δ]ραηλιτῶν δανιζομένων εἴρητα⟨ι⟩· «τῷ ἀδελφῷ σου οὐκ ἐκτοκιεῖς»[10], καί· ἐὰν ἐνεχυράσῃς, «πρὸ δυθμῶν ἡλίου ἀποδώσεις αὐτό»[11], ὅπερ δείκνυσιν αὐτοὺς ἐν χρείᾳ ὄντας — ἔχει διάνοιαν, ὡς τὸ θεῖον ἔχοντα πλοῦτον παιδεύειν δεῖ πάντα τὸν προσιόντα αὐτὸν **80** μὴ εἰς τὴν τοῦ χρῄζοντος ἐρχόμενον κατάστασιν. Ὅτι γὰρ ἐλίμωξαν δίκαιοι καὶ ἐν

---

1. Ἰὼβ 5,2. 2. Ψαλ. 36,25-26. 3. Πρβλ. Α' Κορ. 15,45. 4. Α' Κορ. 11,1. 5. Ματθ. 10,9. 6. Πράξ. 3,6. 7. Ματθ. 5,42. 8. Δευτ. 15,6. 28,12. 9. Ἔνθ' ἀν. 10. Πρβλ. Δευτ. 23,21. 11. Πρβλ. Δευτ. 24,13.

πολέμῳ πολλὰς ὑπέμειναν θλίψεις δῆλον τῷ ἀναγνόντι τὰς βασιλικὰς ἱστορίας, τῶν μὲν υἱῶν τῶν προφητῶν λιμωττόντων καὶ Λαζάρου, Δαυὶδ δὲ ἐν πολλαῖς περιστάσεσι γενομένου, δηλονότι τροφὴν ψυχικὴν ἔχοντες κατὰ τὸ εἰρημένον· «διάνοιξον τοὺς ὀφθαλμούς σου καὶ ἐμπλήσθητι ἄρτων»[1], καὶ ἐκτὸς πειρασμοῦ τοῦ κατὰ διάνοιαν εὑρισκόμενοι, οὐκ ἐώμενοι θάνατον ψυχῆς ὑπομένειν ἢ δεσμὰ ἁμαρτίας ἐκτὸς τῆς ἀπειλῆς γιγνόμενοι, καθ' ἣν ἐπάγεται «⟨οὐ⟩ λιμὸς ἄρτου ⟨οὐδὲ δίψα⟩ ὕδατος ἀλλὰ τοῦ ἀκοῦσαι λόγον Κυρίου»[2] πινόντων ἐκ τοῦ ὕδατος οὗ Ἰησοῦς παρέχει τῶν δικαίων, ὃ καὶ «ἐν αὐτοῖς γίνεται πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον»[3].

«Ἀπὸ μάστιγος γλώσσης σε κρύψει καὶ οὐ μὴ φοβηθῇς ἀπὸ κακῶν ἐρχομένων»[4].

Περὶ τοῦ νουθετουμένου ἀπὸ Κυρίου καὶ ὡσανεὶ μετανοήσαντος ταῦτα πάλιν λέγει ἐ**82**πόμενος τῇ οἰκείᾳ ἀρχῇ οὐκ ὄντος οὐδὲ τούτου ἀναγκαίου οὗ λέγει. Πολλοὶ γὰρ πολλάκις ἐλοιδορήθησαν δίκαιοι, ὧν ἐστιν ὁ Ἰωσὴφ ὑπὸ τῆς Αἰγυπτίας ὁ σώφρων εἰς ἀκολασίαν καταμαρτυρούμενος[5] καὶ Σωσαννά, ἥτις ὑπέμεινεν μάστιγας τὰς ἀπὸ «τῶν ἀνόμων πρεσβυτέρων» κακηγορίας[6]. Εἰ ⟨γ⟩οῦν τὸ μὴ διαβληθῆναι ἢ λοιδορηθῆναι οἴεται τὸ «ἀπὸ μάστιγος γλώττης κρύπτεσθαι»[7], οὐκ ἀληθὴς ὁ λόγος οὕτως ἔχων ἀληθότητα, ὅτι τὸν κατὰ Θεὸν ζῶντα οὐ δύναται ἐλεῖν κακηγορία ἢ λοιδορία μάστιξ γλώττης ὀνομαζομένη, τῆς ἀρετῆς αὐτὸν ἀπὸ τοῦ ἔνοχον τοῖς λεγομένοις ἀποδει[δη]χθῆναι καὶ κρυπτούσης. Ὁ δ' αὐτὸς οὗτος οὐδὲ κακῶν προσδοκίαν δεδίττεται κατὰ τὸν μακάριον Παῦλον λέγων· «τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ; θλῖψις ἢ στενοχωρία ἢ διωγμὸς ἢ λιμὸς ἢ γυμνό⟨τη⟩ς ἢ μάχαιρα;»[8]. Ὑπερνικᾷ γὰρ ταῦτα τῇ τῆς ἀρετῆς περιουσίᾳ. Οὐδὲν δ' ἧττον καὶ ἀπὸ σοφισμά**84**των τῆς ἐπεψευσμένης σοφίας ὁ τοιοῦτος κρυβήσεται, τοῦ Θεοῦ «τὴν βουλὴν τῶν πολυπλόκων ἐξιστῶντος»[9] ἀπὸ τῶν χρωμένων αὐτῇ· Τῷ δέ· «καὶ οὐ φοβηθήσῃ ἀπὸ κακῶν ἐρχομένων»[10] ἴσον δυνατὸν τὸ προφητικὸν οὕτως ἔχον· «ἡ θλῖψις ὑμῶν πόρρωθεν ἥξει»[11] καὶ ὅπερ οὕτω νοηθείη· τὸ ἀγαθὸν ἐξ ἡμῶν ἐστιν. Εἴρηται γάρ· «ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ὑμῶν ἐστιν»[12]. Ἔχομεν γὰρ ἐπιτηδειότητα πρὸς ἀρετήν, ἥντινα «βασιλείαν» κέκληκεν. Τὸ δ' ἐπιζήμιον καὶ κακωτικὸν ἔξωθεν ἐπέρχεται καὶ τὸ τῆς ἁμαρτίας αἶσχος. Ὁ γὰρ ἄνθρωπος «κατ' εἰκόνα»[13] Θεοῦ γενόμενος ἔχει ἐν αὐτῷ τὰ σπέρματα τοῦ καλοῦ. Παρατραπεὶς δὲ τῷ κακῷ περιτυγχάνει οὐ λαβὼν ἀφορμὰς παρὰ Θεοῦ εἰς τοῦτο.

---

1. Παρμ. 20,13. 2. Πρβλ. Ἀμ. 8,11. 3. Πρβλ. Ἰω. 4,14. 4. Ἰὼβ 5,21. 5. Πρβλ. Γεν. 39,7-9. 6. Πρβλ. Δαν. Σουσ. 36-37. 7. Πρβλ. Ἰὼβ 5,21. 8. Ρωμ. 8,35. 9. Ἰὼβ 5,13. 10. Ἰὼβ 5,21. 11. Ἡσ. 10,3. 12. Πρβλ. Λουκ. 17,21. 13. Γεν. 1,26.

«Ἀδίκων καὶ ἀνόμων καταγελάσει, ἀπὸ δὴ θηρίων ἀγρίων οὐ μὴ φοβηθῇς. Θῆρες γὰρ ἄγριοι εἰρηνεύσουσίν σοι»[1].

Σαφές ἐστιν, ὅτι περὶ τοῦ ἐκ τῆς νουθε[τη]σίας γεγενημένου δικαίου ταῦτα λέγει, ἐκ **86** τοῦ ἀδίκου καὶ ἀνόμων αὐτὸν καταγελᾶν, δηλῶν ὅτι· διαφυγὼν τὰς παρ' αὐτῶν ἐπιβουλὰς διαχλευάσεις αὐτούς πολλὰ κατὰ σοῦ βεβουλευμένους.

Τοῦτο δὲ πρὸς δικαίου οὐκ ἂν γένοιτο· οὐ γὰρ χλευαστικὸς ὁ σπουδαῖος, ἀλλὰ συμπαθὴς λέγων μᾶλλον ὡς ὁ Παῦλος· «λύ[μ]πη μοί ἐστιν μεγάλη καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου»[2], ἃ περ⟨ὶ⟩ δικαίους ἀμελεῖς ἔφασκεν. Εἰ μὴ τὸ αὐτὸ καταγελᾶν οὕτω τις ἐκλάβοι, τοῦ πράγματος γέλωτος ἀξίου τοὺς ματαίως ἐπιχειροῦντας ἀποδεικνύντος ὁ σπουδαῖος καταγελᾶν λέγεται.

Τὸ δ' «ἀπὸ θηρίων ἀγρίων οὐ μὴ φοβηθῇς»[3] καὶ τὸ ἑξῆς ἐντρεχῶς εἰρημένον οὕτως ἂν ἐξ ὧν οἱ ἅγιοι ἐπειράθησαν πλείονος σαφηνείας τύχοι. Ὧν ὅμοια ἴσως καὶ αὐτὸς ἔμαθεν γεγενημένα. Οἱ γὰρ τῷ Δανιὴλ ἐπιπεμφθέντες λέοντες οὐδὲν αὐτῷ φόβον παρέσχον πρὸς Θεὸν ἔχοντι τὰς ἐλπίδας. Ἀλλὰ καὶ εἰρήνευον πρὸς αὐτὸν ὅλως αὐτὸν ἐν μηδενὶ λυ**88**πήσαντες. Ὧν ὅμοια ἀναλέξει ὁ φιλόκαλος ἐκ τῶν Γραφῶν, ὡς τὸν ἀποθανόντα προφήτην, ὃν οὐ μόνον ⟨οὐ⟩ κατέφαγεν ὁ λέων ἀλλὰ καὶ ἐφυλάττετο οὐδὲ τοῦ ὄνου προσψαύων[4], τὰ κατὰ τὸν Ἐλισαῖον, ὃς καθάπερ βασιλεὺς τὰ ἐν τάξει θῆρας κατὰ τῶν ὑβριστῶν ἤγαγεν αὐτὸς οὐδὲν ὑπ' αὐτῶν βεβλαμμένος[5]. Σοὶ δὲ εἰρηνεύουσιν, φησίν, οἱ ὄντες τοιοῦτοι κατὰ φύσιν. Δυνατὸν δὲ καὶ ἀνθρώπους ἢ δαίμονας ἀντὶ θηρῶν λαβεῖν κατὰ τὸ εἰρημένον· «μὴ παραδῷς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι»[6]. Δῆλον γάρ, ὡς περὶ ὁρατῶν οὐ τοῦτο λέγει, ἀλλὰ οἷόν τε νοεῖν ψυχῆς ἄγρια θηρία. Ἀλλὰ καὶ «ὁ διάβολος ὡς λέων περιπατεῖ ζητῶν τίνα καταπίῃ»[7]. Καὶ πάλιν· «τὰς μύλας τῶν λεόντων συνέθλασεν Κύριος»[8]. Ἀφ' ὧν θηρίων ὁ δίκαιος ῥύεται μηδὲν τῶν βουλη**90**μάτων αὐτῶν διαπραττόμενος. Τὸ δὲ μέγεθος τῆς ἀνδρείας τῶν ἁγίων τοῦτ' ἔστιν, ὅτι χαλεπόν τι τὸ χειροῦν ταῖς ἀδικίαις πολεμοῦντας. Ὁ γὰρ Σωτὴρ δέδωκεν «ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ»[9]. Ὅτι δὲ καὶ ὁ Ἐλιφὰζ οἶδεν ἀντικειμένας ἐνεργείας παρεθέμεθα ἤδη πρὸ τούτου, ὅτε ἔλεγεν· «ἢ εἴ τινα ἁγίων ἀγγέλων ὄψῃ»[10].

«Εἶτα γνώσῃ ὅτι εἰρηνεύσει σου ὁ οἶκος, ἡ δὲ δίαιτα τῆς σκηνῆς σου οὐ μὴ ἁμάρτῃ. Γνώσῃ δὲ ὅτι πολὺ τὸ σπέρμα σου, τὰ δὲ

---

1. Ἰὼβ 5,22-23. 2. Ρωμ. 9,2. 3. Ἰὼβ 5,22. 4. Πρβλ. Γ' Βασ. 13,28. 5. Πρβλ. Δ' Βασ. 2,24. 6. Ψαλ. 73,19. 7. Α' Πέτρ. 5,8. 8. Ψαλ. 57,7. 9. Λουκ. 10,19. 10. Ἰὼβ 5,1.

τέκνα σου ἔσται ὥσπερ τὸ πανβότατον τοῦ ἀγροῦ»[1].

Ὅτο...ν διηγημ...νενυπον ....η τὴν ἀλήθειαν δι' ἱστορίας τρόπου ἀπαγγελλόμενον ...οῦμεν, εἰ τὰ οἱονεὶ ἱστορικῶς ἀπαγγελλόμενα δυνατά ἐστιν ὑπάρξαι ἡμῖν ἢ ἀσύμφορα ἢ συμφέροντα. Καὶ νῦν οὖν οἶκον τοῦ Ἰὼβ μηκέτι ἔχοντος — αὐτὸς γὰρ ἐν τοῖς ἑξῆς φησιν· «ἀπωλόμην δὲ καὶ ἔξοικος ἐγενόμην»[2] — φησὶν πρὸς αὐτὸν ἐπὶ **92** κοπρίας ἐρριμένον[3]. «Εἶτα γνώσῃ, ὅτι εἰρηνεύσει σου ⟨ὁ⟩ οἶκος»[4]. Πάλιν γὰρ τὰ περὶ αὐτὸν ἀφανισθέντα μόνης τῆς γυναικὸς ὑπολειπομένης τέκνα τε μὴ ἔχοντα αὐτὸν ἔτι ἐπιστάμενός φησιν· «γνώσῃ δὲ ὅτι πολὺ τὸ σπέρμα σου, τὰ δὲ τέκνα σου ἔσται ὡς τὸ πανβότανον τοῦ ἀγροῦ»[5]. Οὐδὲ γὰρ διέκειτο ὡς τεκνοποιοῖ ὁ οὕτω βεβλαμμένος καὶ ἀγέννητος· οὗτος γὰρ τοὺς ἰχῶρας καὶ σκώληκας ᾐσθάνετο[6]. Ποία⟨ν⟩ δὲ «δίαιτα⟨ν⟩ σκηνῆς»[7] ἔλεγεν μὴ διαμαρτεῖν τοῦ μὴ ἔχοντος ὅλως μηδὲ σκηνὴν ἀλλ' ἀπερριμ⟨μ⟩ένου; Ὅθεν γε τῆς ἱστορίας πάνυ γε βιαζομένης ἐπὶ τῶν αἰσθητῶν ἀναχωρήσεων νοερῶς μεθοδευτέον τὴν διάνοιαν, μάλιστα ὅτι ἐν τοῖς προτρέχουσιν ἐφάσκομεν μὴ ἀνηκούστους εἶναι αὐτοὺς καὶ τῆς κατὰ τρόπον διδασκαλίας· οὐ γὰρ φαῦλοι φαίνονται· ὑπὲρ ἀγνοίας γὰρ προστάττεται Ἰὼβ Θεῷ προσαγαγεῖν θυσίαν ὑπὲρ αὐτῶν[8] ..... ἁμαρτήματα ..... **94** τε δὴ καὶ φίλοι τ..... τηλικούτου ου..... καὶ ἀρετῆς δια.. .....υ τοῖς ἑπομένοις ..... γιγνώσκειν· ὡς ..... μία αἰτία τῶν ἐπαγωγῶν ὑπάρχει ἐσφάλησαν. Λέγεται οὖν ὅτι· τῶν «ἀγρίων θηρίων»[9] ὡς ἀποδέδοται «εἰρηνευόντων σοι»[10] καὶ ὁ «οἶκος» τῆς σῆς διανοίας «εἰρηνεύσει»[11] καὶ «ἡ δίαιτα τῆς σκηνῆς σου»[12], ὅπερ ἐστὶν ἡ ἐν προκοπῇ σου βελτίωσις, «οὐ διαμαρτήσεται». Πρὸς δὲ τούτοις «γνώσῃ», ὅτι ἐν λογισμοῖς ἀγαθόν σου «σπέρμα»[13] πληθύνει ἀποτελούμενον εἰς τέκνων γένεσιν καὶ γινόμενον. Ὡς «τὸ πανβότανον τοῦ ἀγροῦ»[14] διά τε τὸ ζώπυρον τῆς ἀρετῆς καὶ ἐπὶ πλεῖστον αὐξάνεσθαι. Καὶ τῷ ὄ⟨ν⟩τι ἔχομεν ἐν τοῖς θείοις γράμμασιν καὶ πρὸς ἁγίων οἶκον λεγόμενον τὴν ἕξιν, τὴν πολιτείαν, τὴν ἀρετήν, καθὰ περὶ τῶν μαιῶν τῶν Ἑβραίων ἀναγέγραπται ὅτι· «ἐπεὶ ἐφοβοῦντο αἱ μαῖαι τὸν Θεόν, ἐποίησαν αὐταῖς οἰκίας»[15], ὅπερ δηλοῖ τὴν ἐκ τοῦ φό**96**βου τοῦ Θεοῦ ἀρετὴν παρ' αὐτῶν κατασκευασμένην. Οὐδὲ γὰρ ἄοικοι ἐτύγχανον πρὸ τούτου. Καὶ τὸ ἐν Παροιμίαις λεγόμενον· «οἰκία⟨ι⟩ τῶν παρανόμων ὀφειλήσουσιν καθαρισμόν, οἰκία⟨ι⟩ δὲ δικαίων δεκταί»[16]. Οὐ γὰρ περὶ αἰσθητῶν, ἀλλὰ περὶ τῶν ἐν διανοίᾳ ἕξεων ταῦτα εἴρηται, καθάρσεως δεομένων τῶν φαύλων, τῶν

---

1. Ἰὼβ 5,24-25. 2. Ἰὼβ 6,18. 3. Πρβλ. Ἰὼβ 2,8. 4. Ἰὼβ 5,24. 5. Ἰὼβ 5,25. 6. Πρβλ. Ἰὼβ 2,8,9c. 7. Πρβλ. Ἰὼβ 5,24. 8. Πρβλ. Ἰὼβ 42,8. 9. Πρβλ. Ἰὼβ 5,23. 10. Ἔνθ' ἀν. 11. Ἰὼβ 5,24. 12. Ἔνθ' ἀν. 13. Ἰὼβ 5,25. 14. Ἔνθ' ἀν. 15. Ἐξ. 1,21. 16. Παρμ. 14,9.

δὲ ἐναρέτων δεκτῶν τυγχανόντων, τοῦ δεκτοῦ δηλοῦντος οὐ τό τινι αἱρετόν, ἀλλὰ τὸ ἄξιον ἐπαίνου· τὸ γὰρ ἀγαθὸν αἱρετόν ἐστιν κἂν μηδεὶς αὐτὸ αἱρῆται, καὶ δεκτόν ἐστιν κἂν μηδεὶς αὐτὸ δέχηται.

98 Καὶ τὸ περὶ τοῦ «φοβουμένου» δὲ «τὸν Κύριον καὶ ἐν ταῖς ἐντολαῖς αὐτοῦ σφόδρα θέλοντος»[1] εἰρημένον· «πλοῦτος καὶ δόξα ἐν τῷ οἴκῳ αὐτοῦ»[2] οὐ περὶ αἰσθητοῦ οἴκου ἢ δόξης λέγεται· πολλῶν γὰρ Θεὸν φοβουμένων οὔτε δόξαν ἀνθρωπίνην οὔτε οἶκον πλούσιον ἐχόντων ὡς Ἠλίας, ὡς Ἐλισαῖος καὶ οἱ ὅμοιοι, τοῦ «πλουτοῦντος ἐν ἔργοις ἀγαθοῖς»[3] καὶ «ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει»[4], ὡς Παῦλος γράφει, πλοῦτον καὶ δόξαν ἐν τῷ οἴκῳ τῆς διανοίας ἔχοντος καὶ τῇ πολιτείᾳ διὰ πασῶν τῶν ἀρετῶν κεκοσμημένου. Ἔτι δὲ καὶ τὸ εὐαγγέλιον σαφηνίζει τὸν τοιοῦτον οἶκον· λέγει γάρ· «ὃς ἂν ἀκούσῃ τοὺς λόγους μου καὶ ποιήσῃ, ὅμοιός ἐστιν ἀνδρὶ φρονίμῳ, ὅστις ᾠκοδόμησεν τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν, καὶ κατέβη ἡ βροχή, ἔπνευσαν οἱ ἄνεμοι, ἦλθον οἱ ποταμοί, καὶ οὐκ ἐσείσθη»[5] ἡ οἰκία, ἥτις ἐστὶν ἡ τοῦ ἐναρέτου ἕξις τοῦ τοὺς λόγους τοῦ Κυρίου εἰς ἔργα μεταβαλόντος, ὅστις ἀχείμαντος διαμένει μηδὲν ὑπὸ τῶν ἀντικειμένων **100** ἐνεργειῶν βλαπτόμενος. Ἐπὶ «τὴν πέτραν» γὰρ «τὸν Χριστὸν»[6] τὴν ἑαυτοῦ ὁ τοιοῦτος ἕξιν τε καὶ προαίρεσιν ἐθεμελίωσεν. Τῷ γὰρ ὁμολογήσαντι αὐτὸν εἴρηται ὑπ' αὐτοῦ· «σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν»[7], τοῦ ἀκούοντος τῶν λόγων ὡς ἔτυχεν καὶ μὴ συνάπτοντος πράξεις τοῖς λόγοις «ἀνδρὶ μωρῷ ὁμοιουμένου, ὃς ᾠκοδόμησεν τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν ἄμμον»[8], ὅ ἐστιν τὴν ἕξιν ἐπὶ τὰ ῥευστὰ τοῦ βίου πράγματα σπορὰς ἢ ....μο..νωσιν οὐκ ἐπιδεχόμενα. Διόπερ οὗτος ἀβέβαιος ὢν ταχεῖαν ἔχει τὴν πτῶσιν ὀλίγου σταλέντος πειρασμοῦ, ἤτοι διὰ παρ' ἄλλου διδασκαλίας ἢ διὰ περιστάσεώς τινος ὑπὸ πνεύματος πονηροῦ ἐπαγομένης. Ὁ τὸν ἐπαινετὸν οἶκον στάσιν ἑδραίαν ἔχων καθὰ Μωσῆς ἀκούσεται πρὸς τοῦ Θεοῦ· «σὺ δ' αὐτοῦ στῆθι μετ' ἐμοῦ»[9]. Καὶ περὶ αὐτοῦ ὁ Σωτὴρ λέγει· «εἰσίν τινες τῶν ὧδε ἑστηκότων, οἳ οὐ μὴ γεύσωνται θανάτου»[10]. Τοιοῦτον οὖν **102** καὶ ὁ Ἰὼβ οἶκον εἶχεν, ὃν «οἰκοδομήσας» βέβαι[αι]ον «ὁ φρόνιμος ἐπὶ τὴν πέτραν ἐθεμελίωσεν»[11]. Ὃν ἔχοντες ἐπ' ἴσης καὶ οἱ μαθηταὶ τοῦ Χριστοῦ ἀκίνητον εἶχον τὴν στάσιν τηροῦντες τοὺς ⟨σ⟩ωτηριώδεις λόγους. «Εἰρηνεύει» δ' «ὁ οἶκος»[12] τῆς διανοίας ἀσυνχύτου καὶ ἀκαμάντου μὲν οὔσης, τῆς ἀρετῆς τὴν εἰρήνην ἐργαζομένης διὰ τὸ ἀντακολουθεῖν αὐτάς· ἀσύμφωνον γὰρ οὐδὲν ἐν τῷ σπουδαίῳ.

Περὶ τῶν ἀρετῶν οἰκείως λεχθείη τὸ παροιμιῶδες· «σοφαὶ γυναῖκες ᾠκοδόμησαν οἶκον, ἡ δὲ ἄφρων κατέσκαψεν ταῖς χερσὶν

---

1. Πρβλ. Ψαλ. 111,1. 2. Ψαλ. 111,3. 3. Πρβλ. Α' Τιμ. 6,18. 4. Α' Κορ. 1,5. 5. Πρβλ. Ματθ. 7,24-25. 6. Πρβλ. Α' Κορ. 10,4. 7. Ματθ. 16,18. 8. Πρβλ. Ματθ. 7,26. 9. Δευτ. 5,31. 10. Ματθ. 16,28. 11. Πρβλ. Ματθ. 7,24. 12. Πρβλ. Ἰὼβ 5,24.

αὐτῆς»[1]. Ἡ γὰρ κακία ταχεῖαν τῶν οἰκοδομημάτων ἐργάζεται διαστροφήν. Μία μὲν οὖν ἀρετὴ πρὸς οἰκοδομὴν οἰκίας οὐκ ἔστιν αὐτάρκης. Διὰ τοῦτο πληθυντικῶς εἴρηται· «γυναῖκες ᾠκοδόμησαν οἶκον»[2]. Μία δὲ κακία πρὸς διαστροφὴν ἱκανή. Εἴρηται γοῦν· ἐάν τις πάσας τὰς δικαιοσύνας ποιήσῃ, μίαν δὲ παρανομίαν ποι⟨ή⟩σῃ, ἀθετοῦνται πᾶσαι αἱ δικαι**104**οσύναι αὐτοῦ[3]. Οὐκέτι γὰρ ἵστανται οὐδὲ παραμένουσιν μιᾶς εἰσελθούσης κακίας. Τοῦ δ' αὐτοῦ ἐναρέτου τυγχάνει «μηδὲ τὴν δίαιταν τῆς σκηνῆς αὐτοῦ διαμαρτεῖν»[4]. Εὐκτέον γὰρ προκόπτοντι, ὅπερ διὰ τῆς σκηνῆς δηλοῦται, μὴ πταῖσαι μηδὲ ἁμαρτεῖν· ἐνδέχεται γὰρ ἕως ἔτι προκόπτει, τοῦ ἐν οἴκῳ διάγοντος εἰρηνεύοντος ἤδη διὰ τὴν τελειότητα, ἐκ τοῦ προκόπτειν τοῦ καρπωσαμένου καὶ ψάλλοντος· «διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς ἕως τοῦ οἴκου τοῦ Θεοῦ»[5], ἐν ᾧ ὁ φθάσας τῷ εἰς τὴν ἀκ..ριαν τῆς ἀρετῆς ἐληλυθέναι δυσκίνητός ἐστι καὶ βεβαιότατος. Τοῦτο δηλοῦται ἐκ τοῦ· «πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ ἁμαρτίαν οὐ ποιεῖ»[6]. Καὶ τὴν αἰτίαν ἀποδιδοὺς ἐπιφέρει· «ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ μένει»[7], λέγων τὸ ποιῆσαν αὐτόν. Περὶ γὰρ τοιούτου καὶ ἐν εὐαγγελίῳ εἴρηται· «οὐδεὶς δύναται ἁρπάσαι ἐκ τῆς χειρὸς τοῦ Πατρός μου»[8]. Καὶ οὐ τοῦτο ἔφαμεν, ὡς ἀμετάπτωτός ἐστιν ὁ ἐνάρετος, ἀλλ' ὅ**106**τι .. δυσμετάπτωτός ἐστιν. Παρ' ἑαυτὸν δὲ ἔξω γένοιτο τῆς χειρὸς τοῦ Θεοῦ μεταπίπτων· «αὐτοὶ» γάρ φησιν «ἐκ τῆς χειρός σου ἀπώσθησαν»[9], ἀνάξιοι δηλονότι γεγενημένοι τοῦ φρουρεῖσθαι ὑπὸ τῆς Θεοῦ χειρός, ὅπερ Ἰούδας πέπονθεν αὐτὸς ἐξελθὼν ἐκ τῆς σκεπαζούσης τοῦ Θεοῦ χειρός. Οὐ γὰρ εἴρηκεν· οὐδεὶς ἐξελεύσεται, ἀλλ'· «οὐδεὶς δύναται ἁρπάσαι ἐκ τῆς χειρὸς τοῦ Πατρός μου»[10]. Αὐτὸς δ' ἀπωθεῖται τοὺς ἑαυτοὺς ἀποσπάσαντας πρότερον. Εἴρηται γάρ· «ἀπώσεται αὐτοὺς ὁ Θεός, ὅτι οὐκ εἰσήκουσαν αὐτοῦ»[11], τοῦ φυλαττομένου ὑπ' αὐτοῦ γιγνώσκοντ⟨ο⟩ς, ὅτι «πολὺ τὸ σπέρμα»[12] αὐτοῦ τυγχάνει. Ἀγαθὴ γὰρ γῆ ἡ τοῦ σπουδαίου διάνοια τὰς ἀπὸ τοῦ νυμφίου λόγου σπορὰς οἰκείως καὶ προθύμως δεχομένου ἢ αὐτὸς τοὺς μαθητευομένους διὰ τοῦ δοθέντος αὐτῷ λόγου κατασπειρῶν. Λέγεται δὲ πολλάκις **108** καὶ τὸ σπέρμα τέκνον· «σπέρμα Ἀβραάμ»[13] τέκνα αὐτοῦ..... οὐ πάντως τοῦ σπέρματος ἤδη καὶ τέκνου τυγχάνοντος. Τῶν γοῦν Ἰουδαίων αὐχούντων σπέρμα Ἀβραὰμ εἶναι οὐκ εἰπὼν ὁ Σωτὴρ ὅτι· ψεύδεσθε, ἐπήγαγεν· «εἰ τέκνα τοῦ Ἀβραάμ ἐστε, τὰ ἔργα τοῦ Ἀβραὰμ ποιεῖτε[14]· οὐ γὰρ πάντες οἱ ἐξ Ἰσ[δ]ραὴλ οὗτοι τοῦ Ἰσ[δ]ραήλ· οὐδ' ὅτι εἰσὶν σπέρμα τοῦ Ἀβραὰμ πάντως τέκνα»[15]. Λέγει οὖν αὐτοῖς ὡς μὴ οὖσιν Ἀβραὰμ τέκνοις· «τὰς ἐπιθυμίας τοῦ Πατρὸς ὑμῶν θέλετε ποιεῖν»[16]. Οἱ δὲ ποιοῦντες τὰς ἐπιθυμίας τοῦ διαβόλου πατέρα αὐτὸν

---

1. Παρμ. 14,1. 2. Ἔνθ' ἀν. 3. Πρβλ. Ἰεζ. 8,24. 33,13. 4. Πρβλ. Ἰὼβ 5,24. 5. Ψαλ. 41,5. 6. Α' Ἰω. 3,9. 7. Ἔνθ' ἀν. 8. Ἰω. 10,29. 9. Ψαλ. 87,6. 10. Ἰω. 10,29. 11. Ὡσ. 9,17. 12. Ἰὼβ 5,25. 13. Ἰω. 8,33. 14. Ἰω. 8,39. 15. Πρβλ. Ρωμ. 9,7. 16. Ἰω. 8,44.

ἐπιδεχόμενοι οὐκ εἰσὶν Ἀβραὰμ τέκνα. Μακάριος γὰρ ὁ σπέρμα Ἀβραὰμ τυγχάνων κατὰ τὸ τὰς ἀρετὰς τῆς θεοσεβείας ἔχειν καὶ τέκνον γενόμενος διὰ τοῦ μορφοῦσθαι καὶ μὴ ἀμβλωθρίδιον γενέσθαι ἀλλ' ἀποτίκτεσθαι. Ἔστιν δ' ὅτε καὶ ἐκ παραλλήλου τὸ σπέρμα καὶ τὸ τέκνον λέγεται ὡς καὶ ἐν τῷ νῦν ἐκτεθέντι. Τοῦ οὖν ἁγίου ἡ διάνοια, ἣν ἀ**110**γρὸν δεῖ νοεῖν, ἀναβλαστάνει γεννήματα ἀναλογοῦντα «τῷ παμβοτάνῳ τοῦ ἀγροῦ[1]» καὶ πλήθει ὑπερβάλλοντα καὶ ζωτικῇ δυνάμει, ἵν' οὕτως «ὁμοιωθῇ» κατὰ τὸ εὐαγγελικὸν οὗτος ὁ «ἄνθρωπος τῇ βασιλείᾳ τῶν οὐρανῶν» ἐν τῷ ἀγρῷ τῇ ἑαυτοῦ καρδίᾳ σπείρων[2], ἵνα καρποφορήσῃ «ἑκατόν, ἑξήκοντα, τριάκοντα»[3] κα⟨τ⟩' ἀρχὰς καὶ μέσα καὶ τελευταῖα, «σπείρων ἐν δάκρυσι», ἵνα «ἐν ἀγαλλιάσει θερίσῃ»[4] καὶ «ἐκζητῶν τὸν Κύριον, ἵνα ἔλθῃ αὐτῷ γεννήματα δικαιοσύνης»[5].

«Ἐλεύσῃ δὲ ἐν τάφῳ ὥσπερ σῖτος ὥριμος κατὰ καιρὸν θεριζόμενος ἢ ὥσπε⟨ρ⟩ θημωνιὰ ⟨ἅ⟩λωνος καθ' ὥραν συνκομισθεῖσα»[6].

Οὐδέν ἐστιν τῶν ὄντων ὃ μὴ ἔχει οἰκεῖον τέλος, κἂν ἐπὶ τέχνης λάβηται. Ἡ φύσις καὶ ἡ τέχνη τέλος ἔχει καὶ σκοπόν· φύεται γὰρ ἄμπελος διὰ τὴν ἀνθρώπου ἀπόλαυσιν εὔλογον καὶ οἰκοδομεῖται τεχνίτης εἰς τὸ τελέσαι οἰκίαν σκοπὸν ἔχων πρὸς οἴκησιν. Καὶ ἵνα μὴ πολὺς ὁ λόγος γένηται, ἐδημιουργήθη ὁ ἄνθρωπος, **112** ἵνα κατ' ἀρετὴν ζῇ. Τοῦτο αὐτὸ ὁ ὑμνῳδὸς θεωρήσας ἔλεγεν· «γνώρισόν μοι Κύριε τὸ πέρας μου καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου, τίς ἐστιν, ἵνα γνῶ τί ὑστερῶ ἐγώ»[7], ἵνα λέγῃ τοιοῦτον ἠρέμα ὅτι· διὰ τοῦτο γέγονα, ἵνα κατ' ἀρετὴν ζῶ καὶ τῆς σοφίας τῆς σῆς μετέχων πάντα καὶ λέγω τε καὶ πράττω κατ' αὐτήν. Ἐπειδὴ δὲ ἐν πολλῷ λιπόμενον ἐμαυτὸν ὁρῶ, ὅπερ διὰ μετριότητα λέγει, «τὸ πέρας μου γνώρισόν μοι»[8], μέχρι πόσου χρόνου ἐνταῦθα μένω, ἵνα σπουδάσω ἐν αὐτῷ τὰ ὑστερήματά μου ἀναπληρώσων. Κατὰ ταύτην τὴν διάνοιαν καὶ ἐν τῷ Ἐκκλησιαστῇ εἴρηται· «μὴ γίνου σκληρός, ἵνα μὴ ἀποθάνῃς ἐν οὐ καιρῷ σου»[9], ὅπερ δηλοῖ ὅτι· ἐπεὶ διὰ τὸ καρποφορεῖν ἀρετὴν γέγονας, μὴ μέλλε πρὸς αὐτήν, μήποτε ἀτελὴς ἀπέλθῃς. Ὅπερ πάλιν εὐχόμενος ὁ Δαυὶδ φησιν· «μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου»[10]. Ἀλλὰ καὶ ὁ Ἀβραὰμ εἴρηται «πρεσβύτερος καὶ πλήρης ἡμερῶν»[11]. Καὶ ἐὰν ἁπλούστερον τοῦτο λάβωμεν, **114** πολλοὶ τῶν πολλῶν τῶν πρὸ αὐτοῦ καὶ πλείονα ἔτη ἔζησαν καὶ οὔτε πρεσβύτεροι ἦκουσαν οὔτε πλήρης ἡμερῶν. Πλήρης δ' ἡμερῶν ἐστιν ὁ τοὺς φωτισμοὺς «τοῦ ἡλίου τῆς δικαιοσύνης»[12] ἀνελλι-

---

1. Πρβλ. Ἰὼβ 5,25. 2. Πρβλ. Ματθ. 13,24. 3. Πρβλ. Ματθ. 13,23. 4. Πρβλ. Ψαλ. 125,5. 5. Πρβλ. Ὡσ. 10,12. 6. Ἰὼβ 5,26. 7. Ψαλ. 38,5. 8. Πρβλ. ἔνθ' ἀν. 9. Ἐκκλ. 7,17. 10. Ψαλ. 101,25. 11. Πρβλ. Γεν. 25,8. 12. Πρβλ. Μαλ. 30,20.

πῶς λαβών. Καὶ πρε⟨σ⟩βύτερος οὗτός ἐστιν πρεσβείοις ἐκείνοις τετιμημένος, περὶ ὧν λέγεται· «γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται, πολιὰ δέ ἐστιν φρόνησις ἀνθρώποις καὶ γῆρας βίος ἀκηλίδωτος»[1]. Ἐπεὶ τοίνυν «ὁ Ἀβραὰμ ἐπίστευσεν τῷ Θεῷ» ὡς «τὴν πίστιν αὐτοῦ εἰς δικαιοσύνην λογισθῆναι»[2] καὶ «πλήρης ἡμερῶν»[3] ἦν καὶ «πρεσβύτερος»[4], εἰκότως «τ[ρ]αφεὶς ἐν γήρει καλῷ»[5] ἐκοιμήθη. Ὅτι δὲ πλήρης ἡμερῶν οὕτω νοεῖται καὶ ἐξ ἑτέρων ἔστιν βεβαιωθ⟨ῆ⟩ναι· «τίμα», φησίν, «τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς [εις] γῆς, ἣν ὁ Κύριο⟨ς⟩ δίδωσί σοι»[6]. Καὶ οὐκ ἔστιν τοῦτο ἀναντίρρητον· πολλοὶ γὰρ πολλὴν ἐνδειξάμενοι τιμὴν πρὸς γονέας ὠ**116**κύμοροι ἐτελεύτησαν καὶ ἄλλοι ἀτιμάζοντες μητέρας καὶ πατέρας πολυχρόνιοι γεγένηνται· ἀλλὰ καὶ ἐν Ψαλμοῖς λέγεται περὶ «τοῦ κατοικοῦντος ἐν βοηθείᾳ ὑψίστου»[7]· «μακρότητι ἡμερῶν ἐμπλήσω αὐτὸν καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου»[8], ὅπερ δηλοῖ τελείωσιν· οὐδὲ γὰρ τὴν ἐνταῦθα παραμονὴν ἐπὶ πλεῖστον· «ἡρπάγη» γάρ φησι, «⟨μ⟩ὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ»[9].

Ταῦτα δὲ πάντα ἡμῖν εἴρηται θέλουσιν δεῖξαι, ὅτι ἐπί τινι τέλει γίνεται τὰ γινόμενα καὶ παρὰ πολλῶν, πολλῷ δὲ πλέον ὑπὸ Θεοῦ. Καὶ ὁ Ἐλιφὰζ οὖν τοῦτο ἐπιστάμενος ἅτε ἐντρεχὴς καὶ συνετός φησιν τὰ ἐ⟨κ⟩είμενα τῇ διανοίᾳ κινούμενος τοιαύτῃ, ὅτι πράως καὶ πρὸς ἐπιστροφὴν τὴν νουθεσίαν δεξάμενος τέλος ἀγαθὸν ἕξει καὶ τίμιον, ὅπερ δηλοῦται αὐτῷ διὰ τό· «ἐλεύσῃ ἐν τάφῳ ὥσπερ σῖτος ὥριμος κατὰ καιρὸν θεριζόμενος»[10]. Χωρεῖ δὲ αὐτῷ κατ' ἀκολουθίαν ὁ λόγος ἀπὸ τοῦ· «μακάριος ἀνήρ, ὃν ἤλεγξεν Κύριος»[11], ὅτε καὶ προτρέπεται αὐτὸν **118** μὴ «ἀναίνεσθαι παντοκράτορος νουθέτημα»[12], ὡς αὐτοῦ καὶ «τύπτοντος καὶ ἰωμένου ἑξάκις τε ἀπὸ ἀναγκῶν ῥυομένου λιμοῦ καὶ πολέμου, ἀπὸ μάστιγος γλώσσης καὶ σιδήρου ἀποκρύπτοντος»[13], ἐξ οὗ συμβήσεται τοῦτον, ᾧ ταῦτα γίνεται, μὴ φοβεῖσθαι κακῶν ἐπιφορὰν καὶ τὰ ἑξῆς. Ἐφ' οἷς ἅπασιν, φησίν, τέλος ἀγαθὸν διαδέξεται καιρίως καὶ ὡρίμως καθὰ σῖτος ἐν ἅλωνι συναγόμενος. Μακάριον δέ ἐστιν σῖτον τοιοῦτον εἶναι, περὶ οὗ ὁ Σωτήρ φησιν· «τὸ καλὸν σπέρμα υἱοί τῆς βασιλείας εἰσίν»[14]. Καὶ περὶ ταὐτοῦ· «ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, πλείονα καρπὸν φέρει»[15]. Καρπὸς δὲ τούτου τοῦ κόκκου οὐκ αἰσθητὰ γεννήματά ἐστιν, ἀλλ' ἄνθρωποι «υἱοὶ βασιλείας»[16]. Μέγα ἐστὶ δὲ καὶ τὸ μὴ ἀκοῦσαι· «ἐκτίλαι σε καὶ μεταναστεύσαι σε ἀπὸ σκηνώματος καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων»[17], ἀλλ' οὕτω πληρωθῆναι ἀρετῶν ὡς ὁ πληρούμενος

---

1. Σ. Σολ. 4,8-9. 2. Πρβλ. Γεν. 15,6. Ρωμ. 4,3. Γαλ. 3,6. 3. Γεν. 25,8. 4. Πρβλ. ἔνθ' ἀν. 5. Γεν. 15,15. 6. Πρβλ. Ἐξ. 20,12. 7. Πρβλ. Ψαλ. 90,1. 8. Ψαλ. 90,16. 9. Σ. Σολ. 4,11. 10. Ἰώβ 5,26. 11. Πρβλ. Ἰώβ 5,17. 12. Ἔνθ' ἀν. 13. Πρβλ. Ἰώβ 5,18-21. 14. Ματθ. 13,38. 15. Πρβλ. Ἰω. 12,24. 16. Ματθ. 13,38. 17. Ψαλ. 51,7.

σῖτος καὶ καὶ120ρίως θεριζόμενός τε καὶ συναγόμενος. Κεῖται δ' ἐκ παραλλήλου ὁ καιρὸς καὶ ἡ ὥρα ὡς ἐν τῷ· «φυλάξετε τὸν νόμον τοῦτον κατὰ καιροὺς ὡρῶν ἀφ' ἡμερῶν εἰς ἡμέρας»[1]. Ἄμητος δ' ἐστὶν πνευματικὸς ψυχῆς τελείωσις. «Πορευόμενοι» γὰρ «ἐπορεύοντο καὶ ἔκλαιον αἴροντες τὰ σπέρματα αὐτῶν»[2], ὅπερ δηλοῖ τὴν διὰ πόνων καὶ ἀσκήσεων αὐτῶν ἀρχὴν τῆς ἀρετῆς. «Ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει αἴροντες τὰ δράγματα αὐτῶν»[3], ὅπερ σημαίνει ὡς προείρηται τὴν τελείωσιν. Τοῦτο γὰρ δηλοῖ τὸ «συνκομισθεῖσα»[4]. Ἐπ' ἀσφαλοῦς γὰρ λοιπόν ἐστιν τῷ ὄντι ὁ τέλειος. Τοῦτο καλῶς παρὰ τοῦ Σωτῆρος μανθάνομεν λέγοντος· «οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ καὶ συνάξει τὸν σῖτον εἰς ἀποθήκην, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ»[5]. Δῆλον δέ, ὡς οὐ περὶ αἰσθητῶν ταῦτα λέγεται· «ἀσβέστῳ» γὰρ «πυρὶ» ἄχυρον οὐ καίεται, ἀλλ' οὐδὲ περὶ αἰσθητῆς θημωνιᾶς φαίνεται **122** διαλαμβάνων — οὐ γὰρ ἄνθρωπος θημωνιά ἐστιν — ἀλλὰ τὴν ὡς εἴπομεν τελείωσιν καὶ πλήρωσιν. Ἔχομεν δὲ σοφῶς ἐν τῷ Ἄσματι τῶν Ἀσμάτων εἰρημένον περὶ τῆς νύμφης, ἥτις ἐστὶν ἡ Ἐκκλησία ἢ ἡ τελεία ψυχή· «ὁ ὀμφαλός σου ὡς κρατὴρ πεπληρωμένος· κρᾶμα κοιλίας σου ὡς θημωνιὰ ἅλωνός σου πεφραγμένη ἐν κρίνοις»[6]. Καὶ ὅτι ἡ ψυχὴ οὐκ ἔχει ταύτην τὴν συνήθως λεγομένην κοιλίαν δῆλον, περὶ ἧς λέγεται· «τὰ βρώματα τῇ κοιλίᾳ καὶ ἡ κοιλία τοῖς βρώμασιν»[7], ἀλλὰ ἐκείνη⟨ν⟩ περὶ ἧς γέγραπται· «τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου»[8], καί· «ἀπὸ τοῦ φόβου σου ἐν γαστρὶ ἐλάβομεν καὶ ὠδινήσαμεν καὶ ⟨τ⟩ετόκαμεν»[9]. Αὐτὴ δ' αὕτη ἡ ψυχὴ καὶ **124** «ὀμφαλὸν»[10] ἔχει τὸ τῆς διανοίας μεσαίτατον, ὅπερ κέκραται κατὰ τὸν «ὑπὸ τῆς σοφίας κερασθέντα οἶνον»[11] τὰ θεῖα νοήματα καὶ ὑπεραναβεβηκότα. Καὶ ἐπεὶ οὐχ οἷά τε ἦν ταῦτα διανοηθῆναι ἀνθρώποις, ἀνθρωπίναις λέξεσιν συνεκεράσθησαν, ἵν' οὕτως ἐφικωνται τοῦ «κράματος»[12] λαβέσθαι γυμνῶν ἀκούειν τῶν τῆς σοφίας μὴ δυνάμενοι. Δύναται δὲ καὶ τὴν ἐ[α]νανθρώ**126**πησιν δηλοῦσθαι διὰ τοῦ κρατῆρος, ἀλλὰ καὶ τῇ τ.....η λέγεσθαι ὅτι· παλαιὰν καὶ καινὴν γραφήν, ὅ ἐστιν κρατήρ, ἔχεις ἐν τῷ μεσαιτάτῳ τοῦ ἡγεμονικοῦ σου. Ἔχεις δὲ καὶ «κοιλίαν» θημωνιᾷ ἐοικυῖαν «πεφραγμένην ἐν κρίνοις»[13]. Ἐπεὶ γὰρ διὰ τοῦ χρώματος τοῦ κρίνου λευκότης μὲν ἔξωθεν, ἔσωθεν δὲ νεκρῷ χρώματι ὅμοιον ἔχει, εἴη ἂν δηλοῦν, ὅτι ἡ τελεία ψυχὴ λευκὴ κατὰ τὸν λόγον γίνεται, περὶ οὗ εἴρηται· «ἀδελφιδός μου λευκός»[14], ἐκ τῆς ἀπὸ τῆς ἀσκήσεως νεκρότητος θανατωμένη.

---

1. Ἐξ. 13,10. 2. Ψαλ. 125,6. 3. Ἔνθ' ἀν. 4. Ἰὼβ 5,26. 5. Ματθ. 3,12. 6. Πρβλ. Ἄσμ. 7,3. 7. Α' Κορ. 6,13. 8. Ψαλ. 39,9. 9. Πρβλ. Ἡσ. 26,17-18. 10. Πρβλ. Ἄσμ. 7,3. 11. Πρβλ. Παρμ. 9,2. 12. Πρβλ. Ἄσμ. 7,3. 13. Ἔνθ' ἀν. 14. Ἄσμ. 5,10.

«Ἰδοὺ ταῦτα οὕτως ἐξιχνιάσαμεν, ταῦτά ἐστιν ἃ ⟨ἀ⟩κηκόαμεν· σὺ δὲ γνῶθι σεαυτῷ εἴ τι ἔπραξας»[1].

Βεβαιοῦται τὸ προειρημένον, ὅτι συνετὸς ὢν καὶ ἐκ παλαιῶν ἴσως ἀκούσας ἁγίων, οἳ ἀγράφως θεῖα ἐπαί⟨δ⟩ευον, ἐνήγετο εἰς τ⟨ὸ⟩ λέγειν τινὰ λό128γον ἔχοντα, ὧν καὶ παραπλήσια ἐν τοῖς θείοις γράμμασιν εὑρίσκοντες παρεθέμεθα. Διὰ γὰρ τοῦ «ἐξιχνιάσαμεν»[2] τὸ συνετὸν ἑαυτοῦ ἐπιδείκνυται, διὰ δὲ τοῦ «ἀκηκόαμεν»[3] τὴν παρ' ἑτέρων παίδευσιν, εἰ μή τις λέγοι, ὅτι τὴν ἀκοὴν λέγει τὴν ὡσανεὶ ἐμπειρίαν καὶ γνῶσιν τῶν πραγμάτων. Ἔτι δὲ τῇ αὐτῇ ἑπόμενος ἀρχῇ καὶ διακείμενος, ὅτι δι' ἁμαρτίας πέπονθεν, ἐπήγαγεν· «σὺ δὲ γνῶθι σεαυτῷ εἴ τι ἔπραξας»[4], ἵνα ᾖ καὶ διὰ τούτου ἐμφαίνων ὅτι· ἐπ...ν ἃ εἶπον περὶ ἁμαρτανόντων· ἐγὼ οὐ γὰρ ἡγοῦμαι δίκαιον τιμωρεῖσθαι. Οὐκ οἶδα δὲ τὸ καθ' ἕκαστον τῶν ἁμαρτημάτων. «Σὺ δὲ γνῶθι»[5], ὅ ἐστιν ὅτι· γνοὺς μετανόησον, ὅπερ πάλιν διακειμένου ὡς περὶ ἁμαρτόντος ἦν. Μίαν γὰρ αἰτίαν τῶν ἐπαγωγῶν ᾤετο.

ΚΕΦΑΛΑΙΟΝ ΣΤ'

«Ὑπολαβὼν δὲ Ἰὼβ λέγει· εἰ γάρ τις ἱστῶν στήσαι μου τὴν ὀργήν, τὰς δὲ ὀδύνας μου ἄραι ἐν ζυγῷ ὁμοθυμαδόν, καὶ δὴ ἄμμου παραλίας **130** βαρυτέρα ἔσται»[6].

Ὥσπερ ἐκ τῶν ἄλλων πάντων οὕτω καὶ ἐκ τῶν προκειμένων τὸ μεγαλόψυχον τοῦ Ἰὼβ δείκνυται, γενναίως καὶ πάνυ γε ἀνδρείως φέροντος τὰς περιστάσεις. Πολλοὶ γάρ, ὅταν ἐν περιστατικοῖς καὶ ἀνιαροῖς γένωνται, ὡς περιττοὺς ἡγοῦνται τοὺς παρακαλοῦντας καὶ κατα .....αν αἰτιῶνται. Οὗτος δὲ παρεσκεύασται καὶ πρὸς ἀπόκρισιν .υτ.....μαυτω τῶν περιστάσεων .....ν. Λέγοι ἂν οὖν τὰ προκείμενα πρὸς τὰ ὑπὸ τοῦ Ἐλιφὰζ εἰρημένα· «νῦν δὲ ἥκει ἐπὶ σὲ πόνος καὶ ἥψατό σου, σὺ δὲ ἐσπούδασας»[7] πρὸς ἀπόδειξιν ἅμα τοῦ μὴ ἔξω τῶν ἁμαρτημάτων ταῦτα ὑφίστασθαι πρὸς τούτων καὶ μετριότητος, ὑποτιθεὶς ἑαυτὸν ἀμφιβάλλειν καίτοι τοῦ συγγραφικοῦ πνεύματος μαρτυροῦντος αὐτῷ ὡς «ἄμεμπτος»[8] εἴη. Λέγει οὖν ὅτι· εἴ τις καθάπερ ἐν ζυγῷ στῆσαι τὰ ἡμέτερα θελήσοι πταίσματα καὶ τὴν ἐπαχθεῖσαν ὀργήν, βαρυτέραν αὐτὴν εὑρήσει τῶν ἡμετέρων πταισμάτων. Ἤδει γὰρ ὁ ἅγιος ὡς οὐχ ἁμαρτιῶν **132** ἕνεκεν ταῦτα ὑφίστατο ἀλλ' ἀγωνίσματος, ὅπου γε ἐν τοῖς ἑξῆς ἔφασκεν· «οἶδα ὅτι δίκαιος ἀναφανοῦμαι»[9]. Διόπερ τοὺς φίλους ⟨ἐ⟩ναγαγεῖν εἰς τὴν τοιαύτην γνῶσιν ἐσπούδαξεν.

---

1. Ἰὼβ 5,27. 2. Ἔνθ' ἀν. 3. Ἔνθ' ἀν. 4. Ἔνθ' ἀν. 5. Ἔνθ' ἀν. 6. Ἰὼβ 6,1-3. 7. Ἰὼβ 4,5. 8. Ἰὼβ 1,1. 2,3. 9. Ἰὼβ 13,18.

Εἰ δὲ καὶ τὸ «στῆσαι»[1] τὴν παῦλαν σημαίνει, συνεπίσκεψαι. Νοηθείη δὲ καὶ οὕτως· λέγεται ζυγὸς ἐπικείμενος τῷ αὐχένι τῶν παθόντων ζῴων. Εἴη ἂν οὖν λέγων· εἴ τις ἐθέλοι σὺν ἐμοὶ ἑλκύσαι τὸν τῶν παθημάτων ζυγόν, ὥστε κουφίσαι με ⟨ἀ⟩π' αὐτῶν τῇ κοινωνίᾳ. Ἀλλ' ὅρα, μὴ τοῦτο ἀνάξιον ὂν τοῦ ἁγίου ἐπὶ τὴν πρώτην ἀπόδοσιν ἡμᾶς ἀνάγει[ν]. Παράλιον δὲ ἄμμον π⟨α⟩ρείληφεν διὰ τὸ ὑγροτέραν εἶναι.

«Ἀλλ' ὡς ἔοικεν τὰ ῥήματά μού ἐστιν φαῦλα. Βέλη γὰρ Κυρίου ἐν τῷ σώματί μού ἐστιν, ὧν ὁ θυμὸς αὐτῶν ἐκπίνει μου τὸ αἷμα· ὅταν ἄρξωμαι λαλεῖν, κεντοῦσί με»[2].

Ἐπεὶ ὁ Ἐλιφὰζ πιστοὺς λόγους τοὺς πρώτους, τοῦ Ἰὼβ δόξαντος αὐτῷ τῷ Ἐλιφὰζ ... ἐξ ἀποδυσπετήσεως εἰρῆσθαι τὰ πάντα, εἶπεν πρὸς τὸν Ἰὼβ διακείμενος, ὅτι ἁμαρτιῶν ἕνεκεν **134** πέπονθεν, φησίν· ὡς ἔοικεν, τὰ ῥήματά μου εὐτελῆ ἐστιν οὐδὲν πιστευόμενα. Ἐπάγει δὲ ἀκολούθως, διὸ αὐτῷ ἀπιστεῖ, λέγων· «βέλη γὰρ Κυρίου ἐν τῷ σώματί μού ἐστιν»[3], ἵνα ᾖ δ δηλοῖ τοιοῦτον· διὰ τοῦτο τὰ ῥήματά μου φαῦλά ἐστιν, ὅτι βέλη Κυρίου ἐπὶ τῷ σώματί μου ὑπάρχει. Εἰώθασιν γὰρ οἱ πολλοὶ τῶν ἀνθρώπων ὑπερορᾶν τὰ ⟨παρὰ⟩ τῶν ἐν περιστάσεσιν καὶ πενίᾳ πιεσθέντων λεγόμενα ῥήματα, κἂν συνετὰ ᾖ[ν]. Τοῦτο αὐτὸ δηλοῦται ἐν τῷ λογίῳ τῷ φάσκοντι· «πτωχὸς ἐλάλησ⟨ε⟩ν καὶ εἶπ⟨α⟩ν· τίς οὗτος;»[4]. Ὅτι δὲ βέλη τὰ περιστατικῶς ἐκ προνοίας πεμπόμενα λέγεται, ἔστιν ἐκ πλειόνων μαρτυρ⟨εῖ⟩σθαι· ἐν Δευτερονομίῳ Μωσῆς ἐν τῇ μεγάλῃ ᾠδῇ λέγει ἐκ προσώπου τοῦ Θεοῦ· «μεθύσω τὰ βέλη μου ἀφ' αἵματος καὶ ἡ μάχαιρά μου καταφάγεται αἷμα τραυματιῶν»[5], βέλη καὶ μάχαιρα τὰς κολάσεις λέγων. **136** Καὶ πάλιν ἐν αὐτῇ τῇ βίβλῳ λέγει· «καὶ τὰ βέλη μου συντελέσει αὐτούς»[6], τοῦ συντελέσει δηλοῦντος· πληρώσει τὰ τῆς κολάσεως. Καὶ τοῦτο δὲ ἐπὶ συμφέροντι γίνεται. Θυμὸν δὲ βελῶν ἐνταῦθα οὐ τῶν ἀψύχων, ἀλλὰ τὴν ἐπίπονον καὶ σφοδράν τε καὶ πικρὰν ἐπιφορὰν τῶν ἀνιαρῶν φησιν, ἣν ἐκπίνειν τὸ αἷμα λέγει δηλῶν, ὡς τὴν ζωτικὴν αὐτοῦ δύναμιν προσαφαιρεῖται τὰ τῆς κολάσεως. Τὸ δ' «ὅταν ἄρξωμαι λαλεῖν, κεντοῦσί με»[7] ὡς ἐν ἀπο...ς εἴη ἂν ὑποβάλλον διάνοιαν τοιαύτην· ὅτε ὁ νοῦς πρὸς τ⟨ὸ⟩ν τῶν ὅλων τέταται Θεὸν καὶ τὴν ἐκείνου θεωρίαν, τρόπον τινὰ λήθη τῶν ἀνθρωπίνων γίνεται. Ἀπὸ τῆς τοιαύτης καταστάσεως καὶ ὁ μακάριος Δαυὶδ ἔψαλλεν ὅτι· «ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου»[8], καὶ Παῦλος «ἕως τρίτου οὐρανοῦ» φησιν ⟨ἁρπαγῆναι⟩ «εἴτε ἐν σώματι οὐκ οἶδα εἴτε ἐκτὸς τοῦ σώματος οὐκ οἶδα»[9]. Ἐπειδὰν δὲ ὡς ἄνθρωποι περὶ τὰ ἐπίπονα σχολὴν ⟨οὐ⟩ βραχείαν παρασχῶσιν, τότε δὴ αὐτῶν οὐ

---

1. Ἰὼβ 6,2. 2. Ἰὼβ 6,3-4. 3. Ἰὼβ 6,4. 4. Σ. Σειρ. 13,23. 5. Πρβλ. Δευτ. 32,42. 6. Πρβλ. Δευτ. 32,23. 7. Ἰὼβ 6,4. 8. Ψαλ. 101,5. 9. Β' Κορ. 12,2.

138 μετρίως κἀθάπτεται. Τοῦτ' οὖν αὐτὸς παραιτούμενος τρόπον τινὰ παιδεύει καὶ τοὺς φίλους ἄνω ἔχειν τὸ φρόνημα καὶ μικρὰ φροντίζειν τῶν ἐπιπόνων τῇ θεωρίᾳ σχολάζοντας. Ἀκολούθως δὲ καὶ ἡ φρουροῦσα τοὺς ἁγίους δύναμις ὀλίγον ἐνδίδωσιν αὐτοῖς αἴσθησιν γενέσθαι πόνων, ἵνα οὕτως εὔλογος ἡ δόσις τοῦ στεφάνου γένηται.

«Τί γάρ; Μὴ διὰ κενῆς κεκράξεται ὄνος ἄγριος ἀλλ' ἢ τὰ σῖτα ζητῶν; Εἰ δὲ καὶ ῥήξει φωνὴν βοῦς ἐπὶ φάτνης ἔχων τὰ βρώματα; Εἰ βρωθήσεται ἄρτος ἄνευ ἁλός; Εἰ δὲ καὶ ἔστιν γεῦσις ἐν ῥήμασι κενοῖς; Οὐ δύναται γὰρ παύσασθαί μου ἡ ψυχή· βρόμον γὰρ ὁρῶ τὰ σῖτά μου ὥσπερ ὀσμὴν λέοντος»[1].

Πρὸς τὴν παρ' ἐκείνου γεγενημένην αὐτῷ οἷον ἐπίπληξιν ἐπὶ τῶν λόγων τῶν εἰρημένων ὑπὸ τοῦ Ἰὼβ αὐτὸς λέγει ὡς ἐρώτησιν προσάγων, ἵνα ἐξ ὧν ἀποκρίνεται μηκέτι μέμφηται τὸν διὰ τὰ ἐπίπονα βοῶντα καίτοι τοῦ Ἰὼβ οὐδὲν ἀποδυσπετήσεως **140** εἰπόντος. Ἐρωτᾷ· «τί οὖν; Μηδὲ διὰ κενῆς κεκράξεται ὄνος ἄγριος ἀλλ' ἢ τὰ σῖτα ζητῶν;»[2], ὅ ἐστιν· μὴ ματαίως φωνὴν ἀφίησιν ἐνδεόμενος τροφῆς ὄνος ἄγριος; Ἀλλ' οὐδὲ ὁ βοῦς κράζει ἐπὶ τῆς φάτνης τῶν βρωμάτων κειμένων. Ὥστε μηδ' ἐμὲ αἰτιῶ, εἰ κράζω κατὰ τὴν σὴν ὑπόληψιν διὰ τὰ ἀνιαρ⟨ὰ⟩ φύσεως ἀσθενοῦς ὑπαρχούσης, ἵνα ἢ ἄγων αὐτὸν εἰς συμπάθειαν πρὸς τὸ μὴ μέμφεσθαι τὸν ὀδυνώμενον εἰ κράζει· οὐ γὰρ ἀναίσθητον εἶναι δεῖ τὸν ἅγιον, κἂν καρτερῶς φέρῃ τὰ θλίβοντα· αὕτη γὰρ ἀρετή ἐστιν, ὅταν αἴσθησιν τῶν ἐπιπόνων δεχόμενός τις ὑπερφρονεῖ τῶν ἀλγηδόνων διὰ Θεόν. Τὸ δ' ἑξῆς· «εἰ βρωθήσεται ἄρτος ἄνευ ἁλὸς»[3] παρεμβεβλημένον ὑπὸ τοῦ μακαρίου καὶ διὰ τοῦτο ἀσαφίαν ἐργασάμενον εἴη ἂν κατ' ἡμετέραν δύναμιν τοιοῦτο· οὐ δύναται ὠφελία ψυχῆς καὶ τροφὴ ταύτης ὑπάρξαι μὴ πόνου καὶ θλίψεως γεγενημένου. Τούτῳ ὅμοιον τό· «διὰ πολλῶν θλίψεων δεῖ ὑμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν **142** οὐρανῶν»[4], ἵν' ᾖ ὁ μὲν ἄρτος δηλῶν τὴν ὠφελίαν, τὸ δ' ἅλας τὸν πόνον, οὗ χωρὶς ἀρετὴν κατορθωθῆναι ἀδύνατον. Ἀπὸ τῆς αὐτῆς διανοίας καὶ τό· «εἰ δὲ καὶ ἔστιν γεῦσις ἐν ῥήμασι κενοῖς;»[5]. Ἅπας λόγος πράξεως ἐστερημένος ⟨ἐ⟩ναρέτου μάταιός ἐστιν καὶ κενός. Τούτου παραστατικόν ἐστιν τό· «οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τοῦ Θεοῦ, ἀλλ' ἐν δυνάμει»[6]. Οὐκ ἐν διακένοις ὑποσχέσεσιν, ἀλλ' ἐν λόγῳ ἐνεργεῖ τὰ τῆς σωτηρίας ὑπάρχει. Μὴ τοίνυν ἐμὲ νομίζετε διακένους προφέρειν λόγους μηδὲ ὑμεῖς, ὦ φίλοι, τοῦτο ζηλοῦτε. Διὰ γὰρ τοῦτο,ἐπεὶ οὐδὲν κενὸν ἐμοὶ καὶ μάταιον πέπρακται, «οὐ δύναταί μου παύσασθαι ἡ ψυχὴ»[7] τοῦ τόνου τοῦ πρὸς τὸν ἀντίπα-

---

1. Ἰὼβ 6,5-7. 2. Ἰὼβ 6,5. 3. Ἰὼβ 6,6. 4. Πρβλ. Πράξ. 14,22. 5. Πρβλ. Ἰὼβ 6,6. 6. Α' Κορ. 4,20. 7. Ἰὼβ 6,7.

λον· σκοπὸς γάρ μοί ἐστιν οὐ κενός, ἀλλ' ἐλπίδα σωτήριον ἔχων. Εἰ γὰρ τὰ σῖτα τὰ ἡμέτερα καὶ διὰ τὸ δυσῶδες τοῦ τραύματος βρόμου λέοντος πεπλήρωται, οὐ παύσεταί μου ἡ ψυχή. Οὐδὲν γὰρ «ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ, θλῖψις ἢ στενοχωρία ἢ διωγμὸς ἢ λιμὸς»[1] καὶ τὰ ἑξῆς. Πάντες γὰρ ἅγι**144**οι ἐν Παύλῳ ἀναβοῶσιν. Εἰ δὲ καὶ τὴν τοῦ διαβόλου κατ' αὐτοῦ ἔνστασιν ἐμποδίζειν αὐτοῦ τὴν ἀρετὴν βουλομένου σημαίνοι διὰ τὸν βρόμον εἰ⟨ωθ⟩ότα σῖτα αὐτοῦ ὑπάρχειν, συνεπίσκεψαι.

«Εἰ γὰρ δῴη καὶ ἔλθῃ μου ἡ αἴτησις καὶ τὴν ἐλπίδα μου δῴη ὁ Κύριος. Ἀρξάμενος ὁ Κύριος τρωσάτω με, εἰς τέλος δὲ μή με ἀνελέτω»[2].

Ὁ τρῶσιν καθ' ἑαυτοῦ αἰτούμενος οὐκ ἀποκάμνων τὴν αἴτησιν ἑαυτοῦ ἐλθεῖν εὔχεται, ἀλλὰ τὸ⟨ν⟩ ἴδιον ἀποπληρωθῆναι σκοπόν. Ἦν δὲ οὗτος τὸ πέρας τοῦ κατορθώματος ἀνύσαι ἢ καὶ φανῆναι τοῖς φίλοις διὰ τὴν αὐτῶν ὠφελίαν τὴν αἰτίαν τῶν πόνων, ὅτι ἀγωνίσματος χάριν ἐπήχθησαν. Οὕτω γὰρ ἂν οὐδὲ εἰς τὸν δίκαιον ἡμάρτανον, ἀλλὰ καὶ ζῆλον θεῖον ἐδέχοντο μιμήσασθαι σπεύδοντες ὑπομονὴν καὶ ἀνδρείαν τῷ ἁγίῳ κατορθουμένην, δι' ἣν καὶ ἔλεγεν· «εἰ γὰρ δῴη»[3] — ἀντὶ τοῦ· εἴθε γὰρ δῴη Κύριος — «καὶ ἔλθῃ μου ἡ αἴτησις, καὶ τὴν ἐλπίδα μου δῴη ὁ Κύριος». Δι' ἀμφότερα γὰρ εὔχεται, ἵνα **146** καὶ αὐτὸς τὸν στέφανον τοῦ ἀγῶνος δέξηται κἀκεῖνοι μὴ ματαίαν τὴν ὑπομονὴν τῶν ἐπιπόνων νομίσωσιν. Ἰδεῖν δὲ αὐτοῦ ἔστιν καὶ θαυμάσαι τὸ καὶ ἐν τοῖς τηλικούτοις πόνοις ἀνδρεῖον, ὅτι πρῶτον μὲν οὐκ ἀπείρηκεν τὴν πρὸς τὸν φίλον ἀπόκρισιν ἔχων πρόφασιν τὴν περὶ τοὺς πόνους σχολήν, ἀλλὰ καὶ πάλιν καθάπερ γενναῖος ἀθλητὴς [φησιν] πολεμικῶς κατὰ τοῦ ἀντικειμένου ἱστάμενος καὶ εἰδώς, ὅτι οὐ χωρὶς τῆς ἐκ Θεοῦ συνχωρήσεως γέγονεν ἡ κατ' αὐτοῦ ἐπαγωγή, φησίν· «ἀρξάμενος ὁ Κύριος τρωσάτω με, μόνον μὴ εἰς τέλος ἀνελέτω με»[4], ἀντὶ τοῦ· τὴν ἔκβασιν τῶν θλίψεων ὑπενεγκεῖν χαρισάσθω. Τούτῳ ὅμοιόν ἐστιν τό· «καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν»[5], ὅπερ ἑρμηνεύεται πολλάκις ἀντὶ τοῦ· μὴ ὑποπεσεῖν τοῖς ἀπατῶσιν ἐνγένηται. Ὅρα δὲ καὶ τὴν θείαν πληροφορίαν. Ὅτι ἔλθει τὰ τῆς εὐχῆς ἐλπίζει, οὐ παντὸς εἰδότος, εἰ συμφερόντως εὔχεται, ἢ μόνον τῶν ἁγίων. Κατὰ τὸ βού**148**λημα τοῦ Θεοῦ ζῶντες δέχονται καὶ «πληροφορίαν τῆς ἐλπίδος»[6]. Ὅτι δὲ οὐ περὶ τῆς ζωῆς τῆς ἐνταῦθα φοβούμενος λέγει τό· «εἰς τέλος δὲ μή με ἀνελέτω»[7], σαφὲς ἐκ τοῦ εἰρηκέναι αὐτόν· «θάνατος ἀνδρὶ ἀνάπαυσις»[8]. Αἰσθητικὸς ὢν οὖν ὁ ἅγιος τρῶσιν ὑπὸ Θεοῦ ἐκδέχεται παιδευτὴν αὐτὸν ἄριστον ἐπιστάμενος οὐχ ὡς κολαστέος, ἀλλ' ὡς δοκίμιον ἐξαιτούμενος, καθὸ

---

1. Ρωμ. 8,35. 2. Ἰὼβ 6,8-9. 3. Ἰὼβ 6,8. 4. Πρβλ. Ἰὼβ 6,9. 5. Ματθ. 6,13. Λουκ. 11,4. 6. Ἑβρ. 6,11. 7. Ἰὼβ 6,9. 8. Ἰὼβ 3,23.

ὁ ψαλμῳδός φησιν· «δοκίμασόν με Κύριε καὶ πείρασόν με»[1], καὶ τὸ παροιμιῶδες δὲ λόγιον· «μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται»[2]. Τοῦτο δὲ γίνεται, ἵνα μὴ κολαστέος γένηται οὐ συνεπαισθηθεὶς τῇ παιδεύσει. Οὐ γὰρ παραιτεῖται ἔλεγχον ὁ ἅγιος ὅλον αὑτὸν τῷ Θεῷ ἐκδούς, «εἰδὼς ὅτι ⟨ἡ θλῖψις ὑπομονὴν κατεργάζεται,⟩ ⟨ἡ δὲ ὑπομονὴ δοκιμήν,⟩ ἡ δοκιμὴ ἐλπί⟨δ⟩α[3]· ἡ δὲ ἐλπὶς οὐ καταισχύνει»[4].

«Εἴη δέ μου πόλις τάφος, ἐφ' ἧς ἐπὶ τει-⟨χ⟩έων ἡλλόμην ἐπ' αὐτῆς, οὐ μὴ φείσωμαι»[5].

Ὁ τῶν ἀνθρωπίνων ἁπάντων δοξῶν τε καὶ πολιτειῶν καὶ τῶν ὁμοίων **150** καταφρονήσας «σκύβαλα» τὰ πάντα διὰ τὴ⟨ν⟩ σωτήριον ἐλπίδα «ἡγούμενος»[6] τὰς πολιτικὰς δόξας «τάφον»[7] οἴεται ἀποθανὼν αὐταῖς ὡς Παῦλος ὁ λέγων· «ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός»[8]. Ἐπὶ γὰρ ταύτας τὰς ἀνθρωπίνας δόξας μεγάλα κομπάζοντες καθάπερ ἐπὶ τειχέων ἁλλόμενοι οἱ μοχθηροὶ ἐπιπηδῶσιν, εἰ καὶ μὴ ὁ ἅγιος. Δῆλον γάρ, ὅτι τῷ ἀνθρωπίνῳ προσώπῳ ταῦτα προσάπτων εἴρηκεν. Μετριόφρων γὰρ εἰ καί τις ἄλλος ὁ μακάριος, «ἄμεμπτος»[9] μαρτυρηθεὶς εἶναι καὶ «δίκαιος»[10]. Εἴη δὲ καὶ ταῦτα λέγων ὅτι· εἰ καὶ καθάπερ εὖ τετειχισμένη πόλις ἐτύγχαν⟨ο⟩ν πλούτῳ καὶ δόξῃ καμών, ἀλλά ⟨γ⟩ε ἐμοὶ ταῦτα τέθνηκεν οὐ βαρείαν αὐτῶν τὴν στέρησιν λογιζομένῳ. Διὸ καὶ οὐ φείδομαι τούτων. Ὅλως αὐτῶν μηδένα πόθον ἔχω τεθνηκὼς αὐτοῖς, ἐξ οὗ ζῶ ζωὴν μακαρίαν. Καλὸν γὰρ «ἀποθνήσκειν τῇ ἁμαρτίᾳ»[11], ἵνα τῷ Θεῷ ζήσωμεν καὶ μὴ καθάπερ ἡ «σπαταλῶσα χήρα»[12] ζῶντες θανάτῳ τῆς ἁμαρτίας παραδοθῶ**152**μεν[13].

«Οὐ γὰρ ἐψευσάμην ῥήματα ἅγια Θεοῦ μου»[14].

Διὰ τοῦτο πάντα τὰ ἀνθρώπινα τάφον ἡγοῦμαι τεθνηκὼς αὐτοῖς, ἐπεὶ οὐκ ἐψευσάμην τὰ τοῦ Θεοῦ ἅγια ῥήματα, ἤτοι διὰ τὸ ⟨ἐν⟩ μηδενὶ πταῖσαι[15] ἀλλὰ «δίκαιος»[16] εἶναι — τοῦτο λέγει κατὰ τὸν λέγοντα· «οὐδὲν ἐμαυτῷ σύνοιδα»[17] — ἢ ὅτι τὰ εἰρημένα ἐν μαρτυρίας μέρει πρὸς τοῦ Θεοῦ οὐ ψευδῆ ἔδειξεν καθὸ εἴρηται περὶ αὐτοῦ· «καὶ οὐκ ἔδωκεν ἀφροσύνην Θεῷ»[18]. Τοῖς γὰρ λόγοις τοῦ Θεοῦ τοῖς μαρτυροῦσιν αὐτῷ τὸ ἐν ἀρετῇ ὂν ὁ τρόπος αὐτοῦ σύμφωνος εὑρίσκετο. Διόπερ καὶ τὰς ἐναρέτους ἑαυτοῦ πράξεις τοῦ Θεοῦ λέγει κατὰ τὸν λέγοντα· «οὐκ ἐγὼ δέ, ἀλλὰ ἡ χάρις τοῦ Θεοῦ σὺν ἐμοί»[19]. Δεικτικὸν δὲ καὶ πρὸς τοῦ Θεοῦ πεπαιδεῦσθαι αὐτὸν τὸ λέγειν· «οὐ γὰρ ἐψευσάμην ῥήματα ἅγια Θεοῦ

---

1. Ψαλ. 25,2. 2. Παρμ. 3,12. 3. Πρβλ. Ρωμ. 5,3-4. 4. Ρωμ. 5,5. 5. Ἰὼβ 6,10. 6. Πρβλ. Φιλιπ. 3,8. 7. Πρβλ. Ἰὼβ 6,10. 8. Γαλ. 2,20. 9. Ἰὼβ 1,1,8. 2,3. 10. Ἰὼβ 1,1. 11. Πρβλ. Ρωμ. 6,2. 12. Πρβλ. Α΄ Τιμ. 5,6. 13. Πρβλ. Β΄ Κορ. 4,11. 14. Ἰὼβ 6,10. 15. Πρβλ. Ἰὼβ 1,8. 2,3. 16. Ἰὼβ 1,1. 17. Α΄ Κορ. 4,4. 18. Ἰὼβ 1,22. 19. Α΄ Κορ. 15,10.

μου»[1]. Οὐδὲν δ' ἧττον καὶ ἄτυφος φαίνεται ἐκ τοῦ Θεοῦ ἐνεργῶς δεικνύς τό· «ἐπὶ δὲ σῇ σοφίᾳ μὴ ἐπαίρου»[2]. Θεοῦ γὰρ τὰ πάντα ὁμολογεῖ. Χρήσιμον γὰρ τὸ μὴ ἐφ' ἑαυτῷ βάλλεσθαι, ὅπερ πάλι⟨ν⟩ παραινεῖ λόγος θεῖος· «μὴ καυχάσθω ὁ σοφὸς ἐν **154** τῇ σοφίᾳ αὐτοῦ μηδὲ ὁ ἰσχυρὸς ἐν τῇ ἰσχύι αὐτοῦ μηδὲ ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ, ἀλλ' ἢ ἐν τούτῳ καυχάσθω ⟨ὁ⟩ καυχώμενος τοῦ συνίειν καὶ γιγνώσκειν τὸν Κύριον»[3]. Ἔχομεν παραδείγματα ἐν ταῖς Γραφαῖς τῶν ἀσυνέτως καυχωμένων καὶ ἐφ' ἑαυτοῖς πεποιθότων ⟨Γ⟩ολιὰδ καὶ Φαραώ, οἵτινες οὐχ ἅπερ ἤλπισαν πεπό⟨ν⟩θασιν «⟨σ⟩βεσθείσης αὐτῶν τῆς ὑπερηφανίας»[4]. «Εἶναι φάσκοντες» δὲ «σοφοὶ μωραίνονται»[5] κατὰ τὸ λόγιον. Ἀλλὰ καὶ περὶ τῶν πλούτῳ ἀλαζονευομένων λέγεται· «μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος καὶ ὅταν πληθυνθῇ ἡ δόξα το⟨ῦ⟩ οἴκου αὐτοῦ, ὅτι οὐκ ἐν τῷ ἀποθνῄσκειν αὐτὸν λήμψεται τὰ πάντα»[6]. Ἢ γὰρ αὐτὸς αὐτὰ καταλείψει ἢ αὐτὰ αὐτὸν μεταβολῆς γεγενημένης. Ἀλλὰ ὁ ἅγιος οὐδὲν ἐφ' ἑαυτῷ βαλλόμενος Θεῷ πάντα ἀνατίθησιν.

156 «Τίς γάρ μου ἡ ἰσχύς, ὅτι ὑπομένω; Ἢ τίς μου ὁ χρόνος, ὅτι ἀνέχεταί μου ἡ ψυχή; Μὴ ἰσχὺς λίθων ἡ ἰσχύς μου; Ἢ αἱ σάρκες μού εἰσιν χάλκειαι; Ἢ οὐκ ἐπ' αὐτῷ ἐπεποίθειν; Βοήθεια δὲ ἀπ' ἐμοῦ ἄπεστιν. Ἀπείπατό με ἔλεος, ἐπισκοπὴ δὲ Κυρίου ⟨ὑ⟩περεῖδέν με»[7].

Παιδεῦσαι τοὺς φίλους ἀγαπητικὸς ὢν βούλεται, ὡς οὐ διά τι ἀνθρώπινον τὴν τοσαύτην ἐπιφορὰν τῶν ἀνιαρῶν ὑπομένει, καὶ παραστῆσαι αὐτῷ ὅτι· εἰ μὴ λογισμῷ θείῳ, ὅσον ἦκεν εἰς ἀνθρωπίνην ἀσθένειαν, οὐκ ἂν [οὐκ] ἀνήνεγκα ταῦτα — διὰ ποίαν γάρ, φησίν, ἰσχὺν ταῦτα ὑπομένω λογίσασθε, ἢ διὰ ποῖον χρόνον βιῶσαι δυνήσομαι ταῦτα ὑφιστάμ⟨ενος⟩. Ἡ ἰσχὺς δέ μοι ἢ λίθου ἐστὶν ἢ χαλκείας ἔχω τὰς σάρκας, ὥστε μὴ ἐπαισθάνεσθαι τὸν πόνον αὐτοῖς; — ἵνα μὴ περὶ ἀναισθήτου διακείμενοι εὐτελίζωσι τὴν καρτερίαν. Εἰσὶ γὰρ οἱ καὶ περὶ τῶν μαρτύρων διανοούμενοι, ὅτι τῶν ἀλγηδόνων οὐκ ἐπαισθάνονται, ὅπερ παραιρεῖται αὐτῶν τὴν ἀρετήν. Ἀλλὰ κἀκεῖνα αὐ**158**τοῖς ἐνθεῖναι τῇ διανοίᾳ βούλεται, ὅτι οὐ δι' ἁμαρτίας πάσχει, λέγων· «ἢ οὐκ ἐπ' αὐτῷ ἐπεποίθειν;»[8] πρὸς δὲ τούτοις ἠρέμα καὶ τὴν ἀπὸ Θεοῦ συνχώρησιν αἰνιττόμενος ἐπάγει· «βοήθεια δὲ ἄπεστιν. Ἀπείπατό με ἔλεος, ἐπισκοπὴ δὲ Κυρίου ὑπερεῖδέν με»[9], ἵν' ἐκ τούτων κατανοήσωσιν, ὅτι καὶ ταῦτα συνειδὼς εἰς ἑαυτὸν γεγενημένα ὁ ἅγιος φέρει γενναίως ἱστάμενος πρὸς τὸν ἐξαιτησάμενον, πεπιστευκώς, ὅτι εἰ καὶ ἔπαισεν

---

1. Ἰὼβ 6,10. 2. Παρμ. 3,5. 3. Α' Βασ. 2,10. Πρβλ. Ἱερ. 9,22-23. 4. Πρβλ. Ἰὼβ 40,12. 5. Πρβλ. Ρωμ. 1,22. 6. Ψαλ. 48,17-18. 7. Ἰὼβ 6,11-14. 8. Ἰὼβ 6,13. 9. Ἰὼβ 6,13-14.

αὐτὸν Κύριος συνχωρήσας τῷ ἐξαιτήσαντι, ἀλλ' ἐπαμύνει καρτερήσαντι. Τοιοῦτον γὰρ καὶ ὁ μακάριος Δαυὶδ ψάλλει λέγων· «ὑπομένων ὑ(πέ)μεινα τὸν Κύριον, καὶ προσέσχεν μοι»[1]. Δυνατὸν δὲ καὶ τὴν αὐτῶν ἐλέγχοντα διάληψιν ταῦτα λέγειν ὅτι· ὑμεῖς οὕτω νομίζετε, ὅτι καὶ ἡ βοήθεια καὶ ἡ ἐπισκοπὴ Κυρίου ὑπερεῖδέν με. Αὐτὸς οἶδεν, ὅτι τούτῳ Θεὸς δοκιμασίας χάριν αὐτὸν παρέδωκεν, ὡς «μακάριος ἀνὴρ ὃς ὑπομένει πειρασμόν, ὅτι δόκιμος γενάμενος λήμψεται τὸν στέφανον τῆς ζωῆς, ὃν ἐπηγ**160**γείλατο τοῖς ἀγαπῶσιν αὐτόν»[2].

«Οὐ προσεῖδόν με οἱ ἐγγύτατοί μου, ὥσπερ χειμάρρους ἐκλείπων ἢ ὥσπερ κῦμα παρῆλθόν με»[3].

Καὶ τοῦτο αὐτῷ πρὸς δοκιμασίαν συνέβαινεν· οὐ γὰρ μικρὰ ἀνία ἐν τοῖς θλιβηροῖς ἀπουσία τῶν φίλων. Ταύτην ὑπομένων τὴν θλῖψιν καὶ Δαυὶδ ὁ ἅγιος ἔψαλλεν· «κατενόουν εἰς τὰ δεξιὰ καὶ ἐπέβλεπον, καὶ οὐκ ἦν ὁ ἐπιγιγνώσκων με»[4]. Εἰ δὲ καὶ τὰς ἀοράτους δυνάμεις ἁγίας διὰ τὸ τὴν ἀρετὴν αὐτοῦ μεγάλην φανῆναι ὀλίγον παρελθούσας αὐτὸν δηλοῖ, συνεπίσκεψαι· συντρέχει γὰρ αὕτη ἡ διάνοια τῇ ἀποδοθείσῃ εἰς τό· «ἐπισκοπὴ δὲ Κυρίου ὑπερεῖδέν με»[5]. Ὡς γὰρ ὁ τῶν ὅλων Κύριος οὐ μισῶν οὐκ ἐπεσκέπτετο αὐτόν, ἀλλὰ πρὸς τὸ δεῖξαι τῷ ἀντικειμένῳ, ὅτι πρὸς ἀνθρώπου ἀρετὴν ἡ κακία αὐτοῦ οὐ δύναται, οὕτω μήποτε καὶ αἱ θεῖαι δυνάμεις, τὸ βούλημα τοῦ Θεοῦ ἀξιωθεῖσαι εἰδέναι τὸ περὶ τὸν Ἰὼβ συνχωρῆσαι τὸν ἀγῶνα γενέσθαι, ἵνα λαμπρότερον τοῦ μακαρίου φανῇ τὸ κατόρθωμα.

162 «Οἵτινές με διευλαβοῦντο, νῦν ἐπιπεπτώκασίν μοι»[6].

Ἡρέμα μὲν ἴσως τούτους ἐλέγχει ⟨ὅτι⟩· ἀγνοοῦντες τὴν αἰτίαν τῶν ἐπαγωγῶν ἐπιβαίνετέ μοι τολμῶντες τοιαῦτα λέγειν, ἃ πρότερον οὐκ εἰρήκατε. Εἰκὸς δ', ὅτι καὶ πολλοὶ τῶν ἄλλων διὰ τὸ πάθος κατεφρόνουν αὐτοῦ, καὶ τοῦτο τοῦ ἐξαιτησαμένου ὑποβάλλοντος. Ὅρα δέ, μὴ ὥσπερ ἀποδεδώκαμεν τὰς θείας δυνάμεις ὀλίγου αὐτὸν παρελθεῖν ἵνα γνωσθῇ αὐτοῦ ἡ ἀρετή, οὕτω συνεχωρήθησαν τῶν ἐναντίων δυνάμεων καὶ ἄλλαι ἐπιπηδᾶν αὐτῷ καὶ προσπολεμεῖν.

«Ὥσπερ χιὼν ἢ κρύσταλλος πεπηγώς, καθὼς ταχεῖσα θέρμης γενομένης οὐκ ἐπεγνώσθη ὅπερ ἦν, οὕτω κἀγὼ κατελείφθην ὑπὸ πάντων. Ἀπωλόμην δὲ καὶ ἔξοικος ἐγενόμην»[7].

Ὑπερβάτως εἴρηται τό· «ὥσπερ χιὼν ἢ κρύσταλλος πεπηγώς,

---

1. Ψαλ. 39,2. 2. Ἰακ. 1,12. 3. Ἰὼβ 6,15. 4. Ψαλ. 141,5. 5. Ἰὼβ 6,14. 6. Ἰὼβ 6,16. 7. Ἰὼβ 6,16-18.

καθὼς τακεῖσα»[1], οὕτως ἀποδιδόμενον· καθὼς τακεῖσα χιὼν ἢ κρύσταλλος. Οἰκεῖον δὲ καὶ τὸ πα**164**ράδειγμα πρὸς τὴν ὑπερβολὴν τῆς μεταβολῆς αὐτοῦ ἄγνωστον αὐτὸν παντελῆ ποιούσης κατὰ τὴν χιόνα ἢ κρύσταλλον τὴν ἀπὸ διακαύσεως διαλυομένην καὶ οὕτως ἄγνωστον ποιοῦσαν τὸν τόπον ὅπου ἐτύγχανεν. Εὖ δὲ καὶ τὸ τοιούτῳ χρήσασθαι παραδείγματι· καθὼς ἡ χιὼν καὶ κρύσταλλος ἀδιάκρ⟨ιτ⟩ον ποιοῦσι τὸν τόπον ὑπὸ θέρμης διαλυόμενα, οὕτω καὶ φίλος δοκῶν εἶναι πειρασμῶν ἐνστάντων φανεροῦται, καὶ ὅπερ πρὸ τούτου ἔκρυπτεν, φανερὸν καθίστησιν. Ἐνστάντος θλιβηροῦ καιροῦ ἀντικειμένω⟨ν⟩ δὲ τῶν σχηματιζομένων φίλων εἶναι οἱ ἅγιοι ἔχουσι ⟨βεβαιότητα, πρὸς τοὺς ἀγαπωμένους ἔχοντες καὶ ἐν ἀνέσει καὶ ἐν περιστάσει τοῦτον τὸν ὅρον τῆς φιλίας ἀδιάστροφον φυλάττοντες. Καὶ οὐ θαῦμα, ὅπου γε καὶ πρὸς τοὺς ἐχθροὺς τὴν ἀγάπην ἐκτείνουσι,⟩ μετὰ τῶν μισούντων τὴν εἰρήνην εἰρηνικοὶ ὄντες, κατὰ τὸ ὑπὸ Κυρίου διὰ τοῦ προφήτου **166** λεγόμενον· «εἴπατε, ἀδελφοὶ ἡμῶν, τοῖς μισοῦσιν ὑμᾶς, ἵνα τὸ ὄνομα Κυρίου δοξασθῇ, αὐτοὶ δὲ αἰσχυνθήσονται»[2]. Ἅπαξ δὲ ἐπεὶ περὶ φιλίας ὁ λόγος τὴν ἀρχὴν ἐδέξατο, ἀκόλουθον τὰς διαφορὰς διαγνῶναι τῆς φιλίας. Ἡ μὲν οὖν τίς ἐστιν ἡ δι' αὐτὸ τὸ καλόν, ἣν καὶ ἅγιοι κατορθοῦσιν, ἡ δέ τις διὰ τὸ χρήσιμον, οἷον ὅταν τις φέρε ἰατροῦ φίλος ὑπάρχῃ δι' αὐτὸ τοῦτο. Αὕτη δ' ἡ φιλία εἰ καὶ μὴ τελεία ἐστίν, ἀλλὰ γοῦν οὐκ ἔχει τὸ ψεκτὸν ἀνθρωπίνη τις ὑπάρχουσα. Ἑτέρα δὲ εἰ μὴ διὰ τὸ ἡδύ, οὗ μηκέτι ὑπάρχοντος μηδ' ὁ φίλος ἔστιν, καὶ διὰ φιλοδοξίαν, ἵνα δοκῶσι τοῖς πολλοῖς μειζόνων εἶναι φίλοι αὐτοὶ οὐδὲν προσφέροντες εἰς φιλοτιμίαν ἐκείνων. Εἰ δὲ καὶ ὁ διὰ τὸ χρήσι**168**μον αἱρούμενος φίλον ἀβεβαιότατος κατὰ τὸ μηκέτι ητ.. ηδ..ς .... χρείας ὑπαρχούσης ἀντιποιεῖσθαι φιλίας ἐξα⟨λ⟩άττων κατὰ τοῦτο, προαιρεῖται τὰ χρήσιμα πρὸ τῶν ἡδέων, ἃ καὶ ὑπὸ μέμψιν ἐστίν. Εἰς τὴν ὄντως φιλίαν προτρέπων ὁ λόγος φησίν· «φίλον σὸν καὶ φίλον πατρῷον μὴ ἐγκαταλίπῃς»[3]. «Ὁ γὰρ πρόσφατος οὐκ ἔστιν ὅμοιος αὐτῷ»[4]. Πρόσφατον λέγω τὸν ἀβέβαιον, «ἀρχαῖον»[5], ἢ πατρῷον τὸν ἔχοντα βεβαιότητα, ἄλλως τε καὶ εἰ καὶ κατὰ χρόνον λαμβάνοις .... τ.ς ὁ διὰ πείρας ἐλθὼν ἀμελεῖ τοῦ προσφάτου· ὁ γὰρ τὰς καρδίας ὄντως ἐπιστάμενος ἐκ τῆς πείρας.. ὡς ποιεῖται τὴν ἐπίκρισιν. Τὸ δ' «ἀπωλόμην δὲ καὶ ἔξοικος ἐγενάμην»[6] φησίν, πρὸς τὴν διάλημψιν τὴν τῶν πολλῶν ἀπώλειαν λογιζομένων τὴν πάντων ἀφαίρεσιν κτημάτων χρημάτων καὶ ὅτι ἐπὶ κοπρίας ἐτύγχανεν. Διὸ καὶ ἔξοικος ἐγεγόνει καὶ πάντων αὐτὸν τῶν οἰκείων καταλελοιπότων.

170 «Ἴδετε ὁδοὺς Θαιμανῶν, ἀτραποὺς Ἀσεβῶν οἱ διορῶντες καὶ αἰσχύνην ὀφειλή-

---

1. Ἰὼβ 6,16-17. 2. Πρβλ. Ἡσ. 66,5. 3. Παρμ. 27,10. 4. Πρβλ. Σ. Σειρ. 9,10. 5. Σ. Σειρ. 9,10. 6. Ἰὼβ 6,18.

σουσιν οἱ ἐπὶ πόλεσιν καὶ χρήμασι πεποιθότες»[1].

Ἐγὼ μέν, φησίν, ταῦτα ὑπέστην μεταπεσὼν ἀπὸ πλούτου καὶ πολυπαιδίας καὶ δόξης καὶ τῶν ἄλλων ἀνθρωπίνων. Καὶ ὅμως οὐδὲν αὐτῶν τεθαυμακὼς οὐ ξενίζομαι. Καὶ γὰρ οἱ ἅγιοι τῇ φύσει τῶν ἀδιαφόρων ἐπιβάλλοντες οὐ βαρείαν τὴν τούτων ἀφαίρεσιν λογίζονται καὶ τοὺς ἄλλους προτρεπόμενοι καθὰ καὶ Δαυὶδ ὁ μακάριος ψάλλων· «πλοῦτος ἐὰν ῥέῃ μὴ προστίθεσθε καρδία⟨ν⟩»[2]. Καὶ πάλιν· «μὴ πεποίθατε ἐπ' ἄρχοντας καὶ ἐφ' υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστιν σωτηρία»[3]. Διορθούμενος οὖν αὐτοὺς ἠρέμα ὁ ἅγιος οὕτω ποιεῖ τὸν λόγον λέγων· «ἴδετε ὁδοὺς Θαιμανῶν, ἀτραποὺς Σαβῶν οἱ διορῶντες»[4], ὅ ἐστιν· μετὰ διανοίας ὁρῶντες, ἵν' ᾖ πᾶς αὐτοῦ ὁ νοῦς τοιοῦτος· ἐγὼ δὲ ἔξοικος ἐγενόμην καὶ πάντων ἀφῃρέθην. Κατανοήσατε τὰς ὁδοὺς τῶν Θαιμανῶν, τὰς ἀτραποὺς τῶ⟨ν⟩ Σαβῶν κατακρίνατε, κἂν εὐπαθῶσιν, λογιζόμε**172**νοι ὅτι πλούτῳ καὶ δόξῃ πεποιθότες οὐκ ὀρθὰς ὁδοὺς ἢ ἀτραποὺς ἔχουσιν. Ταῦτα δὲ ἔλεγεν ὑπηχῶν καὶ τοῖς φίλοις οἰομένοις ὅτι ὁ περιπίπτων ἐν περιστάσεσιν ἐκ κακίας ταύταις ἐνέχεται ὅτι· ὑμεῖς εἰ καὶ βασιλεῖς ἐστε καὶ οὐ περιπέσετε δυσπραγίᾳ, ἀλλὰ κατανοήσατε τὰς ὁδοὺς τῶν Θαιμανῶν καὶ Σαβῶν, ὁδοὺς αὐτῶν ρ.....σετε, ὅτι πεποιθότες ἐπὶ τοῖς ἀνθρωπίνοις αἰσχύνην ὀφλισκάνετε. Εἰ δὲ καὶ τὰς ἑρμηνείας τῶν ὀνομάτων ἐκλαβεῖν θέλοις, γένοι⟨το⟩ ἂν νόησις [τ] αὕτη, Θαιμανῶν μὲν ἑρμηνευομένων ἐκλιπόντων, Σαβῶν δὲ ἐπι⟨σ⟩τρεφόντων. Προτρέπεται οὖν τοὺς ἐκλιπόντας ἀρετὴν καταθεάσασθαι, οἳ καὶ ἐν πλούτῳ πεποίθασιν, ἀλλὰ καὶ τοὺς ἐπι⟨σ⟩τρέφοντας τὴν φύσιν τῶν πραγμάτων κατανοεῖν προτρεπόμενος, ὅτι οὐ πάντως ⟨ἐ⟩ν εὐετηρίᾳ ἀεὶ οὕτω διαμένει, ἀλλὰ καὶ ὑποστρέφει πολλάκις. Διὸ αἰσχύνη ὑπάρχει τὸ πεποιθέναι ἐπὶ χρήμασιν ἢ πόλεσιν, πόλεις λέγων τὰς δό**174**ξας τὰς ἀνθρωπίνας καὶ τὸ ὡσανεὶ ἐν ἀσφαλεῖ εἶναι. Εἰ δὲ ἐπαινετοί εἶεν οἱ ἐκλιπόντες, προτρέπεται ὅτι· κατανοήσατε, ὡς εἰσὶ καὶ ἄλλοι κακὰ ἀπολιπόντες καὶ οὐ πάντως τοῖς ἀνθρωπίνοις πλουτοῦντες. Εἰ οὖν ἐπιστῆσαι θελήσετε, ὅτι τὰ πράγματα πολλὴν δέχεται τὴν μεταβολὴν ἀπολαμβανόντων πολλάκις πολλῶν ὧν ἐστερήθησαν, οὐκ ἂν ὡς ἐπὶ μονίμοις ἐπεποθεῖτε τεθηπότες αὐτά. «Ὁ» γὰρ «πεποιθὼς ἐπὶ πλούτῳ οὗτος πεσεῖται, ὁ δὲ ἀντιλαμβανόμενος δικαίων οὗτος ἀνατελεῖ»[5], καθὰ ὁ μὲν Λάζαρος εἰς κόλπον Ἀβραὰμ ἀνέτειλεν[6], ὁ δὲ πλούσιος τῇ κολάσει παραδέδοται πεσὼν ἐπ' αὐτήν, ὃς διὰ ἀλαζονείαν παρεώρα τὸν Λάζαρον[7]. Καὶ γὰρ ὁ λόγος παρετηρήσατο, ὅτι «πρὸς τῷ πυλῶνι» αὐτοῦ «ἐβέβλητο»[8] καὶ ὅτι σφόδρα πλούσιος[9], ἵνα μὴ πρόφασιν ἔχοι ὅτι· ἠγνόουν αὐτὸν ἢ οὐκ

---

1. Ἰὼβ 6,19-20. 2. Ψαλ. 61,11. 3. Ψαλ. 145 3. 4. Ἰὼβ 6,19. 5. Παρμ. 11,28. 6. Πρβλ. Λουκ. 16,22. 7. Πρβλ. Λουκ. 16 21. 8. Πρβλ. Λουκ. 16,20. 9. Πρβλ. Λουκ. 16,19.

εἶχον τὰ αὐτάρκη. Καλῶς δὲ καὶ τὸ «ἀνατέλλει». Ὡς γὰρ τὰ σπειρόμενα φθορὰν ὑ⟨πο⟩μένοντα ὕστερον ἐξανθεῖ, οὕτως ὁ περιστάσεσι πιεσθεὶς **176** καὶ ὑπομείνας ἕξει τῆς καρτερίας μισθὸν τὴν ἀνατολήν, «ἐκλάμπων ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ Πατρός»[1]. Πεποιθὼς γὰρ ἦν ἐπὶ Κύριον προτραπεὶς ἐκ τῶν εἰρημένων· «εὐλογημένος ὁ ἄνθρωπος ὃς πέποιθεν ἐπὶ τῷ Κυρίῳ[2]· οἱ πεποιθότες ἐπὶ Κύριον ὡς ὄρος Σιών»[3], καὶ λέγων· «ἐπὶ τῷ Κυρίῳ πέποιθα»[4], οὐκ «ἐπὶ χρήμασιν ἢ πόλεσιν»[5] ἀνθρωπίναις, ἀλλ' ἐπὶ τῷ θείῳ πλούτῳ καὶ «τῇ πόλει τοῦ βασιλέως τοῦ μεγάλου»[6], ἧς «οἱ θεμέλιοι ἐν τοῖς ὄρεσιν τοῖς ἁγίοις»[7], χρήματα λογιζόμενος τὰ λόγια Κυρίου «ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύ»[8].

«Ἄταρ δὴ καὶ ὑμεῖς ἐπέβητέ μοι ἀνελεημόνως»[9].

Καὶ τοὺς ἐπ' αἰτίᾳ ψεκτῇ περιπεσόντας σκυθρωποῖς νουθετῶν τις οὐκ ἐλέγχει κατὰ λόγον κινούμενος. Οὐ τοῦτο γὰρ πρόκειται, ἀλλὰ μᾶλλον εἰς ἀνδρείαν προτρέπεσθαι καὶ γενναίως ἐνεγκεῖν. Τὸ γὰρ λέγειν· 'διὰ τί γὰρ ἡμάρτανες;' βαρῦναί ἐστιν μᾶλλον ἢ πόνων κουφίσαι. Καὶ γὰρ τῷ ὄντι ἀνελεημόνως ἐπέστησαν αὐτῷ ἐκ τοῦ πεπλανῆσθαι **178** περὶ τὴν αἰτίαν τῆς ἐπαγωγῆς καὶ ὅτι τὸν μὴ ὑποκείμενον ἐλέγχῳ ἐλέγχειν ἐπειρῶντο.

«Ὥστε ἰδόντες τὸ ἐμὸν τραῦμα φοβήθητε»[10].

Κηδεμονικώτατα ὁ ἅγιος καὶ πρὸς τοὺς μὴ ὀρθῶς διακειμένους πρὸς αὐτὸν προσφέρεται ἀπὸ τῶν καθ' ἑαυτὸν κἀκείνους διορθούμενος καὶ ἐκ τῆς αὐτῶν διαλήμψεως δεχόμενος τὴν ἀρχὴν τῆς παραινέσεως· εἰ γὰρ πᾶς ὁ ἁμαρτάνων σκυθρωποῖς περιπίπτει καὶ ὁ περιπεσὼν ἐξ ἁμαρτιῶν τοῦτ' ἔπαθεν, καὶ ὑμεῖς φοβήθητε ἐκ τοῦ ἡμετέρου τραύματος τὸν φόβον δεχόμενοι. Καὶ γὰρ δῆλον αὐτοῖς ὑπῆρχεν ὅτι «οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου τῶν ἀνθρώπων»[11]. Καὶ ταῦτα μὲν ὁ μακάριος ὡς πρὸς τὴν ἐκείνων διάλημψιν διορθωτικῶς λέγει, χρήσιμα δὲ καὶ πρὸς συμπάθειαν καὶ πρὸς τὸ μὴ χαυνοῦσθαι τὰ ῥητά.

«Τί γάρ; Μή τι ὑμᾶς ᾔτησα ἢ τῆς παρ' ὑμῶν ἰσχύος ἐπιδέομαι, ὥστε με σῶσαι ἐκ χειρὸς ἐχθρῶν ἢ ἐκ χειρὸς δυναστῶν ῥύσεσθαί με;»[12].

Τὸ ἄλογον τῆς ἐπιπλήξεως τῆς κα**180**θ' ἑαυτοῦ ἐλέγχων φησὶν

---

1. Πρβλ. Ματθ. 13 43. 2. Ἱερ. 17,7. 3. Ψαλ. 124,1. 4. Ψαλ. 10,1. 5. Πρβλ. Ἰὼβ 6,20. 6. Πρβλ. Ματθ. 5,35. 7. Ψαλ. 86,1. 8. Ψαλ. 18,11. 9. Ἰὼβ 6,21. 10. Ἔνθ' ἀν. 11. Πρβλ. Ἰὼβ 14,4. 12. Ἰὼβ 6,22-23.

ὅτι· εἰ μὲν ἐμοῦ ἐξαιτουμένου παρ' ὑμῶν τι οἷον εὐχὴν εἰς Θεὸν ἐφάσκε[σ]τε μὴ δύνασθαι ἀνενεγκεῖν τὴν ὑπὲρ ἐμοῦ εὐχὴν διὰ τὸ ἐν ἁμαρτίᾳ εἶναι, λόγον τινὰ εἶχεν. Ἐπεὶ δὲ τοῦτο οὐ γένονεν, μάταιος ὁ κατ' ἐμοῦ ἔλεγχος. Καὶ τοῦτο αὐτὸ ἔχομεν ἐν τοῖς θείοις γράμμασιν. Γίνεταί γάρ ποτε εὐχὴ ἐπὶ τῶν ἐπιτηδείως ἐχόντων εἰς μετάνοιαν, ὑπὲρ δὲ τῶν ἀντιτεινόντων οὐκ ἔχει λόγον τὸ γινόμενον. Αὐτίκα γοῦν καὶ τῷ προφήτῃ φησὶν ὁ Θεός· «καὶ σὺ μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου»[1]. Καὶ ἑφεξῆς τὸν λογισμόν φησιν τοῦ μὴ δεῖν ἀναφέρειν πρὸς αὐτὸν εὐχὴ⟨ν⟩ λέγων· «οὐχ ὁρᾷς ⟨τί⟩ οὗτοι ποιοῦσιν»;[2] ο⟨ἱ⟩ υἱοὶ αὐτῶν συλλέγουσι ξύλα καὶ οἱ πατέρες καίουσιν πῦρ καὶ ⟨αἱ⟩ γυναῖκες ποιοῦσιν χαυῶνας τῇ στρατιᾷ τοῦ οὐρανοῦ»[3], κοινῷ ἁμαρτήματι κοινὴν σπουδὴν εἰσαγαγόντες· διόπερ μὴ προσεύχου περὶ αὐτῶν. Δεῖ οὖν, εἴ ποτε πρεσβεία Θεῷ ἀναπέμπεται ὑπὸ ἁγίου περί τινος, συντρέχειν κἀκεῖνον ὑπὲρ **182** οὗ ἡ πρεσβεία γίνεται. Ἐὰν γὰρ ἐναντίως τῷ πρεσβεύοντι ποιῇ, ὅμοιόν τι ποιεῖ περὶ ὧν λέγεται· «εἷς οἰκοδομῶν καὶ εἷς καθελών· τί ὠφέλησαν πλέον ἢ κόπους;»[4] ἄλλως τε καὶ ὡσανεὶ καταισχυνεῖται ὁ πρεσβεύων. Τούτου μαρτυρία τὰ κατὰ Μωσέα· ἀνελθόντι γὰρ αὐτῷ πρὸς Θεὸν εἴρηται τοῦ λαοῦ κάτω παραβαίνοντος· «σπεύσας κατάβηθι· ὁ λαός σου ἥμαρτεν»[5]. Καὶ παρατήρησαι τὸ εἰρημένον· ὅτε γὰρ ἐπέμπετο καὶ ἄρξαι αὐτῶν καὶ στρατηγῆσαι καὶ νομοθετῆσαι, αὐτὸς ὁ Θεὸς ἐκ προσώπου τοῦ ἰδίου λέγει· «πορεύου καὶ ἐξάγαγε τὸν λαόν μου»[6]. Ἄξιος γὰρ ἦν αὐτοῦ λαὸς εἶναι. Ὅτε ἀπέστη τῆς πρὸς αὐτὸν εἰλικρινοῦς θεραπείας, οὐκέτι Θεοῦ ἀλλ' ἀνθρώπου ἐστίν. Φησὶν γάρ· «ὁ λαός σου ἥμαρτεν»[7], καὶ [οὐ] τούτῳ φιλανθρωπευόμενος. Ἑαυτοῦ γὰρ ἀνάξιον τὸ⟨ν⟩ λαὸν θεασάμενος οὐ παντελῶς ἀπέρριψεν, ἀλλὰ πάλιν αὐτὸν ὑπὸ Μωσέα ἀφίησιν, ἀνάγων αὐτὸν εἰς τὴν περὶ αὐτοῦ κηδεμονίαν διὰ τοῦ λέγειν· **184** «ὁ λαός σου»[8], ἵν' οὕτω πρεσβεύσηται ὑπὲρ αὐτῶν καὶ πάλιν αὐτοὺς ἐπιστρέψῃ ⟨ἐκ⟩ τῆς πλάνης, ὃ καὶ γέγονεν. Εἶπεν γοῦν εὐχόμενος· «εἰ μὲν ἀφεῖς αὐτοῖς τὴν ἁμαρτίαν αὐτῶν, ἄφες. Εἰ δὲ μή, ἐξάλειψον κἀμὲ ἐκ τῆς βίβλου σου, ἧς ἔγραψας»[9]. Ὅμοιον τούτῳ Παῦλος λέγει· «ηὐχόμην γὰρ ἐγὼ ἀνάθεμα εἶναι ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου κατὰ σάρκα»[10]. Καὶ ὅτι προθέσει ἀγαθῇ οἱ ἅγιοι ὑπέρ τινων εὔχονται, κἂν φαῦλοι ὦσιν, μάλιστα ὅταν ἐνοῦσαν ᾖ αὐτοῖς εἰς μετάνοιαν ἐπιτηδειότητα θεάσασθαι, ταῦτα εἴρηται. Ἐμφαίνει δὲ ⟨τό⟩· «μή τι ὑμᾶς ἤτησα;»[11] καὶ τὸ ἀδυνάτους αὐτοὺς εἶναι ἐπαμῦναι· οἶδα γὰρ ὅτι Θεοῦ μόνου ἐστὶν τὸ σῶσαι τοῦ καὶ τὴν συγχώρησιν δεδωκότος. Ἐπιστημονικῶς γὰρ οἱ ἅγιοι καὶ τὰς αἰτήσεις ποιοῦνται.

---

1. Ἱερ. 7,16. 2. Ἱερ. 7,17. 3. Πρβλ. Ἱερ. 7,18. 4. Πρβλ. Σ. Σειρ. 34,23. 5. Πρβλ. Ἐξ. 32,7. 6. Πρβλ. Ἐξ. 3,10. 7. Πρβλ. Ἐξ. 32,7. 8. Ἐξ. 32,7. 9. Ἐξ. 32,32. 10. Ρωμ. 9,3. 11. Ἰώβ 6,22.

«Διδάξετέ με, ἐγὼ δὲ κωφεύσω· εἴ τι πεπλάνημαι, φράσετέ μοι»[1].

Καὶ τοῦτο μετὰ πλείστης ὅσης πραότητος ὁ ἅγιος παιδεύει αὐτούς, πῶς χρήσωνται λόγοις πρὸς τοὺς **186** ἐν περιστάσει λέγων· διδάσκειν ὀφείλετε, οὐκ ἐλέγχει⟨ν⟩ ἀκαίρως, εἰ μὴ καὶ τοῦτο πρὸς παίδευσιν ποιεῖ κατὰ τὸ λεγόμενον ὑπὸ Παύλου· «ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον»[2]. Ἔτι δὲ καὶ μετριότητος χαρακτὴρ ὑπάρχων ἀπαιτεῖ καὶ παρὰ τοιούτων λόγον διδασκαλίας, μή που εὕρῃ τι χρήσιμον. Εἰ δὲ οὕτω ποιεῖ ὁ ἅγιος, οὐ δεῖ τινα ὑπερηφανεύεσθαι καὶ ὀκνεῖν παρ' ὁτουοῦν παιδεύεσθαι.

«Ἀλλ' ὡς ἔοικεν, φαῦλα ἀληθινοῦ ῥήματα»[3].

Ἔλεγχός ἐστιν οὗτος κατὰ τῶν ὑπερορώντων τ⟨ὰ⟩ς τῶν δικαίων ἢ ἄλλως ὀρθῶν ἀνθρώπων γνώμας, ὅπερ ὑπερήφανοι ποιεῖν εἰώθασιν, οὐ γνώμῃ καὶ βίῳ προαιρέσει ὀρθῇ προσέχοντες, ἀλλὰ τοῖς ἔξωθεν κατὰ τὸ εἰρημένον· «πλούσιος ἐλάλησεν καὶ πάντες ἐσίγησαν καὶ ἤνεσαν τὸν λόγον αὐτοῦ, πτωχὸς ἐλάλησ⟨ε⟩ν καὶ εἶπαν· τίς οὗτος;»[4]. Καὶ δῆλα ταῦτα ἐκ τῆς ἐναργείας. Δῆλον δὲ ὅτι ἀληθινὸς ἦν ὁ μακάριος, ⟨ὃ⟩ καὶ Θεὸς μαρτυρεῖ. Τὸ δὲ «φαῦλα»[5] ἀντὶ τοῦ εὐτελῆ, λε**188**γομένου ποτὲ τοῦ φαύλου ἀντὶ κακοῦ.

«Οὐ γὰρ παρ' ὑμῶν ἰσχὺν αἰτοῦμαι»[6].

Τοῦτο σύμφωνον τοῖς ἄνω, ἔνθα ἔλεγεν· «τί γάρ; Μή τι ὑμᾶς ἤτησα;»[7] διὰ μέσου εἰρημένο⟨υ⟩ τοῦ· «διδάξετέ με»[8] ἕως τοῦ· «ἀλλ' ὡς ἔοικεν»[9]. Καὶ αὐτοῖς οὖν ἐκείνην τὴν διάνοιαν ἐφαρμοστέον.

«Οὐδὲ ὁ ἔλεγχος ὑμῶν ῥήμασί με παύσει»[10].

Λόγος γὰρ χωρὶς ἔργων προφερόμενος ἀβέβαιός ἐστιν καὶ ἄπιστος, ἄλλως ⟨τ⟩ε καὶ μὴ ἀληθῶς προϊὼν ἔτι τὸ ἀσθενὲς ἔχει. Φησὶν ὅτι· ὑμεῖς τοιούτῳ ἐλέγχῳ χρώμενοι οὐ παύετέ με οὔτε τοῦ τὰ ἀληθῆ προφέρειν οὔτε ἀποκάμνειν πρὸς ἀρετήν.

190 «Οὐδὲ γὰρ ὑμῶν φθέγμα ῥήματος ἀνέξομαι»[11].

Καὶ τοῦτο ἀνδρείας· πολλοὶ γὰρ πολλάκις τῶν ἐν περιστάσεσιν φορτικῶν ἀκούοντες λόγων ἀποκάμνουσιν, ὥστε καὶ δι' αὐτοὺς ἐξασθενεῖν. Ἀλλ' ὁ ἅγιος οὔτε τὸν ἔλεγχον τὸν ἀπὸ τῶν φίλων οὔτε τοὺς λόγους πρὸς ὀλιγωρίαν ἐδέξατο, ὅλως μηδὲ τὴν ἀρχὴν καταδεχόμενος αὐτὰ ὡς δυνάμενα αὐτὸν σεῖσαι.

---

1. Ἰὼβ 6,24. 2. Β' Τιμ. 4,2. 3. Ἰὼβ 6,25. 4. Ιρβλ. Σ. Σειρ. 13,23. 5. Ἰὼβ 6,25. 6. Ἔνθ' ἀν. 7. Ἰὼβ 6,22. 8. Ἰὼβ 6,24. 9. Ἰὼβ 6,25. 10. Ἰὼβ 6,26. 11. Ἔνθ' ἀν.

«Πλὴν ὅτι ἐπ' ὀρφανῷ ἐπιπίπτετε, ἐνάλλεσθε δὲ ἐπὶ φίλῳ ὑμῶν»[1].

Διὰ τοῦτο οὐ δέχομαι ὡς ὀρθοὺς γινομένους τοὺς παρ' ὑμῶν ἐλέγχους, ὅτι καθάπερ ὀρφανῷ καὶ ἀβοηθήτῳ ἐπιπίπτετε μὴ ἐνορῶντες ἁπάντων βοηθῷ, ἀλλὰ καὶ ἐνάλλεσθε ἐπὶ φίλῳ τὰ τῆς φιλίας καθήκον**192**τα μὴ ἐπιγιγνώσκοντες. Ὠφέλιμον τὸ ῥητὸν πρὸς τὸ μὴ ἐπεμβαίνειν ταῖς ἑτέρων δυσπραγίαις.

«Νυνὶ δὲ εἰσβλέψας εἰς πρόσωπα ὑμῶν οὐ ψεύσομαι»[2].

Διδακτικὸν τὸ ῥητὸν πρὸς τὸ μὴ περὶ ἀπόντων προφέρειν λόγους καταλαλιᾶς, ἀλλ' εἰς πρόσωπον λέγειν ἃ δεῖ. Εἴρηται γάρ· «μὴ καταλάλει μηδὲ ἡδέως ἄκουε καταλαλοῦντος»[3]. Εὐπαρρησίαστον δὲ καὶ τὸ λέγειν· «οὐ ψεύσομαι»[4], καθὰ καὶ Παῦλος· «ὅτι οὐ ψεύδομαι»[5].

«Καθίσατε δὴ καὶ μὴ εἴη ἄδικον καὶ πάλιν τῷ δικαίῳ συνέρχεσθε»[6].

Ἐπιτρεπτικὰ ταῦτα καὶ ἀνεξίκακα παιδεύοντα σχολῇ καὶ προσοχῇ, ὃ δηλοῦται διὰ τοῦ «καθίσατε»[7], ⟨καὶ⟩ ἐξετάσει φ⟨θ⟩έγ**194**γεσθαι. Τοῦτο καὶ ἀλλαχόσε εἴρηται· «πρὶν ἐξετάσῃς μὴ μέμψῃ»[8]. Μέγα δὲ καὶ τὸ ἐπίταγμα τό· «μὴ εἴη ἄδικον»[9]. Μέγα γὰρ τὸ μὴ ἐν λόγῳ ἀδικεῖν καθὸ εἴρηται· «εἴ τις ἐν λόγῳ οὐ πταίει, οὗτος δυνατὸς χαλιναγωγῆσαι καὶ ὅλον τὸ σῶμα»[10]. Πάλιν «τῷ δικαίῳ συνέρχεσθε»[11]. Τὸ πάλιν ὡς πρότερον αὐτῶν ὅτε οὐκ ἦν ἐν περιστάσει συνερχομένων παιδεύει, ὅτι ⟨δεῖ⟩ αὐτοὺς μὴ ἐκ τῆς τῶν θλιβηρῶν ποιεῖσθαι ἀνάγκης τὴν ἐπίκρισιν, ἀλλὰ πρὸς τὸ δίκαιον ἀποβλέποντας. Εὐλαβῶς δὲ καὶ τὴν ὑπόσχεσιν ἀποπληροῖ λέγων· «εἰσβλέψας εἰς πρόσωπα ὑμῶν οὐ ψεύσομαι»[12], παραινῶν αὐτοῖς σχολάσαι τῇ ζητήσει τοῦ δικαίου.

---

1. Ἰὼβ 6,27. 2. Ἰὼβ 6,28. 3. Ποιμὴν Ἑρμᾶ, Ἐντολὴ Β' 2. Β.Ε.Π. 3,52. 4. Ἰὼβ 6,28. 5. Β' Κορ. 11,31. 6. Ἰὼβ 6,29. 7. Ἔνθ' ἀν. 8. Σ. Σειρ. 11,7. 9. Ἰὼβ 6,29. 10. Ἰακ. 3,2. 11. Ἰὼβ 6,29. 12. Ἰὼβ 6,28.

ΠΑΡΑΡΤΗΜΑ*

196 *1. Vat. 749 (fol. 58^{v}) καὶ Vat. 750 (71^{v}) εἰς Ἰὼβ 6,30* «Οὐ γάρ ἐστιν ἐν γλώσσῃ μου ἄδικον· ἢ ὁ λάρυγξ μου οὐχὶ σύνεσιν μελετᾷ;»

Προτρεψάμενος αὐτοὺς σχολάσαι τῇ περὶ αὐτοῦ ἐξετάσει, ὅπερ διὰ τοῦ «καθίσατε δὴ καὶ μὴ εἴη ἄδικον»[1] δηλοῦσθαι ἡρμήνευσεν (malim ἡρμηνεύσαμεν), εὐπαρρησίαστον προφέρει λόγον φάσκων· «οὐ γάρ ἐστιν ἐν γλώσσῃ αὐτοῦ (μου LXX) ἄδικον»[2], ἠρέμα παρακινῶν αὐτοὺς ἐξ ἧς εἶχον περὶ τούτου διάληψιν ὡς δι' ἁμαρτίας πεπονθότος, καὶ ἄλλως ὑποσημαίνων αὐτοῖς ὡς οὐ πρὸς ἀσύνετον ἔχουσιν, ἵν' ἐκ τούτων εἰς τὴν περὶ αὐτοῦ σκέψιν αὐτοὺς διεγείρῃ φρονίμως καὶ συνετῶς χρήσασθαι ταύτῃ.

198 *2. Vat. 749 (fol. 60^{v}), Vat. 750 (74^{v}-75^{r}) καὶ Ambros. A 148 inf. (137^{r}) εἰς Ἰὼβ 7,8-10 (πρβλ. Νικήτας PG 39, 1140 B).* «Οἱ ὀφθαλμοί σου ἐν ἐμοί, καὶ οὐκέτι εἰμί, ὥσπερ νέφος ἀποκαθαρθὲν ἀπ' οὐρανοῦ. Ἐὰν γὰρ ἄνθρωπος καταβῇ εἰς ᾅδην, οὐκέτι μὴ ἀναβῇ οὐδ' οὐ μὴ ἐπιστρέψῃ ἔτι εἰς τὸν ἴδιον οἶκον οὐδὲ μὴ ἐπιγνῷ αὐτὸν ἔτι ὁ τόπος αὐτοῦ»[3].

Δύναται καὶ τὴν ἐξουσίαν λέγειν τοῦ Θεοῦ καὶ φανερὰν αὐτὴν καθιστάναι. Ἢ καὶ (καί om. Vaticani) οὕτως· εἰ τοὺς ὀφθαλμούς σου εἰς ἐμὲ πρὸς τὸ μὴ εἶναι ῥέψειας, οὐκέτι εἰμί. Οὕτως γὰρ ἀσθενής ἐστιν ἄνθρωπος ὡς ἀποθανὼν μηκέτι οἷός τε εἶναι ἐπιστρέψαι. Οὐ παραιρούμενος δὲ (δέ om. Vaticani) τὴν ἀνάστασιν τοῦτο λέγει, ἀλλὰ πρῶτον μὲν τὸ τῶν ἀνθρώπων ἐπίκηρον δεικνύς, ἔπειτα ὅτι οὐχ οὕτως ἥξει ἄνθρωπος ἀποθανὼν ὡς οἱ πολλοὶ τῶν ἀνθρώπων διαλαμβάνουσι πάλιν ἐνταῦθα διάγοντες. Τοῦτο γὰρ δηλοῦται διὰ τοῦ· «οὐδ' οὐ μὴ ἐπιστρέψῃ ἔτι εἰς τὸν ἴδιον οἶκον οὐδὲ μὴ ἐπιγνῷ αὐτὸν ἔτι ὁ τόπος αὐτοῦ»[4].

200 *3. Vat. 749 (fol. 61^{r}), Vat. 750 (fol. 75^{v}) καὶ Ambros. 148 (fol. 137^{v}) εἰς Ἰὼβ 7,12.* «Πότερον θάλασσά εἰμι ἢ δράκων, ὅτι κατέταξας ἐπ' ἐμὲ φυλακήν;»[5].

Θάλασσαν καὶ δράκοντα ἀλληγορουμένως λαμβάνοντες ἐπὶ ψεκτοῦ

---

* Εἰς τὸ τέλος τοῦ Β' μέρους τῆς ἐκδόσεως τῶν ἐν Toura ἀνακαλυφθέντων ἀποσπασμάτων παρατίθενται τὰ κατωτέρω ἐκ Σειρῶν προερχόμενα ἀποσπάσματα δεδομένου ὅτι τὸ τμῆμα κεφ. 6,30-7,19 ἔχει ἀπολεσθῇ.

1. Ἰὼβ 6,29. 2. Ἰὼβ 6,30. 3. Ἰὼβ 7,8-10. 4. Ἰὼβ 7,10. 5. Ἰὼβ 7,12.

δεχόμεθα. Καὶ ἡ μὲν θάλασσα πολλάκις ἐπὶ τοῦ βίου τοῦ κλυδωνιζομένου λαμβάνεται. Δράκων δὲ ὁ διάβολος. Εἴ (ἤ codd.) φησιν οὖν τοῦτό ἐστιν οὕτως, ⟨ὅτι⟩ (οὐ codd., ὅτι propos. Hagedorn) δι' ἁμαρτηματά ἐστιν, δράκοντος ἢ θαλάσσης — ἀντὶ τοῦ ὑπερβαλλόντων κακῶν — ἄξια ταῦτα ἦν. «Κατατέτακται» γὰρ «ἐπ' ἐμὲ φυλακή»[1], ὅ ἐστι τὰ περιστατικὰ πᾶσαν ὑπεραίροντα ἀλγηδόνα. Ἐκ τούτου (τούτων Vaticani) οὖν πείθει τοὺς φίλους ἀποστῆναι τῆς ὡς περὶ δι' ἁμαρτίας παθόντος ὑπολήψεως.

202 *4. Vat. 749 (fol. 61ᵛ), Vat. 750 (76ʳ-ᵛ) καὶ Ambros. A 148 (137ᵛ) εἰς Ἰὼβ 7,13-14.* «Ἀνοίσω δὲ πρὸς ἐμαυτὸν ἰδίᾳ λόγον τῇ κοίτῃ μου· ἐκφοβεῖς με ἐνυπνίοις καὶ ἐν ὁράμασίν με καταπλήσσεις»[2].

Ἐμοῦ διὰ τῆς κοίτης προσδοκῶντος παράκλησιν, ἵνα καὶ λόγον ἰδίᾳ ἀνοίσω πρὸς ἐμαυτόν, σὺ τοῖς ἐνυπνίοις με ἐκφοβεῖς καὶ ἐν ὁράμασί με καταπλήττεις. Πολλοὶ μὲν οὖν εἰς τὸν διάβολον ἀναφέρουσι τοὺς στίχους· ἀλλ' οὐκ ἐᾷ τὸ ἑξῆς· «ἀπαλλάξεις ἀπὸ πνεύματός μου τὴν ψυχήν»[3]· τοῦτο γὰρ οὐκ ἔστιν ἐπ' ἐξουσίᾳ τοῦ διαβόλου. Ὅμως δέ, εἰ πρὸς τὸν Θεὸν λέγει, οἶδεν, ὅτι εἰ μὲν αὐτὸς ἐπέτρεψεν, αὐτὸς αὐτὰ (hic des. Ambros.) ἐνεργεῖ. Εἰ δὲ ὁ ἐξαιτησάμενος πολεμεῖ, ἐπίσταται, ὅτι τοῦ ἀντικειμένου ἐστὶ τὰ περιστατικά.

Κατωτέρω παρατίθεται ἀπόσπασμα τοῦ Διδύμου μὴ προερχόμενον ἐκ τοῦ εἰς τὸν Ἰὼβ Ὑπομνήματος ἀλλ' ἐκ τοῦ «Περὶ ψυχῆς» ἔργου. (Πρβλ. J. Leipoldt, Didymos der Blinde v. Alexandrien, TU N.F. 14,3, Leipzig 1905, 16). Vat. 749 (fol. 61ᵛ) καὶ Vat. 750 (76ᵛ) εἰς Ἰὼβ 7,15. «Ἀπαλλάξεις ἀπὸ πνεύματός μου τὴν ψυχήν μου, ἀπὸ δὲ θανάτου τὰ ὀστᾶ μου»[4].

Οὕτως ὁ Δίδυμος ἐν τοῖς Περὶ ψυχῆς. Πνεῦμα καὶ ἄρχων θανάτου ὁ διάβολος. Ἐξ οὗ τὴν ψυχὴν καὶ τὰ ὀστᾶ — τῆς ψυχῆς δυνάμεις — εὔχεται ἀπαλλαγῆναι.

204 *5. Vat. 749 (fol. 62ʳ), Vat. 750 (fol. 77ʳ) καὶ Ambros. 148 (138ʳ) εἰς Ἰὼβ 7,16.* «Ἀπόστα ἀπ' ἐμοῦ, κενὸς γάρ μου ὁ βίος»[5].

Δύναται καὶ πρὸς τὸν διάβολον ταῦτα λέγεσθαι ὅτι· ἀπόστα, μὴ πολέμει. Οὐδὲν γὰρ ἐν τῷ ἡμετέρῳ βίῳ εὑρήσεις ἄξιον σαυτοῦ. Ἢ καὶ ὅτι· πέπαυσο ἐπιβαίνων· λέλυται γὰρ ταῖς περιστάσεσιν ἐγγὺς τὸ ἡμέτερον ζῆν, μονονουχὶ λέγων· αἰσχύνου ὅτι ἄχρι θανάτου πολεμεῖς πρὸς ἄνθρωπον μὴ ὀκνοῦντα ἀποθανεῖν.

---

1. Πρβλ. Ἰὼβ 7,12. 2. Ἰὼβ 7,13-14. 3. Ἰὼβ 7,15. 4. Ἔνθ' ἀν. 5. Ἰὼβ 7,16.

ΚΕΦΑΛΑΙΟΝ Ζ' *

2 Μι..... Ἐπειδὴ τοὺς ἐν κακώσει ὑπάρχοντας ὡς ὀφείλοντας ἐντυγχάνειν τῷ Θεῷ περὶ ἁμαρτίας ὡς ἂν ταύτης αἰτίας οὔσης τῶν ἀνιαρῶν ἐνόμιζον οἱ φίλοι, εὔχεται, ὅπως γνωρίσῃ αὐτοῖς, διὰ τί αὐτὸν ἔθετο κατεντευκτὴν ἑαυτοῦ, ὅτι δι' ἀγῶνα καὶ ⟨οὐ⟩ διὰ ἁμαρτίαν· οὐ γὰρ πᾶς ὁ ἐντυγχάνων Θεῷ δι' ἁμαρτίας τοῦτο πάσχει.

Εἰμὶ δὲ ἐπὶ σοὶ φορτίον;[1]

Δοκῶ φορτίον εἶναι ἐπὶ σοί· βαροῦσι γάρ με λέγοντες ὅτι· δι' ἁμαρτίας πάσχεις. Καὶ διὰ τοῦτο τρόπον τινὰ φορτίον σοι ἐκεῖνοι δι' ἐμὲ ἐπιτιθέασιν ὡς κολάζοντος τὸν ἀνεύθυνον. Ἐγὼ δὲ λέγω, ὅτι οὐ κ⟨ο⟩λάζεις με, ἀλλὰ γυμνάζεις, κἂν ἐκεῖνοι ἀδιακρίτως νομίσωσιν πάνθ' ὁ⟨ν⟩τινοῦν τὸν πεῖραν δεχόμενον ἀηδῶν δι' ἁμαρτίας πάσχειν.

Καὶ διὰ τί οὐκ ἐποιήσω τῆς ἀνομίας μου λήθην καὶ καθαρισμὸν τῆς ἁμαρτίας;[2]

Ἐπιζητεῖν τὰ κατ' αὐτὸν διδάσκει τοὺς φίλους καὶ λογίζεσθαι, ὅτι, εἰ καὶ ἥμαρτέν τι, ἀλλ' ὁ φιλ4άγαθος Θεὸς παρορᾷ τὰ πταίσματα ὥσπερ οὖν καὶ τὰ τῶν φίλων, εἴ γε οὐκ ἔπασχον αὐτοί, ἵν' ἐκ τούτου νοήσωσιν, ὡς οὐ διὰ ἁμαρτίας, ἀλλὰ δι' ἀγωνίσματα πάσχει. Πεῦσις δέ ἐστι καὶ ταῦτα εἰσάγουσα ἐκείνους εἰς σύννοιαν καὶ οὐκ ὀλιγωρία τοῦ δικαίου, ὡς εἰρήκαμεν, ὅπως αὐτὸν διὰ τὴν ἑαυτοῦ ἀγαθότητα καθάρῃ μὴ παρατηρούμενος τὰ κατ' αὐτόν· καθαρισμὸς δὲ ὑπὲρ ἁμαρτίας γίνεται οὐχ ἑπομένης κολάσεως.

Νυνὶ δὲ εἰς γῆν ἀπελεύσομαι, ὀρθρίζων δὲ οὐκέτι εἰμί[3].

Τὴν τῶν οὐκ ὀρθῶς διαλαμβανόντων ἐξηγεῖται διάθεσιν ὅτι· εἰ ἁμαρτωλόν με καὶ διὰ ἁμαρτίαν πάσχοντα οὗτοι ἐκλάβωσιν, ὡς μηδενὸς ὄντος μετὰ ταῦτα οὕτω με βεβιωκέναι νομίζουσιν «ἐν τῇ ζωῇ ταύτῃ μόνῃ ἠλπικότα»[4], καὶ κατ' αὐτούς, εἰ ἀπέλθοιμι εἰς γῆν, οὐκέτι ἔσομαι· καὶ διαδεχομένης ἡμέρας οὐκέτι ἔσομαι· οὐδ' ὅλως γάρ με κατ' αὐτοὺς διαδέξεται ἕτερος αἰών. Ἀλλὰ ἁγίου φωνή ἐστιν, ἐφ' ᾗ καὶ ὁ

---

* Ἐκ τῶν ἐν Toura τῆς Αἰγύπτου ἀνακαλυφθέντων ἀποσπασμάτων τοῦ Διδύμου. Kommentar zu Hiob. Teil III (Kap. 7,20c-11) in Zusammenarbeit mit dem Ägyptischen Museum zu Kaïro herausgegeben, übersetzt, erläutert von Ursula Hagedorn, Dieter Hagedorn und Ludwig Koenen, Bonn 1968.

1. Ἰὼβ 7,20. 2. Ἰὼβ 7,21. 3. Ἔνθ' ἀν. 4. Πρβλ. Α' Κορ. 15,19.

μακάριος ἤλπιζεν, λέγοντος· «ἐξεγερθήσομαι ὀρθρίου»[1], καὶ πάλιν· «ἐκ νυκτὸς 6 ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σέ, ὁ Θεός»[2], καί· «ὁ Θεός, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω»[3]· ὅπερ καὶ τὸ καθ' ἡμέραν ἐπαγρυπνεῖν δηλοῖ καὶ τὴν ἀπὸ τοῦ αἰῶνος τούτου εἰς τὸν μέλλοντα αἰῶνα ἔγερσιν. Εἴποι δ' ἄν τις πιθανῶς ὅτι· ἕως ἐν τοῖς σκυθρωποῖς εἰμι, ἐν νυκτὶ τυγχάνω, ὀρθρίσας δὲ καὶ ἐν ἡμέρᾳ γενόμενος οὐκέτι εἰμὶ ἐν περιστατικοῖς. Ὡς καὶ πρότερον δὲ ἐπεσημηνάμεθα, οὐκ ἐξ ὀλιγωρίας ταῦτα φθέγγεται· ἦ γὰρ ἂν οὐκ ἐμαρτυρεῖτο ὡς δίκαιος[4].

ΚΕΦΑΛΑΙΟΝ Η'

Ὑπολαβὼν δὲ Βαλδὰδ ὁ Σαυχίτης λέγει· μέχρι τίνος λαλήσεις ταῦτα; Πνεῦμα πολυ⟨ρ⟩ρῆμον τοῦ στόματός σου. Μὴ ὁ Κύριος ἀδικήσει κρίνων ἢ ὁ τὰ πάντα ποιήσας ταράξει τὸ δίκαιον;[5]

Τῆς αὐτῆς τῷ φθάσαντι διαλήμψεως ὑπάρχων καὶ οὗτος — τῆς ὅτι δι' ἁμαρτίας τὰ κακωτικὰ πάντως ἐπιπέμπεται — καὶ κοινωνῶν τῷ προτέρῳ φίλῳ κατὰ τὸ μίαν αἰτίαν θέσθαι τῶν ἐπιπόνων ποιεῖται πρὸς τὸν Ἰὼβ τοὺς λόγους. Ἔδει δὲ λογίζεσθαι, ὅτι ὅσα 8 κακώσεώς εἰσι⟨ν⟩, οὐ μόνοις φαύλοις, ἀλλὰ καὶ σπουδαίοις συμβαίνει· ἀδιάφορα γάρ. Καὶ ἔτι πλέον ἔδει ⟨ἐννοεῖν⟩, ὅτι θαυμαστότερος ὁ δίκαιός ἐστιν ὑπομένων θλίψεις καὶ πόνους. Ἐπιτιμᾷ οὖν καὶ οὗτος τῷ μακαρίῳ λέγων· μέχρι τίνος — μονονουχὶ λέγων· ἕως πότε; — οὐκ ἐννοεῖς τὴν αἰτίαν τῶν πόνων; Καὶ πολυλογίαν δὲ αὐτῷ ἐπικαλεῖ, ὃς ὤφειλεν πλέον αὐτὸν θαυμάζειν, ὅτι καθάπερ τῶν πόνων ἐπιλαθόμενος περὶ δογμάτων ἐποιεῖτο τούτους λόγους, ὧν οἱ φίλοι ἠγνόουν οὐδὲ εἰς ἔρευναν ἑαυτοὺς ἐπιβάλλοντες, καίτοι μηδὲν ἐξ ἀνιαρῶν συνεχόμενοι. Εἶτα ἔτι βεβαιῶν ἑαυτοῦ τὴν διάλημψιν ὡς καὶ αὐτῷ λογισμὸν προσάγ⟨ων⟩ λέγ⟨ει⟩· «μὴ ὁ Κύριος ἀδικήσει κρίνων ἢ ὁ τὰ πάντα ποιήσας ταράξει τὸ δίκαιον;»[6]. Ταραχὴ γὰρ ἦν τῆς δικαιοσύνης κατὰ τὴν αὐτῶν ὑπόλημψιν, εἰ δίκαιος ὢν ἔπασχεν. Ἀλλὰ ταῦτα ἀγνοοῦσιν· πρὸς γὰρ ἀνάδειξιν καὶ σκοπὸν ἀνδρείας ἡ κατ' αὐτοῦ συνχώρησις γέγο10νεν.

Εἰ ⟨οἱ⟩ υἱοί σου ἥμαρτον ἐναντίον αὐτοῦ, ἀπέστειλεν ἐν χειρὶ ἀνομίας αὐτῶν[7].

Συνχεῖ καὶ οὗτος τὸν λόγον καὶ συνπεριφέρεται τοῖς δόγμασιν λέγων ὅτι· εἰ καὶ μὴ αὐτὸς ἥμαρτες, ἀλλ' ⟨οἱ⟩ υἱοί σου, οὐ προσνοήσα[ντε]ς ὅτι ἕτερος ὑπὲρ ἑτέρου οὐκ ἂν κολάζοιτο. Ἀλλὰ καὶ τοῦτο

---

1. Ψαλ. 56,9. 2. Ἡσ. 26,9. 3. Ψαλ. 62,2. 4. Πρβλ. Ἰὼβ 1,1. 5. Ἰὼβ 8,1-3. 6. Ἰὼβ 8,3. 7. Ἰὼβ 8,4.

τυχὸν ὑπέκρουεν, ὅτι διὰ τὰς ἰδίας ἁμαρτίας ἀπεστάλη ἐν χειρὶ αὐτῶν ἀνομία, αἰνιττόμενος τὰ τῆς πτώσεως καθ' ἣν τὰ τέκνα αὐτοῦ ἀπώλοντο. Υἱοῦ δὲ μνημονεύει ἀπὸ τοῦ ἀρίστου μέρους τὸν λόγον ποιούμενος· εἶχεν γὰρ καὶ θυγατέρας Ἰώβ. Ἐμφαίνοι οὖν, ὅτι υἱῶν ἁμαρτόντων καὶ πολλὴν ὠφέλειαν ἐκ τοῦ Ἰὼβ ἐχόντων δῆλον, ὡς καὶ θυγατέρες ἥμαρτον. Κατ' αὐτὸν δὲ πάλιν καὶ τὴν διάλημψιν αὐτοῦ καὶ ταῦτα ἐκλημπτέον.

«Σὺ δὲ ὄρθριζε πρὸς Κύριον πα⟨ν⟩τοκράτορα δεόμενος· εἰ καθαρὸς εἶ καὶ ἀληθινός, δεήσεως ἐπακούσεταί σου, ἀποκαταστήσει δέ σοι δίαιταν δικαιοσύνης[1].

Μαχόμενα καὶ ἐν τούτοις λέγει. Εἰπὼν γὰρ ὅτι «ἀπέστειλεν ἐν χειρὶ ἀνομίας τῶν 12 υἱῶν σου»[2], αὐτῷ φησιν· «σὺ ὄρθριζε πρὸς Κύριον[3]· εἰ καθαρὸς εἶ, δεήσεως καὶ ἐπακούσεταί σου»[4]. Πῶς γὰρ καθαρός, περὶ οὗ διελάμβανεν, ὅτι δι' ἁμαρτίας ἀνιᾶται; — Μάλιστα, ὅτι ἐπάγει· «ἀποκαταστήσει δέ σοι δίαιταν δικαιοσύνης»[5], ἀντὶ τοῦ· δώσει σοι ὡς καθαρῷ πάλιν τὰ ἡδέα ἀποκαθιστὰς αὐτά. Ἔχομεν δὲ τὸ καθαρὸν σημαινόμενον ἀντὶ τοῦ ἐναρέτου, καθὸ καὶ εἴρηται· «μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ»[6]· [καθὸ εἴρηται] διὰ γὰρ τοῦ⟨το⟩ καθαροί εἰσιν, ὅτι οὐκ ἔχουσι τὴν ἐκ κακίας ἀκαθαρσίαν· καθὸ εἴρηται περὶ τῶν φαύλων· «συντρίβεται δὲ δι' ἀκαθαρσίαν ψυχῆς»[7]· καὶ ἔτι περί τινος· «ἀκαθαρσία αὐτῆς πρὸς ποδῶν αὐτῆς»[8]. Τοιοῦτοι δέ εἰσιν καὶ ὧν «οἱ πόδες ἐπὶ πονηρίαν τρέχουσιν»[9]. Εἰ δὲ ἀποκαθίσταται αὐτῷ ἡ δικαιοσύνη, νῦν οὐκ ἔχει αὐτήν· εἰ δὲ νῦν οὐκ ἔχει, πῶς καθαρός ἐστιν; Ἢ πῶς ἀμφιβάλλει, ὅτι καθαρός ἐστιν, διακείμενος, ὅτι περιπίπτων περιστάσεσιν ἁμαρτωλὸς ὑπάρχει; Αὕτη δὲ ἡ ἐναντιότης αὐτῶν ἠκολούθησεν ἐκ τοῦ ἐσφαλ14μένην ἀρχὴν θεῖναι, ὅπερ πάσῃ αἱρέσει ἕπεται. Λέγων γὰρ τῷ ἐν κακοπραγίᾳ· «εἰ καθαρὸς εἶ καὶ ἀληθινός, δεήσεως ἐπακούσεταί σου καὶ ἀποκαταστήσει σοι δίαιταν δικαιοσύνης»[10], δείκνυσιν, ὅτι ἐνεχώρει τὸν ἀγαθὸν καὶ ἀληθινὸν ὑποπεσεῖν τούτοις· ᾧ ἀναγκαίως ἕπεται, ὅτι οὐ πᾶς ὁ ἐν περιστάσεσιν ὢν φαῦλός ἐστιν καὶ ἐν ἁμαρτίαις·

Ἔσται οὖν τὰ μὲν πρῶτά σου ὀλίγα, τὰ δὲ ἔσχατά σου ἀμύθητα[11].

Πάλιν καὶ νῦν τῇ ἀρχῇ ἑαυτοῦ μάχεται· ὡς γὰρ ἐπόμενον λαμβάνει, ὅτι τῷ καθαρῷ μετὰ ἀλγηδόνας ὁ Θεὸς ἀποκαθίστησιν τὰ ἡδέα πολυπλασίως. Φαίνεται γὰρ διὰ τούτων εἰσάγειν τὸν τρόπον τῆς ἐπαγωγῆς τῶν ἀνιαρῶν, ὃν οὐ πρότερον ἐτίθετο, δι' ὧν φησιν εἶναι «τὰ

---

1. Ἰὼβ 8,5-6. 2. Πρβλ. Ἰὼβ 8,4. 3. Ἰὼβ 8,5. 4. Πρβλ. Ἰὼβ 8,6. 5. Ἰὼβ 8,6. 6. Ματθ. 5,8. 7. Παρμ. 6,16. 8. Θρ. 1,9. 9. Ἡσ. 59,7. 10. Ἰὼβ 8,6. 11. Ἰὼβ 8,7.

ἔσχατα αὐτοῦ ἀμύθητα»[1] δηλονότι ὡς γενναίως ὑπομείναντος, εἰ μή πού τις λέγοι, ὅτι μετανοήσαντι αὐτῷ ταῦτα λέγει συμβῆναι ἐκ τῆς πρὸς Θεὸν εὐχῆς· ἀλλὰ τοῦτο οὐ συνχωρεῖ τὸ λέγειν· «εἰ καθαρὸς εἶ»[2], καίτοι πρὸς ἀντιδιαστολὴν τὸ εἰρημένον τό· «σὺ δὲ ὄρθριζε πρὸς Κύριον παντοκράτορα»[3].

16 Ἐπερώτησον γὰρ γενεὰν πρώτην, ἐξιχνίασον δὲ κατὰ γένος πατέρων[4].

Βεβαιῶσαι βούλεται τὸν ἑαυτοῦ λόγον ἐκ τῶν προτέρων ἀνδρῶν ἢ συγγραμμάτων, ἃ περιεῖχεν τοὺς βίους αὐτῶν. Οὐδὲν γὰρ ἀπεικὸς καὶ γράμματα εἶναι, μάλιστα διὰ τὸ λέγεσθαι· «τίς ἂν δῴη γραφῆναι τὰ ῥήματά μου;»[5] καὶ τὰ ἑξῆς· ἄλλως τε καὶ νόμοι ὑπῆρχον, καθ' οὓς καὶ οὗτοι ἦρχον, οἱ φίλοι φημί.

Χθιζοὶ γάρ ἐσμεν καὶ οὐκ οἴδαμεν, σκιὰ γὰρ ἡμῶν ἐστιν ὁ βίος ἐπὶ τῆς γῆς[6].

Συνετῶς γὰρ δεῖ ἀκούειν τοῦ «χθιζοὶ γάρ ἐσμεν»[7], ὅτι ὡς πρὸς τὴν ἀνθρωπίνην γένεσιν τοῦτό φησιν, μάλιστα ὅτι λέγει· «ἐπερώτησον γὰρ γενεὰν πρώτην»[8]. Δεῖ γὰρ τὰ λεγόμενα περὶ τοῦ ἀνθρώπου φρονίμως ἀκούειν, οἷον — ἵνα ἀπὸ τῶν Γραφῶν εἴπωμεν — περὶ τοῦ Δαυὶδ εἴρηται πολλάκις, ὅτι «πυρράκης μετὰ κάλλους ὀφθαλμῶν»[9] ἐτύγχανεν. Τοῦτο δὲ οὐ περὶ τῆς ψυχῆς, ἀλλὰ περὶ τοῦ σώματος ἀκούομεν. Ὅταν δ' αὐτὸς «τὰ ἄδηλα» λέγῃ «καὶ τὰ κρύφια τῆς καρδίας μου ἐδήλωσάς μοι»[10], **18** περὶ τῆς ψυχῆς τοῦτο ἐκλαμβάνομεν. Καὶ τὸ «χθιζοὶ» οὖν μὴ κατὰ τὴν ψυχήν, ἀλλὰ κατὰ τὸ ἄνθρωπον γενέσθαι ἀκούομεν. Οὕτω καὶ συνῆπται· «σκιὰ γὰρ ἡμῶν ἐστιν ὁ βίος ἐπὶ τῆς γῆς»[11]. Περὶ τοῦ βίου οὖν τοῦ ἐπὶ γῆς φησιν, ὅτι σκιὰ τυγχάνει. Ἅπαξ δὲ ἐπεὶ τῆς λέξεως ταύτης μνήμη γέγονεν, ἀναγκαῖον ἡμᾶς περὶ αὐτῆς διαλαβεῖν. Λέγεται τοίνυν ἡ σκιὰ καὶ πρὸς πρωτότυπον, καθὸ καὶ εἴρηται· «σκιὰν γὰρ ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν»[12]. Σκιὰ δὲ καὶ τὸ παρακολούθημα, καὶ ὁ προσεγγισμὸς πολλάκις σκιὰ λέγεται, καθὸ εἴρηται παρηγμένως. «Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι»[13]. Λέγεται δὲ καὶ σκιαγραφία ἡ πρὸ τῆς φανερᾶς γραφῆς εἰκόνι τύπωσις ἄδηλος. Δυνατὸν οὖν ἐκλαβεῖν σκιὰν εἶναι τὸν βίον τὸν ἀνθρώπινον κατὰ τὸ εὔσειστον καὶ εὐπαράγωγον. Δύναται δὲ καὶ [κατα] πρὸς πρωτότυπον ἀντιδιαστέλλεσθαι· ὡς γὰρ πρὸς **20** τὴν μέλλουσαν ζωὴν ὁ παρὼν αἰὼν σκιὰ ὑπάρχει, ματαιότης ὑπάρχων. Δύναται δὲ καὶ σκιαγραφία ὁ βίος οὗτος λέγεσθαι, καθὸ ἐνταῦθα μὲν «ἐκ μέρους» ἡ γνῶσίς ἐστιν[14] τελειότητος ἐν τῷ μέλλοντι

---

1. Πρβλ. ἔνθ' ἀν. 2. Ἰὼβ 8,6. 3. Ἰὼβ 8,5. 4. Ἰὼβ 8,8. 5. Ἰὼβ 19,23. 6. Ἰὼβ 8,9. 7. Ἔνθ' ἀν. 8. Ἰὼβ 8,8. 9. Α' Βασ. 16,12. 17,42. 10. Πρβλ. Ψαλ. 50,8. 11. Ἰὼβ 8,9. 12. Ἑβρ. 10,1. 13. Λουκ. 1,35. 14. Πρβλ. Α' Κορ. 13,9.

αἰῶνι ἐσομένης. Δύναται δὲ καὶ ἀνηγμένως θεωρεῖσθαι σκιά, καθὸ παρακολούθημα λέγομεν εἶναι καὶ τὴν τῶν σωμάτων σκιάν· καὶ ὅρα, μὴ τοῦτο δηλοῦται ἐν τῷ· «ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης»[1]. Οὐ γὰρ ⟨ἁπλῶς⟩ τὰ Θεοῦ κτίσματα ματαιότης, ἀλλ' ὡς πρὸς τὰ οὐράνια αἰώνια ὄντα τὰ πρόσκαιρα καὶ ῥᾳδίως μεταβάλλοντα ματαιότης ὑπάρχει. Καὶ ὁ βίος δὲ πολλὰ σημαίνει, ἤτοι τὸ ζῆν τοῦτο ἢ τὴν πολιτείαν· δηλοῖ δὲ καὶ τὴν κτῆσιν, καθὸ εἴρηται· «ὃς δ' ἂν ἔχῃ τὸν βίον τοῦ κόσμου καὶ θεωρῇ τὸν ἀδελφὸν αὐτοῦ χρείαν ἔχοντα»[2]. Καὶ τὰ χρήματα δὲ εἴρηται βίος, καθὸ εἴρηται· «ἐὰν δ⟨ῷ⟩ ἄνθρωπος τὸν βίον αὐτοῦ ἐν τῇ ἀγάπῃ ἐξουδενώσουσιν αὐτόν»[3].

Ἢ οὐχ οὗτοί σε διδάξουσιν καὶ ἀ⟨να⟩γγελοῦσιν **22** καὶ ἐκ καρδίας ἐξάξουσιν ῥήματα;[4]

Ἐκ τῶν παλαιοτέρων πιστοῦσθαι τὰ καθ' ἑαυτὸν οὗτος βουλόμενος ταῦτά φησιν ὡς ἂν ἐκείνων πλείστοις παρατυχόντων πράγμασιν, οἷς οἱ εἰς τὸν καιρὸν αὐτοῦ οὐ παρέτυχον. Ἅπαξ δὲ ἐπεὶ περὶ διδασκάλων ἐστὶν ⟨ὁ λόγος, λέγωμεν, ὅτι ἐστὶν⟩ μέγας ἔπαινος τῷ διδάσκοντι, ἐάν, πρὸς οἷς ἔμαθεν ἢ αὐτὸς ἀναγνοὺς ἢ παρ' ἑτέρου μαθών, συνιστᾷ ποτε καὶ αὐτὸς οὐκ ἐναντία, ἀλλὰ σύμφωνα. Ὡς γὰρ οὐκ ἄν τις ἀποδέξοιτο γῆν τὴν τὰ καταβαλλόμενα σπέρματα ἀποδιδοῦσαν, οὕτως οὐκ ἄν τις ἐν τῇ γῇ τῇ ἰδίᾳ παραδεξάμενος παίδευσιν καὶ μόνα, ἃ ἤκουσεν, παρέχων θαυμάσιος, ἀλλὰ πρὸς τούτοις ἕτερα γεννήσας, θαυμάσια δέ, καὶ ὁ ἃ ἔμαθεν προενεγκεῖν διὰ γλώττης δυνάμενος· εἰσὶν γὰρ οἱ πρὸς τοῦτο ἀδυνατοῦντες ἑαυτοὺς μόνους καὶ οὐχ ἑτέρους ὠφελεῖν δυνάμενοι. Εἰ δὲ δύναται τὸ διδάσκειν καὶ ἀναγγέλλειν εἶναι διάφορα, ἐπίσκεψαι, ὡς τοῦ μὲν διδάσκειν ἀποδείξεις ἐπάγοντος, **24** τοῦ δὲ ἀναγγέλλειν διήγησιν περιέχοντος τῶν σαφῶν, ἐξ ὧν τὰ ἀσαφῆ γνωρίζεται. Ὅτι δὲ ἐκ καρδίας οἱ λογισμοὶ τὰ ῥήματα παραπέμπουσιν, ἐκ τοῦ ἐναντίου ὁ Σωτήρ φησιν· «ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροί»[5]. Εἰ δὲ καὶ τὸ ἐξάξαι ῥήματα τὸ εἰς ἔργα αὐτὰ μεταβαλεῖν λέγοις, οὐκ ἂν ἁμάρτοις ἄλλων ἐκ παραλλήλου ἀκουόντων τοῦ ἐξάξαι καὶ ἀναγγεῖλαι.

«Μὴ θάλλει πάπυρος ἄνευ ὕδατος, ἢ ὑψωθήσεται βούταμον ἄνευ πότου; Ἔτι ὂν ἐπὶ ῥίζης καὶ οὐ μὴ θερισθῇ[6].

Εἰπών, ὅτι παρὰ τῶν παλαιῶν καὶ πατέρων ἡ διδασκαλία τοῖς μεταγενεστέροις παραγίνεται, ἐκ παραβολῆς, αὐτὸ παρασκευάζει φάσκων ὅτι· ὡς ἄνευ ὕδατος πάπυρος οὐ θάλλει οὐδὲ ὑψοῦται βούταμον

---

1. Ἐκκλ. 1,2. 2. Α' Ἰω. 3,17. 3. Πρβλ. Ἄσμ. 8,7. 4. Ἰὼβ 8,10. 5. Ματθ. 15,19. 6. Ἰὼβ 8,11-12.

μὴ ἀρδευόμενον, ἕως ἔτι ἐπὶ γῆς ἐστιν — οὕτω γὰρ αὐτὰ συμβήσεται μηδὲ θερίζεσθαι —, οὕτως ἀδύνατον μὴ δεχόμενον ἐν διανοίᾳ ὠφέλειαν τῶν κρειττόνων καρπὸν προενεγκεῖν ὠφέλιμον. Δύναται δὲ καὶ περὶ τῶν ἀνθρωπίνων πραγμάτων λέγειν, ὅτι καθάπερ ὑπὸ ὕδατος ὑπὸ τῆς προ-
5 νοίας ταῦτα ἄρδεται, ἧς μὴ ἐπιούσης αὐτὰ ῥᾳδίαν καὶ εὐμάραντον ἕξει τὴν διάλυσιν. Κἂν οὖν τις ἀνιαροῖς περιπέσῃ, εἶτα πάλιν μεταβολὴν ἔχῃ ἐκ τούτων, προνοίᾳ τοιοῦτον γεγένηται. 'Εὰν δὲ καὶ τὴν δοκοῦσαν ἀνθρωπίνην ῥίζαν ἔχῃ τὰ γιγνόμενα ὑπ' ἀνθρώπων, οὐχ ἕξει ὑπόστασιν μὴ τῆς προνοίας αὐτὰ διοικούσης. Τούτῳ ὅμοιον καλῶς
10 παρὰ τοῦ ψαλμῳδοῦ εἰρημένον· «ἐὰν μὴ ὁ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες αὐτόν»[1].

«Πρὸ τοῦ πιεῖν πᾶσα βοτάνη ξηρανθήσεται»[2].

Ταὐτὸ τῷ προτέρῳ τοῦτο ἐπὶ πάσης βοτάνης λεγόμενον. Λέγοι
15 οὖν, ὅτι, κἂν μικρὸν κἂν μέγα ᾖ, τὸ ἐν τῷ βίῳ ὑπὸ πρόνοιάν ἐστιν, ξηραινόμενον, εἰ μὴ αὕτη ἐφοπτεύοι.

Οὕτως τοίνυν ἔσται πάντα τὰ ἔσχατα τῶν ἐπιλανθανομένων τοῦ Κυρίου[3].

Λέγει τι ἔνδοξον ἀπὸ ἐννοίας οὐκ ἀπολειπομένης ἐντρεχείας,
20 ὅτι ὥσπερ τὰ φυτὰ μὴ ἀρδευόμενα ὑπὸ ὕδατος ξηραίνεται, οὕτω
28 τὰ ἀνθρώπινα πράγματα ἔξω προνοίας γιγνόμενα ὑπόστασιν οὐκ ἔχει. Εἰ δὲ καὶ οὗτος ἔσχατα λέγει ἔννοιαν ἔχων περὶ τοῦ μέλλοντος αἰῶνος, συνεπίσκεψαι· οὐ γὰρ ἀναντι⟨ρ⟩ρήτως οἱ ἐπιλανθανόμενοι τοῦ Κυρίου τοιούτοις κατὰ τὸ αἰσθητὸν ἐσχάτοις περιτεύξονται τῷ περί
25 τινων εὐετηρίᾳ διαγόντων εἰρῆσθαι· «ἐν δὲ ἀναπαύσει ᾅδου ἐκοιμήθησαν»[4].

'Ελπὶς δὲ ἀσεβῶν ἀπολεῖται[5].

Τῷ ὄντι ἡ τῶν ἀσεβῶν ἐλπὶς οὐ περὶ ὑφεστηκότα γίνεται. 'Η γὰρ ἐλπὶς οὐδὲν [οὐδεν] ἕτερόν ἐστιν κατὰ γένος ἢ προσδοκία ἀγαθῶν.
30 Καὶ ⟨ὁ⟩ φοβούμενος δὲ προσδοκᾷ, ἀλλ' οὐκ ἀγαθά· κακῶν γὰρ προσδοκία ἐστὶν ⟨ὁ⟩ φόβος, ἀγαθῶν δὲ ἡ ἐλπίς. 'Επεὶ οὖν οὐχ ὑφεστηκότα πράγματα οἱ ἀσεβεῖς προσδοκῶσιν, ἀπόλλυται αὐτῶν ἡ ἐλπίς· ὡς γὰρ μένουσιν τοῖς ἠδέσιν χρῶνται, καὶ ἐν τούτῳ ματαίαν ἔχουσιν ἐλπίδα. Ἔχεις τοῦτο ἐν Παροιμίαις τῇ μὲν λέξει πολὺ διαφέρον, συνᾴδον
35 δὲ τῷ νῦν λεγομένῳ· «ἀποθανὼν δίκαιος ἔλιπεν 30 μετάμελον»[6]· ἂν γὰρ ἀποθάνῃ ὁ δίκαιος, εὑρίσκει τὰ προσδοκώμενα καὶ οὐ μετεμελήθη πονέσας ὑπὲρ αὐτῶν. 'Ενταῦθα μὲν οὖν εἴρηται· «ἐλπὶς ἀσεβῶν

---

1. Ψαλ. 126,1. 2. Πρβλ. 'Ιὼβ 8,12. 3. 'Ιὼβ 8,13. 4. 'Ιὼβ 21,13. 5. 'Ιὼβ 8,13. 6. Παρμ. 11,3.

(ἀπ)όλλυται»[1], ἐν δὲ τῷ Ἡσαΐᾳ· «ἐλπὶς τῷ εὐσεβεῖ»[2]. Οἱ δὲ «ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες μόνον»[3] καὶ «λέγοντες· φάγωμεν καὶ πίωμεν»[4], ματαίαν καὶ κενὴν ἔχουσιν ἐλπίδα πρὸς τὰ βλεπόμενα ταύτην τεινοντες. Φυσικώτατα δὲ ὁ Παῦλός φησιν· «ἐλπὶς δὲ βλεπομένη οὐκ ἔστιν ἐλπίς· ὃ γὰρ βλέπει τις, τί καὶ ἐλπίζει;»[5].

Ἀοίκητος δὲ αὐτοῦ ἔσται ὁ οἶκος[6].

Πρὸς τὸ αἰσθητὸν τοῦτο οὐ πάντως ἐστὶν ἀληθές. Δῆλον δέ ἐστιν, ὅτι ὁ τοὺς Ἰησοῦ λόγους εἰς ἔργα μεταβαλὼν μένουσαν οἰκίαν οἰκοδομεῖ[7]· αὕτη δέ ἐστιν ἡ ἀρετή, ἧς ὁ ἀντεχόμενος οὐδέποτε ἔξει τὴν οἰκίαν ταύτην ἀοίκητον· δεῖ γὰρ τὸν δίκαιον μένειν ἐν τῇ αὐτοῦ ἀρετῇ· «ἡ δικαιοσύνη» γὰρ «αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος»[8]. Ἐπειδὴ δὲ ἀνυπόστατός ἐστιν ἡ κακία, διὰ τοῦτο ἄοικός ἐστιν ὁ φαῦλος ἄ[ν]τακτος ὑπάρχων ἀεὶ καὶ οὐδὲν ἔχων ἑδραῖον διὰ τὸ καὶ τὴν κακίαν αὐ32τὴν εἶναι παρακολούθημα· εἰ δέ τις καὶ περὶ τοῦ ἀγαθοῦ τοῦτο λέγοι φάσκων, ὅτι καὶ τὴν ἀρετὴν ἄνθρωποι ἐκ σπουδῆς κτῶνται, ἀλλ' ὑφέστηκεν αὐτὸ τὸ ἀγαθόν. «Ἀοίκητος» οὖν «ἔσται τοῦ ἀσεβοῦς ὁ οἶκος»[9]· φανερῶς γὰρ ἡ ἀλήθεια διαλύει τὴν ἀπάτην.

Ἀράχνη δὲ αὐτοῦ ἀποβήσεται ἡ σκηνή[10].

Ἡ ἀράχνη ποικιλίαν ἐπιδείκνυται ἐξ ὑφάσματος φυσικοῦ κατεσκευασμένην, ἥτις ῥᾷστα διαλύεται ἐπιψαύσαντός τινος. Τὰ τῶν φαύλων οὖν ἔργα καὶ ἡ κατασκευὴ τῆς πολιτείας ἀράχνῃ ἔοικεν οὐχ ὑφισταμένῃ. Καὶ ἐν Ἡσαΐᾳ οὖν λέγεται περὶ τῶν φαύλων κυησάντων ἀνομίαν καὶ λαλούντων ἀδικίαν· «ἱστὸν ἀράχνης ὑφαίνουσιν[11], ὅτι κύουσιν πόνον καὶ τίκτουσιν ἀνομίαν»[12]· διηγεῖται δὲ αὐτῶν καὶ τὴν πρᾶξιν φάσκων. «ᾠὰ ἀσπίδων ἔ⟨ρ⟩ρηξαν καὶ ὁ μέλλων τῶν ᾠῶν αὐτῶν φαγεῖν συντρίψας οὖριον εὗρεν καὶ ἐν αὐτῷ βασιλίσκον· ὁ ἱστὸς αὐτῶν οὐκ ἔσται εἰς ἱμάτιον, ἱστὸν δὲ ἀράχνης ὑφαίνουσιν»[13]. Καὶ ὅρα, ὅτι πρὸς τῷ ἀνυποστάτῳ **34** αὐτῶν καὶ τὸ δολερὸν διὰ τῶν ἀσπίδων σημαίνει. Εἰ μέντοι τις εἴη περιστερὰ κατὰ τὸ λεγόμενον· «τίνες οἵδε; ὡς νεφέλαι πέτανται καὶ ὡς περιστεραὶ σὺν νεοσσοῖς»[14], ἔχοι ἂν ᾠά, ἅπερ διαιρεθέντα εὐγενείας ἕνεκεν παρέχει γόνον ζωτικόν· τὰ δὲ τῶν φαύλων ἁπατῶντα ἀγαθοὺς ὄφεις ἀναιρετικοὺς γεννᾷ, οἵτινες ὑπὸ τοῦ ἁγίου καταπατοῦνται κατὰ τὸν ψαλμὸν λέγοντα περὶ τοῦ τελείου· «ἐπ' ἀσπίδα καὶ βασιλίσκον βήσεις καὶ καταπατήσεις λέοντα καὶ δράκοντα»[15]. Οἱ δὲ τοιοῦτοι οὐχ ἱματίων εἰσὶν ὑφάνται τῶν καλυπτόντων τὴν ἀσχημοσύνην τῆς ἁμαρτίας, ἀλλὰ ἀράχνης ἀνωφελοῦς καὶ εὐδιαλύτου, ὅπερ δηλοῦται καὶ ἐκ

---

1. Πρβλ. Ἰὼβ 8,13. 2. Ἡσ. 24,16. 3. Α' Κορ. 15,19. 4. Ἡσ. 22,13. Πρβλ. Α' Κορ. 15,32. 5. Ρωμ. 8,24. 6. Ἰὼβ 8,14. 7. Πρβλ. Ματθ. 7,24. 8. Ψαλ. 111,9. 9. Πρβλ. Ἰὼβ 8,14. 10. Ἰὼβ 8,14. 11. Ἡσ. 59,5. 12. Ἡσ. 59,4. 13. Ἡσ. 59,5-6. 14. Ἡσ. 60,8. 15. Πρβλ. Ψαλ. 90,13.

τοῦ· «οὐ μὴ περιβάλλωνται ἀπὸ τῶν ἔργων τῶν χειρῶν αὐτῶν»[1] τοῦ σπουδαίου περιβαλλομένου ἀπὸ τῶν ἔργων τῶν χειρῶν ἑαυτοῦ, ὡς παρρησιαζόμενον καὶ εὐχαριστοῦντα λέγειν· «ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσεν γάρ με ἱμάτιον σωτηρίου»[2]· ὅπερ ἱμάτιον προστάττει Παῦλος ἐνδύεσθαι λέγων· «ἐνδύσασθε σπλάγχνα οἰκτιρμοῦ»[3] καὶ τὰ **36** ἑξῆς. Καὶ πάλιν· «ἐνδύσασθε τὸν Κύριον Ἰησοῦν Χριστόν»[4]. Τοῦτο τὸ ἱμάτιον οὐκ ἔστιν ἀράχνη· ἀφθαρσία γάρ ἐστιν καὶ διὰ τοῦτο μένον· τὸ [σ] δὲ τῶν φαύλων ἀνυπόστατόν ἐστιν· κακία γάρ. Διὸ εἴρηται· «ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ καὶ οὐ μὴ εὑρεθῇ δι' αὐτήν»[5]· ἀράχνη γὰρ ἔοικεν..... ... διαλυομένη· διὸ καὶ σκηνήν, ἀλλ' οὐκ οἶκον ἔχει ὡς ὁ τοὺς Ἰησοῦ λόγους φυλάττων.

Ἐὰν ἐπερείσῃ τὴν οἰκίαν αὐτοῦ, οὐ μὴ στῇ[6].

Ὁ ἀσεβὴς γοῦν· ὃς δ' ἂν κομψείᾳ καὶ πιθανότητι μὴ ἀγαθῇ συνιστᾷ τὰ οἰκία ἀπάτης, οὗτος ὑπὸ τῆς ἀληθείας ἐλεγχόμενος οὐ μὴ στῇ, ὡς μηδὲ στάσιν δύνασθαι ἔχειν αὐτοῦ τὴν ἀπάτην.

Ἐπιλαμβανομένου δὲ αὐτοῦ οὐ μὴ ὑπομείνῃ[7].

Ῥᾷστα γὰρ ἡ τῶν φαύλων ἐπίνοια σκηνὴ ὀνομαζομένη καταπίπτουσα εὐάλωτός ἐστιν οὕτως, ὡς μηδὲ δοκεῖν γεγονέναι ποτέ.

Ὑγρὸς γάρ ἐστιν ὑπὸ ἡλίου, καὶ ἐκ σαπρίας αὐτοῦ ὁ ῥάδαμνος αὐτοῦ ἐξελεύσεται[8].

Ὑποτίθεται χαῦνόν τινα εἶναι τὸν βίον τοῦ ἀσεβοῦς ὡς ὑπὸ **38** θέρμης βραχεῖας διαλυόμενον. Οὐ ξενιστέον δέ, εἰ «ὑγρὸς ὑπὸ ἡλίου»[9] λέγεται εἶναι· ἔστιν γάρ, ἃ διαλύεται ὑπὸ ἡλίου ὡς κηρός, ἐπεὶ καὶ ὑπὸ πυρός. Οὕτως οὖν ἔσται ὁ ἀσεβής. Εἴρηται γάρ· «ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός, οὕτως ἀπόλοιντο οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ»[10]. Διυγραινόμενος δὲ ὑπὸ «ἡλίου» — οὐ τοῦ «τῆς δικαιοσύνης»[11], ἀλλ' ἐκείνου, περὶ οὗ λέγεται· «ἡμέρας ὁ ἥλιος οὐ συνκαύσει σε»[12] — ῥάδαμνον ἐξάγει ἐκ κακίας καὶ σαπρίας βλαστῶντα «ὑπ' ἐκείνην» γινόμενος «τὴν φυτείαν, ἣν ὁ πατὴρ οὐκ ἐφύτευσεν, ἥτις καὶ ἐκριζωθήσεται»[13].

Ἐπὶ συναγωγὴν λίθων κοιμᾶται, ἐν δὲ μέσῳ χαλίκων ζήσεται[14].

Τοῦτο λέγει, ὅτι ⟨ὁ⟩ ἀσεβὴς ἀντίθεος εἶναι καὶ ἀντίχριστος εἶναι

---

1. Πρβλ. Ἡσ. 59,6. 2. Πρβλ. Ἡσ. 61,10. 3. Κολ. 3,12. 4. Ρωμ. 13,14. 5. Ψαλ. 9,36. 6. Ἰὼβ 8,15. 7. Πρβλ. Ἰὼβ 8,15. 8. Ἰὼβ 8,16. 9. Ἔνθ' ἀν. 10. Ψαλ. 67,3. 11. Πρβλ. Μαλ. 3,20. 12. Ψαλ. 120,6. 13. Πρβλ. Ματθ. 15,13. 14. Ἰὼβ 8,17.

βούλεται. Ὁ μὲν γὰρ Θεὸς ἐν ναῷ καὶ Χριστὸς οἰκεῖ κατὰ τὸ εἰρημένον· «οὐκ οἴδατε, ὅτι ναὸς Θεοῦ ἐστε καὶ τὸ πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν;»[1]. Καὶ πάλιν λέγεται· «ἐάν τις ἀγαπᾷ με, ἐλευσόμεθα ἐγὼ καὶ ὁ Πατὴρ καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα»[2]· **40** Χριστοῦ γὰρ οἶκός ἐσμεν ἡμεῖς, ἐὰν τὴν παρρησίαν καὶ τὸ καύχημα μέχρι τέλους βεβαίαν κατάσχωμεν»[3]. Οἶκος δέ ἐστιν λίθων σύνθεσις κατὰ τέχνην πρὸς ἑτέροις ἕνωσιν ἔχων· τοιοῦτον δὲ ἡ ἀρετὴ καὶ ἡ ἀγνότης καὶ αὐτὴ ἡ μετουσία τοῦ ἑνός. Ἐσκορπισμένον δέ τί ἐστιν ἡ συναγωγὴ τῶν λίθων καὶ ἡ μίξις τῶν χαλίκων, παραπλησίον τῇ κακίᾳ τῇ μὴ ἐχούσῃ ἕνωσιν, ἀλλ' ἀταξίαν. Ὁ ἀσεβὴς οὖν πᾶσαν τὴν διαγωγὴν ἐν οἴκῳ κακίας ἔχει διαλελυμένος κατὰ τοὺς ἔξω οἰκοδομῆ⟨ς⟩ λίθους, οἳ οὐχ ἁρμόζουσιν «τῇ οἰκοδομῇ τοῦ πύργου» κατὰ τὸν Ποιμένα[4].

Ἐὰν καταπίῃ, ὁ τόπος ψεύσεται αὐτόν[5].

Εἰ καὶ τὰ τούτου ῥήματα, ὅσα ἐντρεχῆ ὑπάρχει, ὑπάγωμεν διανοία⟨ι⟩ς, ὧν εἰσι πλησίον αἱ ὑπὸ σπουδαίων εἰρημέναι, οὐ δεῖ ξενίζεσθαι. Εἶπεν γάρ· «ἐπερώτησον γενεὰν πρώτην, ἐξιχνίασον δὲ κατὰ γένος πατέρων»[6], ὡς καὶ αὐτὸς ἀπ' αὐτῶν μαθών· καὶ μὴ διόλου σώζει τοὺς λογισμοὺς διὰ τὸ μὴ οἴεσθαι, εἰ μὴ δι' ἁμαρτίας, μὴ περιπίπτειν ἀνιαροῖς τινα.

42 Τὸ «καταπίῃ» οὖν πολλάκις ἐπὶ νίκης ἐν τῇ Γραφῇ λαμβάνεται ὡς τό· «κατεπόθη Ἰσ[δ]ραήλ, ἐγένετο ἐν τοῖς ἔθνεσιν ὡς σκεῦος ἄχρηστον»[7], τουτέστι νενίκηται. Καὶ πάλιν· «ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ' ἡμᾶς, ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς;»[8] καὶ πάλιν· «ἵνα καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς»[9]. Λέγεται οὖν καὶ περὶ τῶν σοφιστῶν καὶ τῶν πρεσβευόντων τὰς «σοφίας τοῦ αἰῶνος τούτου» καὶ τῶν «ἀρχόντων αὐτοῦ»[10]· «κατεπόθησαν ἐχόμενα πέτρας οἱ κραταιοὶ αὐτῶν»[11]· ποίας δὴ πέτρας ἢ τοῦ Χριστοῦ; «Ἡ γὰρ πέτρα ἦν ὁ Χριστός»[12]. Οὕτω καὶ «ἡ ῥάβδος Ἀαρὼν τὰς ῥάβδους τῶν ἐπαοιδῶν τῶν Αἰγυπτίων κατέπιεν»[13], συμβολικῶς δεικνυμένου, ὅτι «τὰς ψευδωνύμους γνώσεις»[14] ἡ τῆς ἀληθείας ὁμολογία νικᾷ. Ἐὰν οὖν «καταπίῃ» καὶ ἄρξῃ νικᾶν, «ὁ τόπος», ὃν ἐπέχει διὰ «τῆς συναγωγῆς τῶν λίθων», «ψεύσεται αὐτόν»[15], ἀνυπόστατος ὢν κατὰ τὸ εἰρημένον· «καὶ ἡ ἀδικία ἐψεύσατο ἑαυτὴν»[16] διὰ τὸ μὴ ἔχειν ἀσφαλὲς πεῖσμα. Ὑπὸ τοῦ [τε] αὐτῆς ἐξάρχοντος λέον**44**τος καταποθέντων «τῶν δύο σκελῶν καὶ τοῦ λοβοῦ τοῦ ὠτίου»[17] ὁ διὰ τὴν σωτηρίαν ἐλθὼν αὐτὰ ἐξέσπασεν διορθωσάμενος τὰς διαβατικὰς ἡμῶν δυνάμεις καὶ τὴν παρακοήν. Λέγεται δὲ πολλάκις

---

1. Α' Κορ. 3,16. 2. Πρβλ. Ἰω. 14,23. 3. Πρβλ. Ἑβρ. 3,6. 4. Πρβλ. Ποιμὴν Ἑρμᾶ, Ὅρασ. γ' 2-7. ΒΕΠ 3,43-46. 5. Ἰὼβ 8,18. 6. Ἰὼβ 8,8. 7. Ὡσ. 8,8. 8. Ψαλ. 123,2-3. . 9. Β' Κορ. 5,4. 10. Πρβλ. Α' Κορ. 2,6. 11. Ψαλ. 140,6. 12. Πρβλ. Α' Κορ. 10,4. 13. Πρβλ. Ἐξ. 7,12. 14. Πρβλ. Α' Τιμ. 6,20. 15. Πρβλ. Ἰὼβ 8,17-18. 16. Πρβλ. Ψαλ. 26,12. 17. Πρβλ. Ἀμ. 3,12.

ὁ τόπος καὶ ἀντὶ βαθμοῦ[ς] καὶ τάξεως· «ἀφ' οὗ 'Ιούδας παρέβη»[1]. Οὕτω δὲ καὶ ἐπὶ ψεκτοῦ, ὃς καὶ ψεύδεται τὸν χρώμενον οὐδὲν αὐτῷ βέβαιον προξενῶν.

Οὐχ ἑόρακας τοιαῦτα, ὅτι καταστροφὴ ἀσεβοῦς τοιαύτη;[2]

Καὶ αὐτὸν ἐπάγεται μάρτυρα τῶν προειρημένων ἁπάντων περὶ τοῦ ἀσεβοῦς, ἃ καὶ καταστροφὴν ἀσεβοῦς ὠνόμασεν, διότι οὐ μένει, ἐφ' οἷς κομπάζει, μεταπιπτ⟨όντ⟩ων αὐτῷ τούτων. Τοῦτο δηλοῦται ἐκ τοῦ· «μὴ φοβοῦ, ὅταν πλουτήσῃ ὁ ἄνθρωπος καὶ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ, ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήμψεται τὰ πάντα, οὐδὲ συνκαταβήσεται αὐτῷ ἡ δόξα» τοῦ ⟨οἴκου⟩ «αὐτοῦ»[3]. Καὶ ἡ μὲν ἔνδειαι ἢ εὐ⟨ε⟩τηρίαι ἀντιμεταβάλλουσαι οὐδὲν μὲν ποιοῦσιν· τῶν γὰρ ἀδιαφόρων εἰσίν. Ὁ δὲ ἄχρι τέλους ἐν κακίᾳ διαμένων μεγάλην ἕξει τὴν καταστροφήν.

46 Ἐκ δὲ γῆς ἄλλον ἀναβλαστήσει· οὐ γὰρ ὁ Κύριος οὐ μὴ ἀποποιήσεται τὸν ἄκακον[4].

Ἐμφαίνει, ὅτι οὐκ, ἐὰν ὁ ἀσεβὴς καταστροφὴν ὑπομείνῃ, οὐχ οἱ πάντες ἀπώλοντο· ἔσται γὰρ σπουδαῖος ἀναθάλλων. Οὐ γὰρ ἀποστραφήσεται ὁ Θεὸς τὸν ἄκακον, τουτέστιν οὐκ ἐκλείψει παντελῶς δικαιοσύνη. Ἄκακον ἐνταῦθα λέγει τὸν μὴ ἔχοντα κακίαν, οὐ τὸν εὐήθη· ἀμφότερα γὰρ σημαίνει τὸ ὄνομα. Ὅταν γὰρ λέγῃ περὶ τῶν αἱρετικῶν, ὅτι «διὰ τῆς χρηστολογίας καὶ εὐλογίας ἐξαπατῶσιν τὰς καρδίας τῶν ἀκάκων»[5], ἀκάκους λέγεις τοὺς εὐήθεις, τοὺς βραδεῖς τὴν νόησιν. Καὶ πάλιν· «ἄκακοι καὶ εὐ[η]θεῖς ἐκολλῶντό μοι»[6], ὅπερ τοὺς δικαίους σημαίνει, τοῦ «ἄκακος πιστεύει παντὶ λόγῳ»[7] δηλοῦντος τὸν ἀνεξέλεγκτον καὶ μὴ δυνάμενον φωρᾶσαι τὸ ἐν τοῖς λόγοις ψεῦδος παντὶ πιθανῷ πιστεύ⟨οντα⟩. Καὶ ὁ λέγων δέ· «ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου»[8] τὴν ἀρετὴν σημαίνει.

Πᾶν δὲ δῶρον ἀσεβοῦς οὐ δέξεται[9].

Κατάλληλον τῷ Κυρίῳ τῷ μὴ ἀποποιουμένῳ τὸν ἄκακον τὸ μηδὲν τῶν δώρων τοῦ ἀσεβοῦς προσδέ**48**χεσθαι. «Οὐκ ἀγαθαὶ γὰρ εὐχαὶ ἀπὸ μισθώματος ἑταίρας»[10], καὶ «ὁ ἁμαρτωλὸς θύων μοι μόσχον ὡς ὁ ἀποκτέννων κύνα»[11]. Παρατηρητέον δέ, ὅτι τὸ «πᾶν δὲ δῶρον»[12] ἀντὶ τοῦ οὐδὲν δῶρον εἴρηται κατὰ γραφικὴν συνήθειαν, ὡς ὅταν λέγῃ ἐν τῷ προφήτῃ Θεός· «ἐὰν μίαν ἁμαρτίαν ποιήσῃ ὁ δίκαιος,

---

1. Πρβλ. Πράξ. 1,25. 2. 'Ιὼβ 8,18-19. 3. Ψαλ. 48,17-18. 4. 'Ιὼβ 8,19-20. 5. Ρωμ. 16,18. 6. Ψαλ. 24,21. 7. Παρμ. 14,15. 8. Ψαλ. 40,13. 9. 'Ιὼβ 8,20. 10. Πρβλ. Παρμ. 19,13. 11. Πρβλ. 'Ησ. 66,3. 12. 'Ιὼβ 8,20.

πᾶσαι αἱ δικαιοσύναι αὐτοῦ οὐ μὴ μνησθήσονται»[1], ἀντὶ τοῦ οὐδεμία.

Ἀληθινῶν δὲ στόμα ἐμπλήσει γέλωτος[2].

Δι' ὅλου τοῦ βιβλίου μνημονεύει τοῦ ἀληθινοῦ ἐπὶ τοῦ δικαίου. Οὕτω γοῦν καὶ αὐτὸς ὁ Ἰὼβ ἐν ἀρχῇ μεμαρτύρηται, ὅτι «ἀληθινὸς» ἦν «ἀπεχόμενος ἀπὸ πονηροῦ πράγματος»[3]. Καὶ τῷ ὄντι ἀληθινός ἐστιν ἐκεῖνος ὁ μὴ ὑποκρινόμενος μηδ' ἐπιμορφαζόμενος τὴν ἀρετήν, ὁ μὴ ὑποκρινόμενος σωφροσύνην, ἀλλ' ὁ σώφρων, ὁ τὸ «δίκαιον δικαίως δι⟨ώκ⟩ων»[4]. Τούτων οὖν «τῶν ἀληθινῶν ἐμπλήσει γέλωτος τὸ στόμα Θεός»[5]. Καὶ ἔστιν ἐκ τούτου ἐπιβαλεῖν, μήποτε καὶ οὗτος κατὰ τὸ «ἐπερώτησον γὰρ γενεὰν πρώτην»[6] μαθὼν ἦν περὶ μέλλοντος αἰῶνος κατὰ **50** τὸ εἰρημένον ἐν εὐαγγελίῳ· «μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσονται»[7]. Διττὸς γὰρ ὁ γέλως, ὁ μὲν σὺν ἡδονῇ φαῦλος τυγχάνων, ὃν καὶ διαδέχεται κλαυθμός, ὁ δὲ δῶρον τοῦ Πνεύματο⟨ς⟩ χαρὰ ὑπάρχων[8], ὅστις ἐν τῷ μέλλοντι βίῳ τοῖς κλαύσασιν νῦν ἀποδοθήσεται. «Μακάριοι» γὰρ «οἱ κλαίοντες νῦν, ὅτι γελάσονται»[9], ἀπεντεῦθεν τούτου τὸν ἀ⟨ρ⟩ραβῶνα ἔχοντες διὰ τὴν ἀρετήν· τούτου πεῖραν, ὡς ἔφην, ἀπεντεῦθεν λαβὼν ὁ ἅγιος ἔλεγεν· «ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοῦ, διέρρηξας τὸν σάκκον μου καὶ περιέζωσάς με εὐφροσύνην»[10]. Τούτου παράδειγμα Λάζαρο⟨ς⟩ ἐνταῦθα μὲν κλαίων διὰ τῆς κακοπαθείας, ἐν δὲ τοῖς κόλποις Ἀβραὰμ ἀναπαυόμενος[11]· ὁ δὲ πλούσιος γελῶν δι' ἡδονῆς ἔκλαυσεν ἐν κολάσει βασανιζόμενος πικρῶς ἐπὶ τ⟨ῷ⟩ εἰρημέν⟨ῳ⟩ γέλωτ⟨ι⟩· προετίμησεν θεοποιῶν αὐτὸν τρόπον τινά, καθὰ καὶ ἕτεροι τὴν κοιλίαν, περὶ ὧν λέγεται· «ὧν ὁ Θεὸς ἡ κοιλία»[12]. Εἴρηται γοῦν καὶ περὶ τοῦ γέλωτος· «ἀρθήσον**52**ται βωμοὶ τοῦ γέλωτος, ἁμαρτήματα τοῦ Ἰσ[δ]ραήλ»[13]. Αἱ γὰρ περὶ τὰ πάθη καὶ τὰς ἡδονὰς σπουδαὶ τοῦ γέλωτός εἰσι βωμοί· ἀναθυμιῶντες αὐτὰ τὰ πάθη ἑαυτῶν.

ΚΕΦΑΛΑΙΟΝ Θ'

Ἀπὸ τοῦ σημείου τούτου καὶ μέχρι τῆς σελίδος 240 τοῦ παπύρου ἔνθα ἄρχεται ἡ ἑρμηνεία τοῦ κεφ. 9,10 τοῦ βιβλίου τοῦ Ἰὼβ ὑπάρχει χάσμα. Ἐκ τοῦ ἐλλείποντος κειμένου ἓν μόνον ἀπόσπασμα διεσώθη εἰς σειρὰς τὸ ἀναφερόμενον εἰς τοὺς λόγους τοῦ Ἰὼβ «ὁ παλαιῶν ὄρη καὶ οὐκ οἴδασιν»[14]. Ὁ Δίδυμος ἑρμηνεύει ὡς ἑξῆς:

Οἷα λέγει ἄνθρωπος νοσῶν, εἱλκωμένος, ὄστρακον ἔχων καὶ τὸν ἰχῶρα ξέων, ἄνθρωπος ἐπὶ κοπρίας καθεζόμενος[15]· «ὁ παλαιῶν ὄρη καὶ οὐκ οἴδασιν»[16]. Τίνες οὖν εἰσιν οἱ λόγοι, ἴδωμεν, καὶ περὶ ποίων ὀρέων παλαιουμένων καὶ ὑπ⟨ὲρ⟩ τίνων· «καὶ οὐκ οἴδασιν»[17].

---

1. Πρβλ. Ἰεζ. 18,24. 33,13. 2. Ἰὼβ 8,21. 3. Ἰὼβ 1,1. 4. Πρβλ. Δευτ. 16,20. 5. Πρβλ. Ἰὼβ 8,21. 6. Ἰὼβ 8,8. 7. Λουκ. 6,21. 8. Πρβλ. Γαλ. 5,22. 9. Λουκ. 6,21. 10. Ψαλ. 29,12. 11. Πρβλ. Λουκ. 16,20-23. 12. Φιλιπ. 3,19. Πρβλ. Ρωμ. 16,18. 13. Πρβλ. Ὡσ. 10,8 Ἀμ. 7,9. 14. Ἰὼβ 9,5. 15. Πρβλ. Ἰὼβ 2,8. 16. Ἰὼβ 9,5. 17. Ἔνθ' ἀν.

«Ὁ ποιῶν μεγάλα καὶ ἀνεξιχνίαστα ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός[1].

Ὁ μέγας μεγάλα ποιεῖ ἀναγκαίως· οὐκ ἀνάγκη δὲ τὸν ποιοῦντα μεγάλα μὲν μέγαν εἶναι. Οὐ γὰρ ἀντιστρέφει. Μεγάλα γοῦν ποιοῦντες οἱ μαθηταὶ[2] παρὰ τοῦ μεγάλου Θεοῦ αὐτὰ εἶχον. Ἵνα **54** καὶ ἀνθρωπίνῳ χρήσωμαι παραδείγματι, λέγω, ὅτι ὁ γραμματικὸς γραμματικῶς γράφει· οὐ πάντως δὲ πᾶς ὁ γράφων ὀρθῶς ἀπὸ τῆς γραμματικῆς αὐτὸ ἔχει, ἀλλὰ καὶ ἀπὸ τύχης καὶ συνηθείας. Ἐμφαίνει οὖν κατὰ τὸ μέγεθος, ὅτι μόνος, ἃ ποιεῖ, μεγάλα ποιεῖ, ὃς μέγας ἐστίν· ἀναλόγως δὲ καὶ κατὰ τὴν ἡμετέραν δύναμιν ἐκ μεγέθους τῶν κτισμάτων θεωροῦμεν Θεὸν καὶ αὐτοῦ τοῦ Θεοῦ ἔννοιαν δεχόμεθα. Ἔλεγεν δὲ τοῦτο, ἵνα οἱ φίλοι οἱ μίαν αἰτίαν πόνων νομίζοντες ἐννοήσωσιν, ὅτι ὁ ποιῶν μεγάλα καὶ φοβερὰ καὶ βαθέα κρίματα ἔχει καὶ ἀνεξιχνίαστα, ἅπερ καὶ ἔνδοξά ἐστιν, ὡς λέγειν δόξης πεπληρωμένα. Τούτῳ ὅμοιον καὶ Παῦλος γράφει λέγων· «ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ· τίς γὰρ ἔγνω νοῦν Κυρίου;»[3]. Καὶ ἐν ψαλμοῖς δέ ἐστιν τὸ παραπλησίον· «τὰ κρίματά σου ἄβυσσος πολλή»[4]. Τίς γὰρ ἐπιστήσας οὐρανῷ, ἡλίῳ, σελήνῃ, ἀστράσιν καὶ ταῖς τούτων κινή**56**σεσιν οὐ θαυμάσει τὸν δημιουργόν; Εἰ δὲ καὶ εἰς τὸ καθ' ἕκαστον διέλθοις ἄχρι τῶν μικροτάτων αὐτοῦ, ὡς τοῦτο διδάσκει τό· «ἴθι πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρὲ»[5] καὶ τὰ ἑξῆς, ὑπερθαυμάσεις τὴν τοῦ Θεοῦ σοφίαν.

«Ἐὰν ὑπερβῇ με, οὐ μὴ ἴδω, καὶ ἐὰν παρέλθῃ με οὐδ' ὡς ἔγνων[6].

Τὸ ἀκατάληπτον τῶν Θεοῦ κριμάτων καὶ ἐνταῦθα σημαίνει· καὶ γὰρ ἀνθρώπῳ μᾶλλον δὲ γεννητῇ φύσει, ταῦτα καταλαβεῖν ἀμήχανον ἰδίᾳ ἐπιβολῇ. Τοῦτο δὲ ..... αὐτῷ ....ω τοῦτο ὁ ἅγιος ..... ελθον....ις τὴν νόησιν, ὅπως ἐκ τοῦ μὴ δύνασθαι τὰ Θεοῦ κρίματα καταλαμβάνειν καὶ περὶ αὐτοῦ ἐνθυμηθῶσιν καὶ τῶν συμβάντων αὐτῷ ὡς οὐκ ἐκλημπτῶν καὶ ὅπως ἀπόσχωνται τοῦ μίαν αἰτίαν περὶ τὰ συμβάντα λογίζ⟨ε⟩σθαι. [Εἴτε οὖν] Εἴτε οὖν, φησίν, ὑπερβαίνοι με εἴτε παρέλθοι [με] ὁ Κύριος οὕτως ὥστε καὶ πλησίον μου αὐτὸν εἶναι, οὐ δύναμαι γνῶναι ὑπὸ τοῦ ἐμοῦ ⟨ν⟩οῦ τοῦ γινομένου ἀνθρώποις. Λαθεῖν γάρ τις θέλων τινὰ καὶ **58** ὑπερβαίνων αὐτὸν καὶ παρερχόμενος οὐχ ἱκανῶς λήσεται. Δυνατὸν δὲ καὶ λέγειν, ὅτι εἴ τε [συ]τὰ ὑπὲρ γῆς ἐμοὶ πλησίον γένοιτο, γνῶναι δύναμαι καθ' ἡμετέραν ἐπιβολήν· πῶς γὰρ ἡ τοῦ οὐρανοῦ καὶ τῶν ἐν αὐτῷ γίνεται οἰκονομία, ἐμοὶ ἄγνωστον· εἴ τε εἰς τὰ γήϊνα πάλιν ἔλθω Θεοῦ με παρερχομένου καὶ

---

1. Ἰὼβ 9,10. 2. Πρβλ. Πράξ. 5,12 κ.ἀ. 3. Ρωμ. 11,33-34. 4. Ψαλ. 35,7. 5. Παρμ. 6,6. 6. Ἰὼβ 9,11.

τρόπον τινὰ ἐνγυμνάζοντός με ἐν αὐτοῖς, οὐδὲ οὕτως αὐτάρκης ἐγὼ εἰς τὸ γνῶναι.

Ἐὰν ἀπαλλάξῃ, τίς ἀποστρέψει; Ἢ τίς ἐρεῖ αὐτῷ· τί ἐποίησας; Αὐτὸς γὰρ ἀπέστραπται ὀργῇ[1].

Τὸ ἀπαλλάξαι ἐπὶ παντὸς λαβεῖν πράγματος δυνατόν, οὗ τελεσιουργεῖ Θεός· εἴ τε γὰρ διαλῦσαι τὸ ἀνθρώπινον ζῆν ἐθέλοι, τίς ἀποστρέψαι δύναται αὐτοῦ τὸ θέλημα; Εἴ τε ἀνιαρὰ ἐπαγαγεῖν ἢ παῦσαι ταῦτα, καθόλως οὐδὲν τῶν παρ' αὐτοῦ γινομένων δύναται κώλυμα ὑποσχεῖν οὐδενὸς σθένοντος εἰπεῖν αὐτῷ· «τί ἐποίησας;»[2] κατὰ τὸν ἀποστολικὸν λόγον· «μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι· τί με ἐποίησας οὕτως;»[3] .....σθωσαν οἱ βλασφήμως λέγοντες **60** αὐτῷ· «τί ἐποίησας;» Οὐ γὰρ ....σιν τὸ λόγιον, ἀλλ' ἐπιδ..... ..ξιν αὐτοῦ ἀξίαν τοῦ α.... «τί ἐποίησας;»[4]. Οἱ γὰρ ἐξ ὀλιγωρίας τὰ πικρὰ λογιζόμενοι μὴ ἐπιστάμενοι αὐτῶν τὸν σκοπὸν βλασφήμως λέγουσιν· «τί ἐποίησας;»[5] κατὰ τὸν ἄφρονα ἐν καρδίᾳ ἑαυτοῦ λέγοντα· «οὐκ ἔστιν Θεός»[6]. Ἐπάγει δὲ καὶ τὴν αἰτίαν τοῦ μὴ δύνασθαί τινα εἰπεῖν αὐτῷ. «Τί ἐποίησας»[7] φάσκων· «αὐτὸς γὰρ ἀπέστραπται ὀργῇ»[8]· κρίματι γὰρ ὀργῆς τὴν ἀποστροφὴν πεποίηται. Εὐγνωμόνως γοῦν τις τοῦτο ἐπιγιγνώσκων εἶπεν· «ὀργὴν Κυρίου ὑποίσω, ⟨ὅ⟩τι ἥμαρτον αὐτῷ»[9]. Ὀργῇ οὖν ἀποστρέφεται τὸν ἄξιον· ὁ δὲ δίκαιος οὐκ ἄξια ὀργῆς ἔχει, οὐκ ἄρα ἀπέστραπται τὸν δίκαιον. Κἂν γε πάθῃ ὁ δίκαιος, οὐχ ὑπ' ὀργῇ ἐστιν, ἀλλ' ἀγῶνα ὑφίσταται. Φέρε γάρ, εἰ τύπτοιτ⟨ό τ⟩ις ἀγωνιζόμενος, ἕτερος δὲ κεκλοφώς, μὴ ὁ αὐτὸς τρόπος ἐστὶν τῶν πληγῶν· οὕτω κἂν ἀνιαρὰ δικαίῳ καὶ φαύλῳ συμβαίνῃ, οὐ κατ⟨ὰ τ⟩αὐτὸ συ⟨νέ⟩βη, ἀλλ' ὁ μέν **62** ⟨ἐστιν ὑπ'⟩ ὀργῇ, ὁ φαῦλος, λέγω, ὁ δὲ οὐχί, ἀλλὰ μᾶλλον ἀπέστρεψε ἀπὸ τοῦ δικαίου τὴν ὀργήν, νικητὴν αὐτὸν ἀποδεῖξαι βουλόμενος, ὡς τοὺς μάρτυρας καὶ αὐτὸν τὸν Ἰώβ. Τὴν γὰρ ὀργὴν τὴν ἐπὶ φαύλοις πεμπομένην ἀπὸ αὐτοῦ ἀπέστρεψεν ὁ τὴν ἀρετὴν αὐτοῦ φανερῶν.

Ὑπ' αὐτοῦ δὲ ἐκάμφθησαν κήτη τὰ ὑπ' οὐρανόν[10].

Καὶ τῷ τῆς ἱστορίας λόγῳ τοῦτ' ἔστιν ἀληθές· εἰ μὴ γὰρ αὐτὸς αὐτὰ ὑπέταξεν, ἀνύποιστα ἦν ἀνθρώποις ταῦτα. [δὲ] Καὶ ἐν τοῖς ἄλλοις δὲ θηρίοις ἰοβόλοις διαβὰς τῷ λογισμῷ τοῦτο εὑρήσεις. Ἀλλὰ καὶ τὰ πονηρὰ πνεύματα τὰ κήτη ἀλληγορικῶς ὀνομ⟨α⟩ζόμενα αὐτὸς ἔκαμψεν· οὐδὲ γὰρ οἵα τε ἦν ἀνθρωπίνη φύσις πρὸς αὐτὰ μὴ καμφθέντα ὑπὸ Θεοῦ. Εἰκότως δὲ καὶ τὰ ὑπ' οὐρανὸν εἶπεν, ἵνα τὰ πάντα δη-

---

1. Ἰὼβ 9,12-13. 2. Ἰὼβ 9,12. 3. Ρωμ. 9,20. Πρβλ. Ἡσ. 29,16. 45,9. 4. Ἰὼβ 9,12. 5. Αὐτόθι. 6. Ψαλ. 13,1. 7. Ἰὼβ 9,12. 8. Ἰὼβ 9,13. 9. Μιχ. 7,9. 10. Ἰὼβ 9,13.

λώση καὶ τὰ ἐν ἀέρι καὶ ἐν γῇ καὶ ἐν καταχθονίοις. Ἅπαντα γὰρ ὑποτέτακται· «ἐπιστήμη γὰρ ἔστρωται τὸ κῆτος»[1]. Καὶ εἰ μὴ γὰρ Θεὸς συνεχώ64ρησεν, οὐδὲ τῷ Ἰὼβ π..ϊ. ὁ ἀρχέκακος διάβολος. Οὐ γὰρ τῇ ἑαυτῶν ἰώδει προθέσει αἱ ἀντικείμεναι δυνάμεις χρώμεναι ἐπέρχονται. Ἐξουσίαν γὰρ οὐκ ἔχουσιν κακοῦν καὶ ἐπίπονα προσάγειν, εἰ μὴ Θεὸς συνχωρήσοι. Τὴν δὲ κακίαν ὑποβάλλειν ἰδίᾳ ὁρμῇ σπεύδουσιν. Οὕτω γὰρ καὶ κατ' ἰδίαν πρόθεσιν «εἰς τὴν καρδίαν Ἰούδα»[2] τῶν παθῶν αὐτῷ παρεχόντων συνάγει κακὰ ἐκεῖ μένων.

Ἐὰν δέ μου ὑπακούσηται, ἢ διακρινεῖ τὰ ῥήματά μου;[3]

Διδάξαι βούλεται, ὅτι οὐκ, εἴ τι προσευχόμεθα, τοῦτο πάντως καὶ συμφώνως πρὸς τὰ ῥήματα ἡμῶν εἰς διάκρισιν γίνεται τοῦ Θεοῦ. «Τὸ γὰρ τί προσευξώμεθα καθὸ δεῖ, οὐκ οἴδαμεν»[4]. Ὃ οὖν λέγει, τοιοῦτόν ἐστιν, ὅτι, εἰ καὶ ὑπακούσεται, οὐ διακρινεῖ τὰ ἀνθρώπινα ῥήματα οὕτως ἐνκρῖναι, ἀλλὰ τὸ ἑαυτοῦ κρίμα σοφ[οι]ῶς ἐπάξει, καθ' ἡμῶν καὶ φιλάνθρωπος ὑπάρχων καὶ οὐδὲν ἀκρίτως ποιῶν.

Ἐάν τε γὰρ ὦ δίκαιος, οὐκ εἰσακούσεταί μου· τοῦ κρίματος αὐτοῦ δεηθήσομαι[5].

Βεβαιοῖ τὰ προειρημέ66να παιδεύων, ὅτι κἂν τέλειός τις ᾖ[ν] ἐν ἀνθρώποις, ἀλλ' ὁ ὀφθαλμὸ⟨ς⟩ τοῦ Θεοῦ «τὰ τῆς καρδίας ἐρευνῶν»[6] καταλαμβάνει καὶ τὰ ἄδηλα. Τοιοῦτον ὁ ἀπόστολός φησιν· «οὐδὲν ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι· ὁ δὲ ⟨ἀνα⟩κρίνων με Κύριός ἐστιν»[7]· διόπερ τοῦ κρίματος αὐτοῦ δέεται ὁ ἅγιος κατὰ ⟨τό⟩· «πύρωσον τοὺς νεφροὺς καὶ τὴν καρδίαν μου»[8], ὅπερ οὐδεὶς ἁμαρτάνων λέγει. Ἔτι πρὸς τούτοις παιδεύει αὐτοὺς πάλιν τὸ μὴ κατὰ μίαν αἰτίαν ἐκλαμβάνειν τὰ ἐπίπονα, ὑποβάλλων [οτι] ἔννοιαν, ὅτι, ἐάν τις δίκαιος ᾖ καὶ καθ' ὑπόθεσιν εὔχηται τὰ ἡδέα, οὐ πάντως εἰσακούσεται· χρῄζει γὰρ καὶ οὗτος τοῦ Θεοῦ κρίματος. Εἰσί τινες, οἳ ἄνευ ὑποστιγμῆς τὸν στίχον ἀνέγνωσαν, ἵν' ᾖ· δικαίου μου οὐκ εἰσακούσεται [μου]. Ἐπίστησον δ', ὅτι ἔχει λόγον ἡ ἀπόδοσις, ὅτι ἐπεὶ ὁ προειπὼν φίλος ἔλεγεν· «σὺ δὲ ὄρθριζε πρὸς Κύριον δεόμενος· εἰ ἀγαθὸς εἶ καὶ ἀληθινός, δεήσεως ἐπακούσεται»[9], διδάσκων αὐτόν, ὅτι οὐ πάντως τὰ ἡμῖν αἰ68ρετὰ ὁ Θεὸς δίδωσιν, ἀλλὰ τὰ συμφέροντα, ὑποθετικῶς φησιν, ὅτι «ἐὰν γὰρ ὦ δίκαιος, οὐκ εἰσακούσεταί μου»[10]· οὕτω γὰρ νικᾷ τὸ κρίμα. Ὑποθετικῶς δὲ εἶπον διὰ τὸ καὶ τὸ⟨ν⟩ ἅγιον εἰδότα τὸ κρίμα πειθαρχεῖν αὐτῷ καὶ μὴ ἀκαίρως ἀπαιτεῖν αὐτοῦ λύσιν.

---

1. Ἰὼβ 26,12. 2. Πρβλ. Ἰω. 13,2,27. 3. Ἰὼβ 9,14. 4. Ρωμ. 8,26. 5. Ἰὼβ 9,15. 6. Πρβλ. Ρωμ. 8,27. Ἀποκ. 2,23. 7. Α' Κορ. 4,4. 8. Ψαλ. 25,2. 9. Ἰὼβ 8,5-6. 10. Ἰὼβ 9,15.

Ἐάν τε καλέσω καὶ ὑπακούσῃ, οὐ πιστεύω, ὅτι εἰσακήκοέν μου. Μὴ γνόφῳ με ἐκτρίψῃ;[1]

Ἐπεὶ εὐχερὲς καὶ εὔκολον ὑπὸ τοῦ Βαλδὰδ πρὸς τὸν μακάριον Ἰὼβ εἴρηται, ὡς καὶ προείπομεν, τὸ «σὺ δὲ ὄρθριζε»[2] καὶ τὰ ἑξῆς, πρὸς αὐτὴν αὐτοῦ τὴν οὐ μετὰ διακρίσεως εἰρημένην λέξιν ἅπαντᾷ παιδεύων, ὡ⟨ς⟩ οὐ πάντως ὁ εὐχόμενος τεύξεται οὐδὲ «ἀνίπτοις χερσίν»[3] πάντα αἰτεῖν τὸν Θεὸν προσήκει· ὁ γὰρ ὀρθῶς εὐχὴν ἀναπέμπων τῷ Θεῷ ἐκεῖνα ἀξιοῖ λαβεῖν, ἃ αὐτῷ λυσιτελεῖ καὶ ἁρμόζει τῷ χαριζομένῳ. Καὶ γὰρ ἐπεὶ διττὸν τὸ εἶδος τῶν ἀγαθῶν — τὰ μὲν κυρίως ἀγαθά εἰσιν, αἱ ἀρεταί, τὰ δὲ ἡδέα καὶ νενομισμένα ἀγαθά —, **70** οὐ δεῖ αἰτεῖν ἀκαίρως Θεὸν τὰ νομιζόμενα, ἀλλὰ τὰ κυρίως ἀγαθά· Θεοῦ ἐπικρίσει ἢ ἀπαλλαττόμεθα ἀνιαρῶν ἢ ἐν αὐτοῖς ἐνεχόμεθα. Συνετῶς δὲ καὶ τὰ κυρίως ἀγαθά, οἷον χαρίσματα, αἰτεῖ ὁ σπουδαῖος εἰδώς, ὅτι «ἑκάστῳ δίδοται ἡ φανέρωσις ⟨τοῦ πνεύματος⟩ πρὸς τὸ συμφέρον»[4] [τοῦ πνεύματος]. Πολλάκις γοῦν τινες λέγουσιν· πῶς . . . . . λιτευτο . . «χάρισμα ἰάσεως»[5] ἢ ἕτερόν τι, «λόγον» φημὶ «γνώσεως»[6] καὶ τὰ λοιπά; Ἀλλὰ ταῦτα λέγουσιν ἀγνοοῦντες, ὅτι συμφερόντως παρὰ Θεοῦ ταῦτα γίνεται. Οὐ γὰρ πάντες τοῖς ὑπάρχουσιν καλῶς χρῶνται. Πρὸς τὴν τούτων οὖν, τῶν φίλων λέγω, ὑπόλημψιν ἀποκρίνεται παιδεύων πάλιν ὑποθετικῶς, πῶς δεῖ προσεύχεσθαι. Εἰ γάρ, φησίν, καλέσαντός μου διὰ προσευχῆς, ὧν νομίζεται ἡδέων, ὑπακούσῃ, δέος, μὴ διὰ τὸ ⟨μή με⟩ γιγνώσκειν τῶν δοθέντων τὴν αἰτίαν ἀσαφίᾳ καλυπτομένην — τοῦτο γὰρ ὁ γνόφος δηλοῖ — ἐκτρίβων με ᾖ, ὅ ἐστιν ἀποπέμπων τοῦ . . . . **72** . . . . . τος· ὥστε δεόντως δεῖ τὴν πρὸς Θεὸν ποιεῖσθαι παράκλησιν. Ἐὰν γὰρ δῷ Θεὸς τὴν αἴτησιν, οὐ πάντως κατὰ τὸν τρόπον τῆς αἰτήσεως δίδωσιν, ἀλλὰ κατὰ λόγον, ὅντινα οἶδεν συμφέροντα. Ὅτι δὲ ὁ γνόφος τὴν ἀσαφίαν δηλοῖ, ἔστι καὶ ἀπὸ ἄλλων γραφῶν σαφῶς παραστῆσαι· «εἰσῆλθεν», φησίν, «Μωσῆς εἰς τὸν γνόφον, οὗ ἦν ὁ Θεός»[7]. Καὶ ὁ περὶ Θεοῦ λόγος οὐκ ἔστιν εὐφώρατος οὐδὲ σαφὴς οὐδὲ γνωστός, εἰς τοῦτον δ' εἰσῆλθε Μωσῆς ὡς δυνατός. Ἀλλὰ καὶ ἐν ἑπτακαιδεκάτῳ ψαλμῷ περὶ τοῦ Σωτῆρος λέγεται· «καὶ ἔκλινεν οὐρανὸ⟨ν⟩ καὶ κατέβη καὶ γνόφος περὶ τοὺς πόδας αὐτοῦ»[8]. Ἡ γὰρ πορεία τῆς καθόδου [α] σαφής ἐστιν μόνον τούτοις μέν, ὅτι ἐπεδήμησεν, οὐ σαφὴς δὲ ἡ γνῶσις, διὰ τί ἐν τῷδε τῷ καιρῷ. Ὅ φησιν ὁ μακάριος Ἰὼβ ἐν ὑποθέσει, τοῦτό ἐστιν, ὅτι εἰ καὶ τολμηρῶς καλέσω καὶ ὑπακούσει, δέος, μὴ τῇ ἀσαφίᾳ τῶν πραγμάτων συντρι**74**βὴν ὑπομείνω.

Πολλὰ δέ μου τὰ συντρίμματα πεποιη-

---

1. Ἰὼβ 9,16-17. 2. Ἰὼβ 8,5. 3. Ματθ. 15,20. 4. Α' Κορ. 12,7. 5. Πρβλ. Α' Κορ. 12,9. 6. Πρβλ. Α' Κορ. 12,8. 7. Ἐξ. 20,21. 8. Πρβλ. Ψαλ. 17,10.

κεν διὰ κενῆς· οὐκ ἐᾷ γάρ με ἀναπνεῦσαι, ἐνέπλησεν δέ με πικρίας[1].

Πάλιν ταῦτα λέγει πρὸς τὴν αὐτῶν διάλημψιν ἅπαντα. Εἰ γὰρ δι' ἁμαρτήματα λέγετέ με ἐπιτιμίαν ἐσχηκέναι, παραμένει δὲ ἡ ἐπιτιμία οὐκ ἐπιτρέπουσά μοι [οὐκ] ἀναπνεῦσαι, πῶς δύναμαι διαδρᾶναι τὴν αἰτίαν τοῦ κακῶς βεβιωκέναι. Ματαίως γὰρ καθ' ὑμᾶς γέγονεν τὰ τῆς ἐπαγωγῆς, εἴ γε οὐδὲν ἐμαυτῷ συνειδὼς ὡς ἁμαρτὼν κολάζομαι, κα⟨ὶ⟩ τὰ τῆς διορθώσεως διὰ τὸ μηδένα καιρὸν ἔχειν ἐνδόσεως ἀνήνυτα.

Ὅτι μὲν γὰρ ἰσχύει κράτει, τίς οὖν τῷ κρίματι αὐτοῦ ἀντιστήσεται;[2]

Εἰ ὄνομά ἐστιν τὸ «κράτει», ῥῆμά ἐστιν τὸ «ἰσχύει»· ὅτι ἰσχύει ἐν τῷ κράτει. Εἰ δὲ ἰσχὺς ὄνομα, οὕτως ἂν εἴη· τῇ ἰσχύι κρατεῖ· ῥῆμα τοῦτο γάρ. Ὅπως δ' ἂν ἔχοι, τὸ αὐτὸ δηλοῦται· ἰσχύων γὰρ κρατεῖ Θεὸς καὶ κρατῶν ἰσχύει, βασιλεύων ἰσχύει καὶ ἰσχύων βασιλεύει. Διά τοι **76** τοῦτο οὐ λεκτέον, ὅτι δι' ἁμαρτήματα ἡμέτερα ἰσχύει ὥστε ἐξουσιάζων[3]· μηδὲ τοῦτο ὑμεῖς τίθεσθε καὶ μὴ ἁμαρτόντες μ...ρ.. οὐδ.ν· ἐξουσίαν ἔχει του..... ὡς ἐπιστάμενος τὸ συμφέρον· βασιλέα γὰρ αὐτὸν οἶδα. Οὐκ ἔστιν δὲ βασιλέως τὸ παρανόμως ἄρχειν, ἀλλ' οὐδὲ ἄλλα προτιθέμενος δι' ἀσθένειαν ἕτερα ποιεῖ· Κύριος γὰρ «δίκαιος, ἰσχυρὸς καὶ μακρόθυμος»[4], διόπερ οὐδε⟨ὶς⟩ τῷ «κρίματι αὐτοῦ ἀντιστήσεται»[5] μηδενὸς δυναμένου εἰπεῖν· «τί ἐποίησας;»[6]. Καθὰ προεθέμεθα τὸ ἀποστολικὸν ἐν τοῖς προλαβοῦσιν· «μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι· τί με ἐποίησας οὕτως;»[7].

Ἐάν τε γὰρ ὦ δίκαιος, τὸ στόμα μου ἀσεβήσει[8].

Δίκαιος ὢν οὐκ ὤφειλον λέγειν αὐτὸ τοῦτο, ὅτι δίκαιός εἰμι· οὐ γὰρ περὶ αὑτο⟨ῦ⟩ ὁ δίκαιος ἢ περὶ ἄλλου λέγει. Τούτῳ ὅμοιον τὸ «γέγονα ἄφρων, ὑμεῖς με ἠναγκάσατε»[9]. Τῶν γὰρ φίλων τιθεμένων, ὅτι δι' ἁμαρτίας πάσχει, τρόπον τινὰ ἠναγκάζετο λέγειν, ὅτι ⟨οὐ⟩ δι' ἁ**78**μαρτίας, ἀλλὰ δίκαιός εἰμι. Ἔστιν γὰρ εὑρεῖν τὸ εἶδος τοῦτο ἐν τῇ Γραφῇ, καθὰ καὶ Κορινθίοις γράφει Παῦλος· «εἰ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται»[10]. Οὐ γὰρ ἐξ ἰδίου προσώπου τοῦτο λέγει, ἀλλὰ πρὸς τὴν ἐκείνων ὑπόνοιαν.

Ἐάν τε ὦ ἄμεμπτος, σκολιός ἀποβήσομαι[11].

Τῆς αὐτῆς διανοίας ἐστὶν καὶ τοῦτο δηλοῦντος αὐτοῦ, ὅτι εἰ

---

1. Ἰὼβ 9,17-18. 2. Ἰὼβ 9,19. 3. Πρβλ. Ἐκκλ. 8,4. 4. Ψαλ. 7,12. 5. Ἰὼβ 9,19. 6. Ἰὼβ 9,12. 7. Ρωμ. 9.20. Πρβλ. Ἡσ. 29,16. 8. Ἰὼβ 9,20. 9. Β' Κορ. 12,11. 10. Α' Κορ. 15,16. 11. Ἰὼβ 9,20.

οὐδὲν ἐμαυτῷ συνειδὼς περιστάσεσιν ὑποβέβλημαι, τοῦτό φατε δι' ἁμαρτίας γίνεσθαι· «ἄμεμπτος» ὢν «σκολιὸς ἀποβήσομαι»[1] καθ' ὑμᾶς. Ἄμεμπτος δὲ καὶ δίκαιος τῇ ἐπινοίᾳ διαφέρει. Ἔστιν δὲ τὸ ἄμεμπτον διττόν, τὸ μὲν τῷ μηδὲν ἐνεργεῖν, τὸ δὲ τῷ δικαιοπραγεῖν· ὅπερ ἐπαινετόν ἐστιν, ὡς καὶ τῷ Ἀβραὰμ εἰρῆσθαι· «εὐαρέστει ἐναντίον μου καὶ γίνου ἄμεμπτος»[2], τὸ δὲ τῶν Ἑβραίων ἄμεμπτον οὐκ ἐξ ἀρετῆς ἐστιν. Τοῦτο δὲ αὐτῷ καὶ ἐξ ἀρχῆς τὸ συ⟨ν⟩γραφικὸν ἐμαρτύρησεν πνεῦμα[3].

Εἴ τε γὰρ ἠσέβησα, οὐκ οἶδα τῇ ψυχῇ, πλὴν ἀφαιρεῖταί μου ἡ ζωή[4].

Ἤτοι τῇ ψυχῇ ἀσεβήσας οὐκ οἶδα ἢ ἀσεβήσαν80τα ἐμαυτὸν οὐκ ἐπίσταμαι, οὐδὲ σύνοιδεν ἡ ψυχή μου τοῦτο· καὶ ὁ Παῦλος δὲ ὅμοιον τούτῳ φησίν· «οὐδὲν ἐμαυτῷ σύνοιδα»[5]. Πλὴν εἰ καὶ οὐκ οἶδα, φησίν, ἀσεβήσας, ἀλλ' ἀφαιρεῖταί μου ἡ ζωή· ὅ ἐστιν· ἐν κακοπαθείαις ἄχρι θανάτου τυγχάνει. Τοῦτο δὲ εἶπεν ἐφιστάνων αὐτούς, ὅτι ἔστιν καὶ μὴ ἁμαρτήσαντα περιπεσεῖν ἐπιπόνοις. Μεγάλη δὲ μαρτυρία ἐστὶν τὸ μηδὲν ἑαυτῷ συνειδέναι.

Διὸ εἶπον· μέγαν καὶ δυνάστην ἀπολλύει ὀργή, ὅτι φαῦλοι ἐν θανάτῳ ἐξαισίῳ[6].

Παιδεῦσαι βούλεται, ὅτι τὰ ἐπίπονα, ἅπερ ὀργὴν λέγει, ἢ καὶ τὸν θάνατον κοινὰ εἶναι καὶ βασιλεῦσιν καὶ ἰδιώταις. Ἔοικεν δὲ καὶ διεγείρειν αὐτοὺς πρὸς τὸ μὴ νομίζειν, ὅτι δι' ἃ περ⟨ί⟩κεινται ἀξιώματα τῶν ὁμοίων ἀπηλλάγησαν· ταῦτα γὰρ κοινὰ καὶ σπουδαίῳ καὶ φαύλῳ καὶ ἐλευθέρῳ καὶ δούλῳ καὶ ἰδιώτῃ καὶ ἄρχοντι καὶ ἁπαξαπλῶς ἅπασιν. Τὰ δὲ διὰ φαυλότητα ἐπιπεμπό⟨με⟩να ἴδια τῶν ἁμαρτανόντων καθέστηκεν κεχ⟨ω⟩ρισμέ82να πάντῃ τῶν δικαίων· «τίμιος» γὰρ «ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ»[7]. Περὶ δὲ τῶν φαύλων εἴρηται· «θάνατος ἁμαρτωλῶν πονηρός»[8]. Καὶ τὸ μὲν τῆς διαλύσεως τῆς ψυχῆς ἀπὸ τοῦ σώματος ταὐτόν· διαδέχεται δὲ τὸν φαῦλον κόλασις, ὡς διὰ τοῦτο εἶναι αὐτοῦ τὸν θάνατον ἐξαίσιον, τὸν δὲ σπουδαῖον ἐπαγγελία καὶ ἀμοιβαὶ θεῖαι διαδέχονται· «ἀναλαμβάνων» γὰρ «πραεῖς ὁ Κύριος»[9]. Καὶ ἑκάστῳ τῶν δικαίων ὁμοία φωνή, καθ' ἣν λέγουσιν· «ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου»[10]. Ποίου δὴ θανάτου ἢ τοῦ καταισπῶντος τὴν ψυχὴν ἀπὸ τῆς μακαρίας ζωῆς; Οὗτος γὰρ ἐκ τῶν πυλῶν τοῦ θανάτου ὑψωθεὶς εἰς τὰς πύλας ἔρχεται τῆς μακαρίας ζωῆς ἐξῆς ἐπιφέρων· «ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών»[11]. Αὗται δέ εἰσιν ἐνά[ι]ρετοι πράξεις καὶ εἴσοδοι εἰς τὰ ἀγαθὰ ἔργα.

---

1. Ἰὼβ 9,20. 2. Γεν. 17,1. 3. Πρβλ. Ἰὼβ 1,1,8. 2,3. 4. Ἰὼβ 9,21. 5. Α' Κορ. 4,4. 6. Ἰὼβ 9,22-23. 7. Ψαλ. 115,6. 8. Ψαλ. 33,22. 9. Ψαλ. 146,6. 10. Ψαλ. 9,14. 11. Ψαλ. 9,15.

Ἀλλὰ δίκαιοι καταγελῶνται, παραδέδονται δὲ εἰς χεῖρας ἀσεβοῦς[1].

Οἱ μὲν φαῦλοι, φησίν, τῷ ὄντι ἐν τῷ θανάτῳ, ὡς εἴρηται, τῷ ἐξαι-
σί84ῳ τυγχάνουσιν, οἱ δὲ δίκαιοι καταγελῶνται τῶν φαύλων τοῦτο ποι-
5 ούντων, ὅταν αὐτοὺς θεάσωνται ὄντας ἐν περιστάσεσιν. Οὐκ ἔστιν τοῦτο ψόγος τῶν δικαίων, ἀλλὰ τῶν διαχλευαζόντων ἀγνοούντων, ὅτι παραδέδονται εἰς χεῖρας ἀσεβοῦς· ὅπερ φησὶ φανεροποιῶν πως λοιπὸν τὴν αἰτίαν τῆς κακοπραγίας ἑαυτοῦ. Οὐ γὰρ ἦν πρέπον αὐτόθεν εἰπεῖν, ὅτι ἀγῶνος ἕνεκα εἰς χεῖρας ἀσεβοῦς παραδέδομαι καὶ πειρασμὸς
10 τοιοῦτόν ἐστιν· ἐνίοτε γὰρ ὡς περιαυτ⟨ιζ⟩όμενος ἐδίδου χώραν τῷ ἀντικειμένῳ λαβῆς.

Πρόσωπα κριτῶν αὐτοῦ συνκαλύψει[2].

Τὴν χαλεπότητα τοῦ ἀσεβοῦς ἐμφαίνει καλύπτοντος αὐτοῦ τὰ πρόσωπα πρὸς τὸ δολίως ἁπάτην προσάγειν. Εἴρηται οὖν· «τίς ἀπο-
15 καλύψει ἔνδυμα προσώπου αὐτοῦ, εἰς δὲ πτύξιν θώρακος αὐτοῦ, τίς ἂν εἰσέλθοι;»[3]. Ἐσθότε γὰρ διὰ τῶν αὐτῶν ἐξαλλάττων τὰ πρόσωπα ἁπάτῃ πολλάκις πρόσεισί τινι ἀλείφων αὐτὸν εἰς φιλαργυρίαν διὰ τοῦ τὰς χρείας προβάλλεσθαι. 86 Ἀπὸ τῆς αὐτῆς κακίας καὶ ὑποκριταὶ συνίστανται «ἔσωθεν» ὄντες «λύκοι ἅρπαγες»[4], ἔξωθεν δὲ πρόβατα φαινό-
20 μενοι, φοβεροὶ μὲν καὶ ὅ εἰσι⟨ν⟩ φαινόμενοι τοῖς δειλοῖς, πρὸς ἑτέρους δὲ ἄλλως σχηματιζόμενοι. Καλύπτουσιν δὲ ἑαυτοὺς πολλάκις καὶ οἱ σπουδαῖοι οὐ διὰ κακουργίαν, ἀλλ' ἵνα ἁρμόσωνται πρὸς τοὺς ἀσθενεῖς, καθὸ λέγει· «γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα»[5]. Καὶ «σοφίαν» μὲν «ἐν τοῖς τελείοις ἐλάλει»[6], «γενόμενος Ἰουδαίοις Ἰουδαῖος καὶ
25 ἀνόμοις ἄνομος»[7], οὐκ ἂν Τιμοθέῳ ἢ τῷ Εὐαγγελιστῇ Λουκᾷ τοιοῦτος φαινόμενος. Κριτὰς δὲ διαβόλου τοὺς ὑπ' αὐτὸν δαίμονας ἐκδεκτέον.

Εἰ δὲ μὴ αὐτός, τίς ἐστιν;[8]

Εἰ μὴ ὁ ἀσεβής ἐστιν ὁ ταῦτα ποιῶν, ὁ καταγελῶν τῶν σπουδαίων, ὁ συνκαλύπτων τὰ πρόσωπα τῶν κριτῶν αὐτοῦ κατὰ τὴν προτέραν ἐκ-
30 δοχήν, τίς ἐστιν ἕτερος; Δύναται καὶ οὕτως· εἰ μὴ «μετεσχηματίζετο» τολμηρῶς καὶ «εἰς ἄγγελον φωτὸς»[9] καὶ ὅλως ποικίλος ἦν ἐν τῇ κακίᾳ, τίς ἂν ἦν αὐτὸς φανερῶς φαι88νόμενος; — Ἀντὶ τοῦ· εὐτελὴς καὶ τὸ μηδέν. Τὸ δὲ πολύπλοκον αὐτοῦ[10] λυμαίνεται τοὺς ὑποπίπτοντας αὐτῷ.

Ὁ δὲ βίος μού ἐστιν ἐλαφρότερος δρο-
35 μέως[11].

Ὁ δρομεὺς ταχυτῆτι δόξει μὴ ἐπιψαύειν τῆς γῆς, ἀλλ' ὡς πτη-

1. Ἰὼβ 9,23-24. 2. Ἰὼβ 9,24. 3. Πρβλ. Ἰὼβ 41,5. 4. Ματθ. 7,15. 5. Α' Κορ. 3,2. 6. Πρβλ. Α' Κορ. 2,6. 7. Πρβλ. Α' Κορ. 9,20-21. 8. Ἰὼβ 9,24. 9. Πρβλ. Β' Κορ. 11,14. 10. Πρβλ. Ποιμὴν Ἑρμᾶ, Ἐντολὴ δ' III 4. B.E.Π. 3,55. 11. Ἰὼβ 9,25.

νὸν εἶναι. Ὁ βίος μου οὖν δρομέως ἐστὶν ἐλαφρότερος· τὰ γὰρ ἄνω σκοπῶ «οὕτω τρέχων ὡς οὐκ ἀδήλως»[1], οὐ προσπταίων τῇ γῇ. Πόθῳ δὲ τοῦ σκοποῦ ⟨οἱ⟩ δίκαιοι, κἂ⟨ν⟩ προσπταίσωσιν — οἷον κἂν ἐν θλίψεσιν γένωνται —, ἀδιάκοπον ἔχουσι τὸν δρόμον. Οὕτω καὶ Δαυὶδ ἔτρεχεν λέγων· «ἄνευ ἀνομίας ἔδραμον καὶ κατηύθυνα»[2], καὶ «ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας τὴν καρδίαν μου»[3].

Ἀπέδρασαν καὶ οὐκ εἶδοσαν· ἢ καὶ ἔστιν ναυσὶν ἴχνος ὁδοῦ ἢ ἀετοῦ πεταμένου ζ⟨ητ⟩οῦντος βοράν;[4]

Ὑποβάλλει νοεῖν, ὅτι τὸν τοῦ δικαίου βίον ἐλαφρότερον ὑπάρχοντα δρομέως οἱ κριταί, ὧν τὰ πρόσωπα συνκαλύπτει ὁ ἐξάρχων αὐτῶν, ἀποδιδράσκοντες τῷ φόβῳ τοῦ δικαίου οὐχ ὁρῶσιν αὐτοῦ τὴν τοῦ δρόμου κατόρθωσιν· οὐ γὰρ ἄ**90**ξιοί εἰσιν. Εἰ δὲ καὶ περὶ τῶν δικαίων τοῦτό φησιν, ὅτι τοὺς κριτὰς ἀποδράσαντες κατὰ τὸ «ἀλλὰ ἀποπήδησον, μὴ ἐνχρονίσῃς ⟨ἐν⟩ τῷ τόπῳ»[5] οὐκ εἶδον τῇ ὀξύτητι τῆς ἀρετῆς, ἐπίστησον, καὶ εἰ καιρόν ἐστιν συμβαλεῖν τούτῳ τὸ ««ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίγνωσκον»[6]. Κατανόησον δέ, εἰ καὶ τρίτη διάνοια ὡς ἐν δυσχωρίᾳ λεχθῆναι δύναται ἀπὸ ἄλλου ῥητοῦ συνισταμένου ἐν Ἀμὼς τῷ προφήτῃ τῷ δευτέρῳ τῶν δώδεκα. Πρὸς τοὺς σπαταλῶντας καὶ φιληδόνους καὶ αὐτὸ τοῦτο χαίροντας τοῖς ἡδέσιν τοῦ βίου λέγει· «οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων, οἱ σπαταλῶντες ἐπὶ τῶν στρωμνῶν αὐτῶν, οἱ ἐπιχροτοῦντες πρὸς τὰς φωνὰς τῶν ὀργάνων καὶ τὰ πρῶτα μύρα χριόμενοι, ⟨οἱ⟩ πίνοντες τὸ⟨ν⟩ διυλισμένον οἶνον ὡς ἑστῶτα ἐλογίσαντο, οὐχ ὡς φεύγοντα»[7]. Ἐνόμισαν γὰρ τὰ τοῦ βίου ἡδέα παράμονα εἶναι καὶ ἐφεστηκότα καὶ ἀδιάλειπτα εἶναι. Λέγει οὖν, ὅτι οἱ θαυμάζοντες τὴν εὐπάθειαν, οἷον τὸ ὑγιαίνειν, τὸ πλουτεῖν, τὸ ἄρ**92**χειν, οὐ λογίζονται, ὅτι ἀποδιδράσκουσιν οὕτως ταῦτα, ὥστε μὴ γνῶναι αὐτούς, καθὰ οὐδὲ «νεὼς ποντοπορούσης»[8] ἔστιν διαγνῶναι ὁδὸν ἢ ἀετοῦ πετομένου ὀξέως διὰ τὸ ζητεῖν βοράν. Καὶ τῷ ὄντι ταχεῖαν ἔχει τὴν πάροδον τὰ ἡδέα καὶ ἀνθρώπινα, ὡς ἀπὸ τοῦ περὶ τοῦ πλούτου εἰρημέν⟨ου⟩ ἔστιν μαθεῖν λέγοντος τοῦ ψαλμῳδοῦ· «μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος καὶ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ, ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήμψεται τὰ πάντα οὐδὲ συνκαταβήσεται αὐτῷ ἡ δόξα τοῦ οἴκου αὐτοῦ»[9].

Ἐάν τε γὰρ εἴπω, ἐπιλήσομαι λαλῶν, συνκύψας τῷ προσώπῳ στενάξω[10].

Μεγαλοψυχίας γνώρισμα ἐν τούτοις ὑποφαίνεται. Φησὶν γάρ,

---

1. Πρβλ. Α' Κορ. 9,26. 2. Ψαλ. 58,5. 3. Ψαλ. 118,32. 4. Ἰὼβ 9,25-26. 5. Παρμ. 9,18α. 6. Ψαλ. 100,4. 7. Πρβλ. Ἀμ. 6,4-6. 8. Παρμ. 30,19. 9. Ψαλ. 48,17-18. 10. Ἰὼβ 9,27.

ὅτι καὶ ἐ⟨άν⟩ τινα τῶν ἀηδῶν ἔννοιαν δεξάμενος εἴπω τι περὶ αὐτῶν, εὐθὺς ἐπιλανθάνομαι οὐ δουλούμενος αὐτῇ[ς], ἀλλὰ τῇ θεωρίᾳ τῆς ἀρετῆς σχολάζων. Τούτῳ ὅμοιον τὸ ὑπὸ τοῦ Δαυὶδ λεγόμενον, ὅτι «ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου»[1]. Ἡ γὰρ τῶν θείων καὶ οὐρανίων μνήμη λήθην 94 ἐμποιεῖ τῶν κατασπώντων ἀπ' αὐτῶν. Εἰ δὲ καὶ στενάζω, φησίν, ποιῶ[ν] τοῦτο συνκύπτων τῷ προσώπῳ, δι' οὗ τρόπον τινὰ τὴν πρὸς Θεὸν ἐπιδείκνυται προσκύνησιν· καὶ ἂν [α] λέγειν αὐτὸν ποιῇ τὰ ἀνιαρὰ πρὸς τὴν ἑαυτοῦ καρδία⟨ν⟩, λέγων εὐπα⟨ρ⟩ρησιάστως κατὰ τὸν μακάριον Παῦλον· «ἐν παντὶ θλιβόμενοι ἀλλ' οὐ στενοχωρούμενοι, ἀπορούμενοι ἀλλ' οὐκ ἐξαπορούμενοι, ⟨διωκόμενοι ἀλλ' οὐκ ἐγκαταλειπόμενοι, καταβαλλόμενοι ἀλλ' οὐκ ἀπολλύμενοι⟩»[2].

Σείομαι πᾶσιν τοῖς μέλεσίν μου[3].

Δῆλόν ἐστι τοῦτο κατὰ τὸ αἰσθητὸν νοοῦσιν. Οὐδὲ γὰρ μέλος τι αὐτοῦ ὑγιαῖνον ἐτύγχανεν· «ἀπὸ ποδῶν» γὰρ «ἕως κεφαλῆς»[4] λελώβητο. Εἰ δὲ καὶ μέλη αὐτοῦ λέγοις πάντας τοὺς ἔχοντας πρὸς αὐτὸν οἰκειότητα οἳ καὶ ἐσαλεύθησαν οὕτως ὡς τοὺς μὲν καταλιπεῖν αὐτόν, τοὺς δὲ τρόπον τινὰ ἐπιτίθεσθαι διὰ τοῦ διακεῖσθαι, ὡς δι' ἁμαρτίας ταῦτα πάσχει, συνεπίσκεψαι.

Οἶδα γὰρ ὅτι οὐκ ἀθῷόν με ἐάσεις[5].

Μετριότης τοῦ ἁγίου διὰ τούτου γνω96ρίζεται καὶ μεγάλη εὐγνωμοσύνη. Φησὶν γάρ, ὅτι ἐξεταστής μου γινόμενος ἀκριβὴς — Θεὸς γὰρ εἶ — οὐκ ἀθῷόν με ἐάσεις. Εἰ γὰρ καὶ εἶπεν «οἶδα ὅτι [κα] δίκαιος ἀναφανοῦμαι»[6], ἀλλ' οὖν οἶδεν καὶ πέπεισται, ὅτι ὡς πρὸς Θεὸν δοκιμαστὴν «ἄστρα οὐκ ἔστιν καθαρὰ ἐνώπιον αὐτοῦ»[7] καὶ αὐτὸς δηλονότι. Τοιοῦτον ὁ μακάριος Παῦλος λέγει γράφων· «οὐδὲν ἐμαυτῷ σύνοιδα»[8]. Εἶτ⟨α⟩ μὴ διδοὺς ἑαυτῷ ἐπάγει· «ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι, ἀλλ' ὁ ἀν⟨α⟩κρίνων με Κύριός ἐστιν»[9]. Οἶδεν δὲ καθὰ καὶ οὗτος ὁ ἅγιος τῆς ἀνθρωπίνης φύσεως τὸ ἀσθενὲς λέγων, ὅτι «καθ' ὑπερβολὴν ὑπὲρ δύναμιν ἐβαρήθημεν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν· ἀλλ' αὐτοὶ ἐν ἑαυτοῖς καὶ τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκα[κα]μεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς ἀλλ' ἐπὶ τῷ Θεῷ»[10]. Εἰ δὲ καὶ κάμνουσιν οἱ ἅγιοι ἐν τοῖς ἐπιπόνοις, ἀλλ' ἐν ἑαυτοῖς ἔχουσι τὸ ἀπόκριμα, ἵνα τῷ Θεῷ τὴν πεποίθησιν καὶ μὴ ἑαυτοῖς ἀποδῶσιν· ὡς οὗτος αὐτὸς ὁ μακάριος λέγων· οἶδα ὅτι οὐκ ἐξ ἐμαυ98τ⟨οῦ⟩ ἔχω τὸ ἀθῶος εἶναι μὴ σοῦ συνεργοῦντος, καθὰ καὶ ὁ σοφὸς Παῦλος λέγων· «οὐκ ἐγὼ δὲ ἀλλ' ἡ χάρις σὺν ἐμοὶ»[11] καὶ ὁ ἅγιος Δαυίδ· «ἐταράχθην καὶ οὐκ ἐλάλησα»[12].

---

1. Ψαλ. 101,5. 2. Β' Κορ. 4,8-9. 3. Ἰὼβ 9,28. 4. Ἰὼβ 2,7. 5. Ἰὼβ 9,28. 6. Ἰὼβ 13,18. 7. Πρβλ. Ἰὼβ 25,5. 8. Α' Κορ. 4,4. 9. Ἔνθ' ἀν. 10. Β' Κορ. 1,9. 11. Α' Κορ. 15,10. 12. Ψαλ. 76,5.

Ἐπειδὴ δέ εἰμι ἀσεβής, διὰ τί οὐκ ἀπέθανον;[1]

Μεταβαίνει ἐπὶ τὴν [περὶ] τῶν φίλων ὑπόλημψιν. Ἐπεὶ γὰρ διάκει⟨ντ⟩αι, ὅτι τοῖς ἁμαρτάνουσιν ἕπεται τὸ κακωτικοῖς περιπεσεῖν, πάντων δὲ χεῖρον τὸ ἀποθανεῖν κατὰ τοὺς φιλοζώους, ἐρωτᾷ αὐτούς· ἐπεὶ καθ' ὑμᾶς ἀσεβής εἰμι, διὰ τί οὐκ ἀπέθανον; ἵνα ἐν τῇ ἐρωτήσει παράσχῃ αὐτοῖς νόησιν, ὅτι αἰτία τις ἔστιν ἑτέρα ἡ ἐπάγουσα τὰ ἐπίπονα. Τὸ δ' αὐτὸ καὶ ἐν ἑτέροις ποιεῖ ἐρωτῶν πάλιν· «διὰ τί ἀσεβεῖς ζῶσιν, πεπαλαίωνται δὲ καὶ ἐν πλούτῳ, ὁ σπόρος αὐτῶν κατὰ ψυχήν[2], ἡ βοῦς αὐτῶν οὐκ ὠμοτόκησεν;»[3] ἵνα καὶ διὰ τούτων παιδεύσῃ, ἐπιζητεῖ τὰς οὔσας αἰτίας παρὰ Θεοῦ τῶν συμβαινόντων ἀνθρώποις ἐπιπόνων καὶ ἡδέων. Ἐπὶ τοσοῦτον γὰρ πολλάκις οἱ φαῦλοι διετέλεσαν ἐν **100** ταῖς νομιζομέναις εὐπραγίαις, ὡς εἰπεῖν περὶ αὐτῶν Σολομῶντα, ὅτι ⟨.....καθὰ καὶ ὁ μακάριος Ἰὼβ λέγει, ὅτι⟩ «καὶ ἐν ἀναπαύσει ᾅδου ἐκοιμήθησαν»[4].

Ἐὰν γὰρ ἀπολούσωμαι χιόνι καὶ ἀποκαθαίρωμαι χερσὶν καθαραῖς, ἱκανῶς ἐν ῥύπῳ με ἔβαψας ἐβδελύξατο δέ με ἡ στολή μου[5].

Πάλιν, ἵνα μὴ περίαυτον αὐτὸν νομίσωσιν, φησὶν ταῦτα, ὅτι κἂν καθαρῶς ὑπάρξω οὕτω, ὡς διὰ πράξεων ἐναρέτων, ἃς χεῖρας ὠνόμασεν, καθᾶραι ἐμαυτόν, ἔχω πάλιν ῥύπον· περὶ οὗ ζητητέον παραβάλλοντα τὸ ὅμοιον ῥητόν· «οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου, οὐδ' εἰ μία ὥρα ὁ βίος αὐτοῦ ἐπὶ τῆς γῆς»[6]. Καὶ «ἡ διάνοια τῶν ἀνθρώπων ἐπιμελῶς ἔνκειται ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος»[7], ὅπερ τὸ νεωτεροποιὸν ἦθος δηλοῖ, καθὰ καί τινι εἴρηται ἀκροατὴν νέον μὴ παραδέχεσθαι. Ταῦτα μὲν οὖν θλίψει τοὺς μηδὲν πρὸ[ς] τῆς ζωῆς ταύτης τιθεμένους· πῶς γὰρ οὐ καθαρὸς ὁ νῦν πεπλασμένος; Συνετῶς δὲ καὶ **102** τὸ τῆς διαδοχῆς ἁμάρτημα ἐκλαβεῖν δεῖ τὸ κατὰ τὸν Ἀδάμ, ὅπερ παρ' ἐκείνων ἀσυνέτως προφέρεται. Καὶ γὰρ καὶ οἱ ἅγιοι, εἰ καὶ μὴ ἄλλου χάριν εἰς τὸν βίον ἐληλύθασιν, ἐν τῇ παιδικῇ ἡλικίᾳ τὸν ῥύπον ἔχουσιν, ὃς οὐκ ἔστιν ἁμάρτημα. Κατὰ τοῦτο εἴρηται περὶ τοῦ Σαμουήλ· «καὶ Σαμουὴλ πρὶν ἢ γνῶναι Θεόν»[8]. Ἠγνόει δὲ Θεὸν βρέφος ὤν, οὐ διὰ τὸ κακίαν ἔχειν, ἀλλὰ μήπω ἐπίγνωσιν λόγου ἐσχηκέναι. Καὶ τὸ «πάντες δὲ ἥμαρτον»[9] συνετῶς νοήσεις, ἐὰν τὰ κατ' ἄγνοιαν, τὰ κατὰ τὴν παιδικὴν ἡλικίαν ἐκλάβοις. Καὶ ἔστω ἐπὶ παραδείγματος· ὁ ἑκατὸν βαθμῶν ὄντων εἰς τὸν ἑκατοστὸν ὑπάρχων, εἰ ὑποβαίη τρεῖς, λέγοιτ' ἂν ἐνδεῖν, τοῦ ἀρχομένου ἀπὸ τοῦ πρώτου καὶ ἐλθόντος εἰς τὸν τρίτον μὴ ψεγομένου.

---

1. Ἰὼβ 9,29. 2. Ἰὼβ 21,7-8. 3. Ἰὼβ 21,10. 4. Πρβλ. Ἰὼβ 21,13. 5. Ἰὼβ 9,30-31. 6. Πρβλ. Ἰὼβ 14,4-5. 7. Γεν. 8,21. 8. Α' Βασ. 3,7. 9. Ρωμ. 3,23. Πρβλ. Ρωμ. 5,12.

Ὁ ὑποβὰς οὖν τοὺς ἑκατόν, εἰ καὶ μὴ ἀπέστη τῶν βαθμῶν, ἀλλὰ γοῦν ἔν τινί ἐστιν ῥύπῳ. Πλὴν ὁ Ἰώβ φησιν, ὅτι εἰ καὶ καθαρός εἰμι, ἔχω ῥύπον καὶ οὐ μικρόν γε ῥύπον, ἀλλὰ βαφῇ ἐοικότα. Μήποτ' οὖν, **104** ἐπεὶ οὐ μόνον δι' ἁμαρτίας ἔστιν ἐλθεῖν ἐν τῷδε τῷ βίῳ, ἀλλὰ καὶ δι' ὠφέλειαν ἄλλων, ὡς Ἰωάννην φέρε ἢ Ἱερεμίαν, διὰ τοῦτό φησιν, ὅτι εἰ καὶ καθαρός εἰμι διὰ πράξεων, ὅμως ἔχω ῥύπον. Ῥύπος γὰρ ὡς πρὸς τὴν καθαρὰν ζωήν, οὐ καθ' αὑτό, ὁ τόπος ὁ ἐπίγειος· καθὸ καὶ εἴρηται· «ὡς ῥάκος ἀποκαθημένης πᾶσα ἡ δικαιοσύνη ἡμῶν»[1] ἐναντίον σοῦ, Κύριε. Ὅπερ ἐκπλύνει Κύριος κατὰ τὸ ἐν Ἡσαΐᾳ λεγόμενον· «ἐκπλυνεῖ Κύριος τὸν ῥύπον τῶν Υἱῶν καὶ τῶν θυγατέρων ⟨Σιὼν⟩ καὶ τὸ αἷμα ἐκκαθαρ⟨ι⟩εῖ ἐκ μέσου αὐτῶν»[2]. Ῥύπος μὲν οὖν εἴη ἂν τὰ ἀκούσια, αἷμα δὲ τὰ κατὰ πρόθεσιν ἐνεργούμενα. Τίνι δὲ ἐκπλύνεται ἢ «πνεύματι κρίσεως καὶ πνεύματι καύσεως»[3], τοῦ μὲν πνεύματος τῆς κρίσεως τὴν διάκρισιν δηλοῦντος, τοῦ δὲ πνεύματος τῆς καύσεως τὴν κόλασιν; Ἀμφότερα δὲ διόρθωσιν ἐργάζεται. Διὰ δὲ τοῦτο καὶ «ἐβδελύξατό», φησίν, «με ἡ στολή μου»[4], αἰνιττόμενος τὸ βάρος τῆς ἐνταῦθα **106** διατριβῆς· ὅπερ δηλοῦται καὶ διὰ τοῦ «μισοῦντες καὶ τὸν ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένον χιτῶνα»[5] ὅστις ἐστὶν ἡ [των] ἀπὸ τῶν ἀνθρωπίνων σύγχυσις. Λέγει οὖν, ὅτι ἐμίσησέν με ἣν εἶχον διαγωγὴν ἀνθρωπίνην. Ὅτι δὲ ἡ στολὴ τὴν κατάστασιν σημαίνει, δῆλον ἐκ τοῦ εἰρημένου πρὸς τὸν ἄσωτον ὑπὸ τοῦ Πατρός· «ἐξενέγκατε αὐτῷ τὴν πρώτην στολήν»[6].

Ὅτι δὲ τὸ αἷμα τὴν ἁμαρτίαν δηλοῖ, φανερὸν ἐκ τοῦ πρὸς τὸν διάβολον εἰρημένου· «ὃν τρόπον ἱμάτιον ἐν αἵματι πεφυρμένον οὐκ ἔσται καθαρόν, οὕτως οὐδὲ σὺ ἔσῃ καθαρός»[7]. Διὰ τοῦ ἐν αἵματι πεφύρθαι τὸ μέγεθος τῆς κακίας ἐμφαίνεται. Οὐ χρὴ δὲ ξενίζεσθαι, εἰ πρὸς μὲν τοὺς φίλους ἕτερα πρὸς δὲ τὸν Θεὸν ἕτερα λέγει ὁ μακάριος. Τότε γὰρ ἐναντίωμα ἐτύγχανεν, εἰ πρὸς τὸν αὐτὸν λέγων καὶ δίκαιον ἑαυτὸν καὶ ἁμαρτωλὸν ἔφασκεν. Μετριότητι οὖν πρὸς Θεὸν καὶ ὡς πρὸς τὴν [ε] **108** αὐτοῦ καθαρότητα λέγει βεβάφθαι ἐν ῥύπῳ, πρὸς δὲ ἀνθρώπους ἑτέρως διαλέγεται φάσκων· «οἶδα ὅτι δίκαιος ἀναφανοῦμαι»[8]. Ὅτι οἱ ἅγιοι χρῶνται τοιούτῳ εἴδει λόγων, ἔστιν καὶ ἀπὸ τῶν Παύλου γραμμάτων μαθεῖν λέγοντος·

Ἐνταῦθα ὑπάρχει εἰς τὸν πάπυρον χάσμα ἑπτὰ γραμμῶν.

πολλὰ οὖν ὑπομένοντες οἱ ἅγιοι κατὰ ψυχὴν ὑπὸ τῆς ἀντικειμένης

---

1. Ἡσ. 64,5. 2. Ἡσ. 4,4. 3. Ἔνθ' ἀν. 4. Ἰὼβ 9,31. 5. Ἰούδα 23. 6. Πρβλ. Λουκ. 15,22. 7. Ἡσ. 14,19-20. 8. Ἰὼβ 13,18.

δυνάμεως πάσχουσιν μὲν ὡς ἀνθρωπίνης φύσεως τυγχάνοντες, οὐ μὴν ἐκπίπτουσι τοῦ σκοποῦ τοῦ θείου. Καὶ ὁ Δαυὶδ γοῦν ἐν τοιούτῳ γενάμενος πολέμῳ ψάλλει· «ἐταράχθην καὶ οὐκ ἐλάλησα»[1]· καὶ πάλιν· «ἵνα τί περίλυπος εἶ, ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με;»[2]. Καὶ καθάπερ κλονουμένη τῇ ἰδίᾳ διανοίᾳ προσάγει παράκλησιν λέγων· «ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ»[3]. Οὕτω καὶ ὁ μακάριος Ἰὼβ εὐγνωμοσύνῃ λέγει τὰ προ[σ]εκτεθέντα τῷ Θεῷ φανερῶν ἑαυτοῦ τῆς διανοία⟨ς⟩ τὸ ἄδολον.

Οὐ γὰρ εἶ ἄνθρωπος κατ' ἐμέ, ᾧ ἀντι-
110 κρινοῦμαι[4].

Ἀκόλουθος ὁ λόγος οὕτως ἐξομαλιζόμενος· ἐγὼ μὲν ἐπίσταμαι τὰ κατ' ἐμαυτόν. Ἐπειδὴ δὲ οἱ φίλοι οὐ λογισμῷ ὀρθῷ κινούμενοι, ἐκ δὲ τῶν περιεστηκότων θλιβηρῶν οἴονται δι' ἁμαρτίας με πεπονθέναι, ἀρκοῦμαι τῇ σῇ δοκιμασίᾳ. Εἶτα δι' αὐτούς, τρόπον τινὰ παιδεύων πάλιν αὐτούς, ὅτι τὰ κατ' αὐτὸν οὐκ ἔστιν ἀνθρώπιν⟨α⟩, φησίν· «οὐκ εἶ ἄνθρωπος κατ' ἐμέ, ᾧ ἀντικρινοῦμαι»[5], ὡς πάντα αὐτοῦ ἐπισταμένου καὶ διὰ τοῦτο φέροντος, ὅτι Θεοῦ κρίματι ἕπεται, ὅπως καὶ οἱ φίλοι μιμήσωνται αὐτὸν λογιζόμενοι, ὅτι ἀπόρρητός ἐστιν ὁ λόγος ὁ κατ' αὐτόν, καὶ οὕτως ἀποστῶσιν τῆς μιᾶς διαλήμψεως.

Ἵνα ἔλθωμεν ὁμοθυμαδὸν εἰς κρίσιν[6].

Ὡς προείρηται, παιδεύει τοὺς φίλους αἰσθηθῆναι, ὅτι εὐπα⟨ρ⟩ρησίαστον ἔχει τὸ συνειδὸς καὶ ἕτοιμον εἰς κρίσιν· ὁ γὰρ συνειδὼς ἑαυτῷ εἰς κρίσιν ἐλθεῖν οὐ βούλεται. Λέγει δὲ ταῦτα οὐ πρὸς Θεὸν ἀπαυθαδιζόμενος, ὁ μαρτυρούμενος **112** παρ' αὐτοῦ ἐπὶ δικαιοσύνῃ[7], ἀλλ' ἵνα διδάξῃ, ὡς εἴρηται, τοὺς φίλους, ὅτι οὐ δέδοικεν ἔλεγχον. Οὐ γὰρ εἶχέν τι ἄξιον ἐλέγχου. Ταύτης τῆς παρρησίας μέτοχος ὑπάρχων ὁ Δαυὶδ ἔψαλλεν· «ἑτοίμη ἡ καρδία μου, ὁ Θεός, ἑτοίμη ἡ καρδία μου»[8].

Εἴθε ἦν ὁ μεσίτης ἡμῶν καὶ διελέγχων καὶ διακρίνων ἀνὰ μέσον ἀμφοτέρων[9].

Ἀπὸ κοινοῦ πάλιν καὶ ταῦτα λέγεται τῷ τρόπῳ, ᾧ καὶ τὰ πρῶτα εἴρηται, τῆς ἐλευθερίας τῆς ψυχῆς αὐτοῦ δεῖγμα σαφέστατον ὑπάρχοντα. Εὔχεται οὖν ἐξεταστήν τινα ὑπάρξαι τὸν παραδεικνύντα τοῖς φίλοις, ὅτι οὐ δι' ἁμαρτίας ταῦτα πάσχει, ἀλλὰ ἀγῶνος χάριν. Ταῦτα δὲ ἐβούλετο ὁ ἅγιος οὐκ ἀλαζονευόμενος, ἀλλὰ πρῶτον μέν, ἵνα ὀρθὰς περὶ τῶν πραγμάτων οἱ φίλοι τὰς διαλήμψεις ἔχωσιν, ἔπειτα, ἵνα μὴ εἰς Θεὸν ἁμαρτάνουσιν ἀποδυσπετοῦντες πολλάκις τοιούτων γινομένων

---

1. Ψαλ. 76,5. 2. Ψαλ. 41,6,12. 42,5. 3. Ἔνθ' ἀν. 4. Ἰὼβ 9,32. 5. Πρβλ. ἔνθ' ἀν. 6. Ἰὼβ 9,32. 7. Πρβλ. Ἰὼβ 1,1. 8. Ψαλ. 56,8. 107,2. 9. Ἰὼβ 9,33.

ἢ ἐν ἑαυτοῖς ἢ ἐν ἑτέροις, μὴ εὑρίσκοντες ἢ μὴ συνειδότες **114** ἑαυτοῖς ἁμάρτημα. Ἐπεὶ δὲ ἅπαξ ἡ τοῦ μεσίτου ὀνομασία πρόκειται, ἄξιον ἐπιστῆσ[η]αι, πῶς εἴρηται ὁ Σωτὴρ «μεσίτης Θεοῦ καὶ ἀνθρώπων»[1]. Ὁ ἄνθρωπος τοίνυν, καὶ τί λέγω ὁ ἄνθρωπος, τὸ κτίσμα τοῦ κτιστοῦ πολὺ ἀφέστηκεν. Εὑρίσκεις δὲ ἐν τῇ φύσει τῶν πραγμάτων, ὅταν πολὺ διεστηκότα εἰς ταὐτὸ συνάγηται, μέσον τι ἔχοντα. Καὶ ὡς ἐπὶ παραδείγματος προχείρου τὸ λέπος τοῦ ᾠοῦ σκληρόν ἐστιν, τὸ δὲ τρόφιμον ὑδατῶδες, ὁ ὑμὴν μεταξὺ κεῖται, ἰσχνότερος ὢν τοῦ λέπους, ξηρότερος δὲ τοῦ ὑγροῦ, καὶ οὕτω συνάπτονται· τοῦτο δὲ καὶ ἐν καρύοις καὶ ῥοαῖς κατίδοις. Ἐπεὶ τοίνυν πολὺ διέστηκεν Θεὸς ἀνθρώπου, ὁ ὁμοούσιος τῷ Θεῷ Υἱὸς ⟨ἐν⟩ αὐτῷ ἔσχεν τὸ ἀνθρώπινον, ἵνα καὶ τῇ πρὸς ἀνθρώπους οἰκειότητι καὶ τῇ πρὸς Θεὸν ὁμοουσιότητι συνάψῃ τὰ ἀμφότερα «καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσῃ, τὴν ἔχθραν, ἐν τῇ σαρκὶ αὐτοῦ»[2], ἀρχιερέως τάξιν ἀναδεχόμενος. Μέσος δέ ἐστιν τοῦ Θεοῦ **116** καὶ τῶν ἱερωμένων ὁ ἀρχιερεύς, τὰ μὲν τοῦ Θεοῦ φέρων ἀνθρώποις, τὰ δὲ τῶν ἀνθρώπων πρὸς Θεόν· τὰς εὐχὰς καὶ τὰς ἱκεσίας προσφέρει τῷ Θεῷ οἷα θυσίας, καὶ τὴν γνῶσιν αὐτοῦ παρέχει τοῖς ἀνθρώποις. Εὐχὴν γοῦν ἀναπέμπει λέγων· «ὥσπερ ἐγὼ καὶ σὺ ἕν ἐσμεν, ἵνα καὶ οὗτοι ἐν ἡμῖν ἓν ὦσιν»[3]. Τότε δὲ τοῦτο ἔσται, ὅταν ὁ Θεὸς «πάντα ἐν πᾶσιν»[4] γένηται, ἵνα ἀμεσιτεύτως συνάπτωνται λοιπὸν τῷ Θεῷ ἓν πνεῦμα πρὸς αὐτὸν γινόμενοι. Ὅτι δὲ καὶ τοῦτον τὸν μεσίτην προεώρα τῷ θείῳ ὀφθαλμῷ ὁ μακάριος Ἰώβ, δῆλον ἐκ τοῦ «ὁ μέλλων τὸ μέγα κῆτος χειρώσασθαι»[5] καὶ ἐκ τοῦ [ως] «ὁ περιπατῶν ⟨ὡς⟩ ἐπ' ἐδάφους ἐπὶ θαλάσσης»[6]. Θεοῦ γὰρ φανεροῦντος αὐτῷ οὐκ ἔστιν ἀμφιβαλεῖν, ὅτι περὶ πάσης τῆς οἰκονομίας πεπληροφόρητο.

Ἀπαλλαξάτω ἀπ' ἐμοῦ τὴν ῥάβδον, ὁ δὲ φόβος αὐτοῦ μή με στροβείτω[7].

Ἡ ἐπίπονος ἀγωγὴ τῷ ὀνόματι τῆς ῥάβδου σημαίνεται, καὶ μάλιστα ἐπὶ ἐπιτιμίας ὅταν λέγηται. Εἴρηται γοῦν **118** περὶ τῶν τοῦ Δαυὶδ υἱῶν· «ἐὰν ἐγκαταλίπωσιν οἱ Υἱοὶ αὐτοῦ τὸν νόμον μου καὶ ἐν τοῖς κριμασίν μου μὴ πορεύωνται, ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἁμαρτίας αὐτῶν καὶ ἐν μάστιξιν τὰς ἀνομίας αὐτῶν»[8]. Αὕτη δὲ ἡ ἐπιτιμία καὶ πᾶσα ἡ ἐκ Θεοῦ οὐ βλάπτει τὸν ἐπιτιμώμενον, ἀλλὰ παιδεύει. Καὶ ὅτι τοῦτο οὕτως ἔχει, Παῦλος Κορινθίοις γράφει· «τί θέλετε, ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς ἢ ἐν ἀγάπῃ;»[9] ὅ ἐστιν· [ἐν] ἀγαπητοῖς προσέλθω ἢ ὡς χρῄζουσιν διορθώσεως; Τρόπον γάρ τινα ὁ διορθούμενός τινα διὰ ἐπιπόνων δοκεῖ διὰ ταῦτα μὴ ἀγαπᾶν αὐτόν. Εἴρηται δὲ καὶ λόγος συνετὸς ῥάβδος· «ὃς προφέρει γὰρ ἐκ χειλέων σοφίαν, ῥάβδῳ τύπτει[ν]

---

1. Α′ Τιμ. 2,5. 2. Πρβλ. Ἐφ. 2,14. 3. Πρβλ. Ἰω. 17,21. 10,30. 4. Α′ Κορ. 15,28. 5. Ἰὼβ 3,8. 6. Ἰὼβ 9,8. 7. Ἰὼβ 9,34. 8. Πρβλ. Ψαλ. 88,31,33. 9. Α′ Κορ. 4,21.

ἄνδρα ἀκάρδιον»[1], τὸν ἔλεγχον καὶ τὸν ἐπιτιμητικὸν λόγον ῥάβδον καλοῦντος τοῦ λόγου. Ὅτι δὲ χρήσιμον τοῦτο, ὁ θεῖος παριστᾷ λόγος φάσκων· «ὃς φείδεται τῆς βακτηρίας αὐτοῦ, μισεῖ τὸν ἑαυτοῦ υἱόν»[2], καίτοι κατὰ τοὺς ἀνθρώπους νομισθήσε**120**ται ἀγαπᾶν μὴ τύπτων τὸν υἱόν. Ταῦτα οὖν ἀπαλλαγῆναι ἀφ' ἑαυτοῦ βούλεται, οὐκ ἐξ ὀλιγωρίας, ἀλλ' ἵνα παιδευθῶσιν οἱ ἄλλην αἰτίαν τιθέμενοι τῶν πόνων, ὅτι οὐ δι' ἁμαρτίας ταῦτα ὑπομένει.

ΚΕΦΑΛΑΙΟΝ Ι'

Καὶ οὐ μὴ φοβηθῶ, ἀλλὰ λαλήσω. Οὐ γὰρ οὕτως συνεπίσταμαι κάμνων τῇ ψυχῇ. Στένων ἐπαφήσω ἐπ' αὐτὸν τὰ ῥήματά μου. Λαλήσω πικρίας ψυχῇ συνεχόμενος[3].

Παιδεῦσαι αὐτοὺς βούλεται, μὴ ἔχειν τὸ φορτικὸν μηδὲ ἐπιτίθεσθαι κάμνουσιν συννοῆσαί τε, ὅτι καὶ ἐν θλίψεσιν ὑπάρχων ἐρρωμένῳ τῷ λογισμῷ ἀποκρίνεται. Φησὶν οὖν, ὅτι εἰ ὁ μεσίτης ὑπῆρχεν ἀπαλλαγείς τε ἐτύγχανον τῶν ἐπιπόνων, ἃ ὑμεῖς οἴεσθε δι' ἁμαρτίας ἐπῆχθαί μοι, εἰ καθ' ὑμᾶς δουλωθεὶς ἐτύγχανον αὐτοῖς, ἀφόβως ἂν ἐλάλησα, ἀπαλλαγεὶς αὐτῶν· μετριάζων τε λέγει· οὐχ οὕτως νοῆσαι δύναμαι κάμνων ἐκ τῶν πόνων· εἰ δὲ καί, ὡς ὑμεῖς λέγετε, [ὅτι] δι' ἁμαρτίας **122** ταῦτα ἦν, στένων ἂν ἐλάλησα καὶ ὑπὸ πικρίας συνεχόμενος ἐφθεγγόμην [ἀποδιξαι] τὴν καθαρότητα τῆς συνειδήσεως ἐπιδεικνύμενος.

Καὶ ἐρῶ πρὸς Κύριον· μή με ἀσεβεῖν δίδασκε, καὶ διὰ τί με οὕτως ἔκρινας;[4]

Ἔλεξα δ' ἂν τῷ Κυρίῳ, εἰ μόνη αἰτία καθ' ὑμᾶς ἡ δι' ἁμαρτίας τῶν κολάσεων ὑπῆρχεν· «μή με ἀσεβεῖν δίδασκε»[5]. Εἰ γὰρ καὶ ὁ μηδὲν ἁμαρτὼν δι' ἁμαρτίας κολάζεται, τὸ ἁμαρτάνειν αἱρετώτερον ἂν εἴη. Ἄλλως τε καὶ διδάσκεται ἁμαρτάνειν ὁ μὴ τοιοῦτος, εἰ μία μόνη αἰτία ἐστὶν τοῦ πάσχειν. Ἔλεξα δ' ἂν καὶ τὸ «διὰ τί με οὕτως ἔκρινας»[6], «ὁ τὰς καρδίας ἐπιστάμενος»[7], εἰ μὴ συνήδειν, ὅτι διὰ τὸν ἐξαιτησάμενον ταῦτα ὑπομένω. Ταῦτα δὲ λέγει δυνάμει ὑποβάλλων αὐτοῖς πόθον ἐρωτήσεως, ἵνα ἐξ αὐτῶν προτροπῆς δοκοίη εἶναι ἡ περὶ τῆς καθαρότητος αὐτοῦ ἀπόκρισις καὶ μὴ αὐτοῦ ὑπαρξαμένου, ὅ περ ἐδόκει εἶναι ἀλαζονικόν.

Ἦ καλόν σοι, ἐὰν ἀδικήσω, ὅτι ἀ**124**πείπω ἔργα χειρῶν σοῦ;[8]

Καὶ τοῦτο δ' ἂν εἶπον, εἰ, ὡς ὑμεῖς διάκεισθε, δι' ἁμαρτίας εἶναι

---

1. Παρμ. 10,13. 2. Πρβλ. Παρμ. 13,24. 3. Ἰὼβ 9,35-10,1. 4. Ἰὼβ 10,2. 5. Ἔνθ' ἀν. 6. Ἔνθ' ἀν. 7. Πρβλ. Ρωμ. 8,27. Ἀποκ. 2,23. 8. Ἰὼβ 10,3.

τὰς ἐπαγωγὰς ὑπῆρχεν· καλόν σοι, ἐὰν ἀδικήσω, ὅτι μηδὲν ἁμαρτόντα ἀπείπω, ἔργον χειρῶν σου τυγχάνοντα; Εἰ γὰρ ὡσαύτως τιμωρεῖται τῷ φαύλῳ ὁ σπουδαῖος ὡς φαῦλος ὑπάρχων, περιττὴ ἡ ἀφορμὴ καθ' ὑμᾶς.

Βουλῇ δὲ ἀσεβῶν προσέσχες. Ἢ ὥσπερ βροτὸς ὁρᾷ καθορᾷς ἢ ὁ βίος σου ἀνθρώπινός ἐστιν ἢ τὰ ἔτη σου ἀνδρός[1].

Δυνατὸν λέγειν αὐτόν, ὅτι τῷ ἐξαιτησαμένῳ προσέσχες, ὑποβάλλοντα τὸ ἀληθές, ὅτι οὐ κατὰ τὸ⟨ν⟩ προηγούμενον λόγον πάσχει, λέγω δὴ δι' ἁμαρτίας. Δυνατὸν δὲ καὶ τούτους ἀριθμεῖν εἰς τὴν βουλὴν τῶν ἀσεβῶν· οὐ γὰρ εὐσεβῆ λέγουσι, μονοτρόπως τὴν κάκωσιν ἐκλαβόντες, ὅτι πᾶς θλιβόμενος δι' ἁμαρτίας θλίβεται. Ἔλεξα δ' ἂν καὶ τὸ «ὡς βροτὸς ὁρᾷ καθορᾷς»[2], εἰ ὡς ὑμεῖς διάκεισθε, μία[ν] ἦν αἰτ⟨ία⟩ τῶν θλίψεων, καὶ «ὁ βίος σου ἀνθρώπινός ἐστιν ἢ τὰ ἔτη σου **126** ἀνδρός»[3]. Πάντα ταῦτα ἂν εἶπον, εἰ τῆς αὐτῆς ὑμῶν γνώμης ἐτύγχανον· ἀλλ' ἐπιστάμενος, ὅτι οὐ μία αἰτία τῶν ἐπαγωγῶν ἐστιν, ἀλλὰ καὶ δι' ἀγῶνα τυγχάνουσα, οἶδα, ὅτι οὐχ ὡς ἄνθρωπός ἐστιν ὁ Θεὸς τὰ φαινόμενα μόνα σκοπῶν, ἀλλ' ἐπιβατεύων τῷ βάθει τῆς ψυχῆς οὕτως τε ἕκαστα δοκιμάζων δικαίως. Σημειωτέον, ὡς καὶ ἀλλαχοῦ, ὅτι πολύσημόν ἐστιν ὁ βίος ὄνομα. ⟨Σημαίνει γὰρ τὰ χρήματα⟩, καθὰ ἐν τῷ Ἄσματι τῶν Ἀσμάτων εἴρηται· «ἐὰν δῷ ἀνὴρ πάντα τὸν βίον αὐτοῦ ἐν τῇ ἀγάπῃ, ἐξουδενώσει[ν] ἐξουδενώσουσιν αὐτόν»[4]. Σημαίνει δὲ καὶ τὰ ὑπάρχοντα ὁ βίος, ὡς ἐὰν λέγῃ ὁ Ἰωάννης· «ὃς δ' ἂν ἔχῃ τὸν βίον τοῦ κόσμου καὶ θεωρῇ τὸν ἀδελφὸν αὐτοῦ χρείαν ἔχοντα, κλείσῃ δὲ αὐτοῦ τὰ σπλάγχνα»[5]. Λέγεται δὲ καὶ ἡ ὀρθὴ πολιτεία καὶ ἡ [η] φαύλη βίος, ὡς ἐὰν λέγωμεν· βίον ἔχει πρακτικόν, ἢ ὅτι φαῦλον βίον ὁ δεῖνα ἔχει. Ἐνταῦθα δὲ τὴν ἐν τῷ αἰῶνι τούτῳ παρεπιδημίαν βίον ἀνθρώπου εἶπεν. **128** Λέγει οὖν, ὅτι εἰ τοσοῦτον βίον εἶχες — ἀντὶ τοῦ χρόνου περιγραφόμενον — ὡς ἄνθρωπος, διεκρινόμην ἂν ὡς πρὸς ἀγνοοῦντα. Ὁ Θεὸς δὲ αἰώνιος· εἴρηται γάρ· «σὺ γὰρ εἶ ὁ αὐτὸς καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν»[6]. Καὶ πάλιν· «⟨ἐν⟩ γενεᾷ γενεῶν τὰ ἔτη»[7]. Ἀπερίγραφός ἐστιν ἡ τοῦ Θεοῦ ὕπαρξις· ἀίδιος γάρ. Διόπερ οὐδὲν ἀγνοεῖς τῶν κατ' ἐμέ, λέγοι ἂν ὁ Ἰώβ.

Ὅτι ἀνεζήτησας τὴν ἀνομίαν μου καὶ τὰς ἁμαρτίας μου ἐξιχνίασας[8].

Ἐκείνους πάλιν ἐλέγχων ταῦτά φησιν, ὅτι ἡ συμφορὰ ἡ περὶ ἐμὲ πολλὰ ἡμαρτηκότων ἐστίν. Ἐπεὶ οὖν οἱ φίλοι ὡς δι' ἁμαρτίας πάσχοντα ἐλογίζοντο, δείκνυσιν αὐτοῖς ἠρέμα, ὅτι οὐκ ἔχει τοῦτο οὕτως, διὰ

---

1. Ἰὼβ 10,3-5. 2. Ἰὼβ 10,4. 3. Ἰὼβ 10,5. 4. Ἆσμ. 8,7. 5. Α' Ἰω. 3,17. 6. Ψαλ. 101,28. 7. Ψαλ. 101,25. 8. Ἰὼβ 10,6.

τοῦ λέγειν, ὅτι τὰ ἔτη σου, ὦ Θεέ, μὴ ἀνθρώπου ὑπάρχει, ὅτι ἀνεζήτησας ⟨τὴν ἀνομίαν μου⟩. Κατὰ τούτων γὰρ λόγον ὡς ἡμαρτηκότα μετέρχῃ καὶ ἐπιζητεῖς ἀνομίας ἢ ἁμαρτίας ἡμετέρας διὰ τῶν ἐπαγωγῶν κατὰ τοὺς οὕτω διακειμένους.

130 Οἶδας γάρ, ὅτι οὐκ ἠσέβησα[1].

Τὴν γνῶσιν τοῦ πράγματος ἀνακαλύπτει αὐτοῖς λέγων πρὸς Θεόν· «οἶδας, ὅτι οὐκ ἠσέβησα»[2]. Ἀλλ' οὗτοι οἴονται τὰ ἐπιφερόμενα ὡς κατὰ ἀσεβοῦς ἐπενεχθῆναι.

Ἀλλὰ τίς ἐστιν ὁ ἐκ τῶν χειρῶν σου ἐξαιρούμενος;[3]

Πάλιν ὑποβάλλει νοεῖν, ὅτι ἔστιν καὶ μὴ ἡμαρτηκότα ἐπιπόνοις περιπίπτειν· καὶ γὰρ οἶδεν ὁ Θεός, ὅτι οὐκ ἠσέβησεν ὁ Ἰώβ. Ἐπάγει δὲ τὸ «ἀλλὰ τίς ἐστιν ἐκ τῶν χειρῶν σου ἐξαιρούμενος;»[4] Τοὺς φίλους παιδεύων οἴεσθαι καὶ τὸν μὴ ἡμαρτηκότα μηδὲ ἠσεβηκότα ὑπὸ χεῖρα τοῦ Θεοῦ γίνεσθαι ἐν ἐπιπόνοις διὰ ἀγῶνα καὶ καρτερίας ἐπίδειξιν. Λέγου[ν]σιν γοῦν οἱ θλιβόμενοι μέν, μὴ πίπτοντες δὲ διὰ τὰς θλίψεις· «ἐν παντὶ θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι»[5]. Καὶ πάλιν λέγεται· «πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτούς»[6]. Οὐκ ἔστιν δὲ τὸ ῥυ**132**σθῆναι ἐκ τῶν θλίψεων τὸ μὴ θλίβεσθαι πάντως, ἀλλὰ τὸ μὴ ἡττηθῆναι προηγουμένως ὑπ' αὐτῶν, τὸ μὴ παγιδευθῆναι ὑπὸ τῶν τὰ δίκτυα τῶν θλίψεων ἐπιφερόντων.

Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με[7].

Καὶ τοῦτο οἰκείως ἐπήνεγκεν· ἵνα γὰρ μή τις ὡς ὠμὸν καὶ ⟨ἀ⟩παραίτητον τὸν Θεὸν ὑπονοήσῃ αὐτὸν λέγειν διὰ τοῦ «ἀλλὰ τίς ἐστιν ὁ ἐκ τῶν χειρῶν σου ἐξαιρούμενος»[8], ἐπιφέρει τὸ «αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με»[9], λέγων ὅτι κἂν ἐπάγει θλίψεις, ἀλλὰ φείδεται τῶν ἰδίων ποιημάτων· εἴρηται γάρ· «φείδῃ δὲ πάντων, ⟨ὅτι σά ἐστιν,⟩ δέσποτα φιλόψυχε»[10]. Εὖ δὲ τὸ «αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με»[11], ἵνα τὸ μὲν «ἐποίησαν» ἐπὶ τῆς ψυχῆς λαμβάνηται, τὸ δὲ «ἔπλασαν» ἐπὶ τοῦ σώματος· ἀντέρεισιν γὰρ σημαίνει τὸ «ἔπλασάν με», ὅπερ οἰκεῖον σώματι. Καὶ ἐν τῇ Γενέσει δὲ εἴρηται· «ἐποίησεν ὁ Θεὸς **134** τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν»[12]· οὐ γὰρ τὸ σῶμα κατ' εἰκόνα, ἀλλ' ἡ ψυχή· οὐ γὰρ ἀνθρωπόμορφος ὁ Θεός. ⟨Καὶ μεθ' ἕτερα⟩ εἴρηται· «ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον, χοῦν ἀπὸ τῆς γῆς»[13] τὸ σῶμα λαμβάνων, ἵν' ὡς εἴπομεν τὴν μὲν ποίησιν ἐπὶ τῆς ψυχῆς

---

1. Ἰὼβ 10,7. 2. Ἔνθ' ἀν. 3. Ἰὼβ 10,7. 4. Αὐτόθι. 5. Β' Κορ. 4,8. 6. Ψαλ. 33,20. 7. Ψαλ. 118,73. Πρβλ. Ἰὼβ 10,8. 8. Ἰὼβ 10,7. 9. Ψαλ. 118,73. Πρβλ. Ἰὼβ 10,8. 10. Σ. Σολ. 11,26. 11. Ψαλ. 118,73. Πρβλ. Ἰὼβ 10,8. 12. Γεν. 1,27. 13. Γεν. 2,7.

δεχώμεθα, τὴν δὲ πλάσιν ἐπὶ τῆς σαρκός. Εἰ δὲ καὶ ἐπὶ τῆς σαρκὸς κεῖται ἡ ποίησις, οὐ ξενιστέον· καὶ γὰρ τὸ πλάσαι τῷ γένει ποιῆσαί ἐστιν. Ἀντιθήσει μὲν οὖν τις λέγων [λεγων] καὶ τὸ πεπλάσθαι ἐπὶ τῆς ψυχῆς κεῖσθαι καὶ τοῦτο σημαίνεσθαι ἐκ τοῦ· «ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν»[1]. Πρὸς δὲ σοφῶς δὲ καὶ τὰ περὶ χειρῶν Θεοῦ νοητέον· καὶ ὁ μὲν ἁπλουστέρως εἰρῆσθαί φησι τὰς χεῖρας πληθυντικῶς ἢ δυϊκῶς τὴν δραστήριον τοῦ Θεοῦ δύναμιν· ἔστι[ν] δὲ καὶ ἀκριβέστερον λαβεῖν χεῖρα τὸν Υἱὸν — εἴρηται γάρ· «ἡ χείρ μου ἐποίησεν ταῦτα πάντα»[2] — καὶ τὸ πνεῦμα, καθὸ εἴρηται· «τῷ λόγῳ τοῦ Κυρίου οἱ **136** οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ ⟨πνεύμα⟩τι τοῦ ⟨στόματος⟩ αὐτοῦ πᾶσα ἡ δύναμις αὐτοῦ»[3]. Εἴρηται δὲ καί· «Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ ἡ δύναμις ὑψίστου ἐπισκιάσει σοι, διὸ τὸ γεννώμενον ἐν σοὶ ἅγιον κληθήσεται Υἱὸς Θεοῦ»[4]. Ἵνα γὰρ συστῇ ὁ ναὸς τοῦ Σωτῆρος, καὶ Πνεύματος Ἁγίου ἐπέλευσις γέγονεν καὶ τῆς τοῦ ὑψίστου δυνάμεως, ἥτις ἐστὶν ὁ Υἱός.

Μετὰ ταῦτα μεταβαλών με ἔπαισας[5].

Τὸ δημιουργικὸν ἅμα καὶ προνοητικὸν τοῦ Θεοῦ διὰ τούτων παρίστησιν, διὰ μὲν τοῦ «αἱ χεῖρές σου ἐποίησάν με»[6] τὸ δημιουργικόν, διὰ δὲ τοῦ «μετὰ ταῦτα μεταβαλών με ἔπαισας»[7] τὸ προνοητικόν. Καὶ τοῦτο γὰρ προνοίας ἐστὶν Θεοῦ ἔργον τὸ ἐν θλίψεσιν δι' ἀγῶνα περιβαλεῖν τὸν ἀνδρεῖον, ἵνα χαρακτῆρα καὶ σκοπὸν τοῖς ἀνθρώποις στήσῃ, πρὸς ὃν ἀποβλέποντες μιμηταὶ καταστῶσιν. Τὸ δὲ «μεταβαλών» νοητέον ἀντὶ τοῦ μεταβολὴν περὶ ἐμὲ ποιήσας τοῦ σώματος· εἴλ-**138** κωτο γὰρ καὶ λελώβητο ἀνιαρῶς πάντων ἁπαξαπλῶς τῶν περὶ αὐτὸν μεταβληθέντων.

Μνήσθητι, ὅτι πηλόν με ἔπλασας, εἰς δὲ γῆν με πάλιν ἀποστρέφεις[8].

Ἀκολούθως καὶ τῆς δημιουργίας καὶ τῆς προνοίας αὐτὸν ἐπιστάμενος ἀρχηγὸν καὶ κύριον εἰς εὐχὴν τρέπει τὸν λόγον λέγων· εἰ καὶ ἐπήγαγες ὡς ἐξουσιάζων τὰ ὀδυνηρά, ἀλλὰ μνήσθητι, ὅτι ἀσθενής εἰμι καὶ ἐκ πηλοῦ τὴν σύστασιν ἔχω — τοῦτο δὲ κατὰ τὸ σῶμα νοητέον — καὶ πλάσας εἰς γῆν ⟨με πάλιν⟩ ἀποστρέφεις. Καὶ δῆλον ἐκ τούτου, ὅτι περὶ τοῦ σώματος λέγει· οὐ γὰρ εἰς γῆν ἡ ψυχὴ ἀποστρέφεται. Τὰ δὲ περὶ τῆς ἀσθενείας τῆς ἀνθρωπίνης φύσεως διεξέρχεται προτρέπων καὶ τοὺς φίλους εἰς καρτερίαν καὶ ἐπίγνωσιν τῆς ἀρετῆς αὐτοῦ καὶ τῆς ὑπομονῆς. Καὶ νῦν δὲ ὡς οἰκεῖον τὸ πλάσαι τῷ σώματι συνῆψεν· ἀντιτύπῳ γὰρ ἡ πλάσις οἰκεῖον· καὶ γὰρ περὶ τῶν ἀγγέλων οὐκ εἴρηται·

---

1. Ψαλ. 32,15. 2. Πράξ. 7,50. Πρβλ. Ἡσ. 66,2. 3. Πρβλ. Ψαλ. 32,6. 4. Πρβλ. Λουκ. 1,35. 5. Ἰὼβ 10,8. 6. Ψαλ. 118,73. Πρβλ. Ἰὼβ 10,8. 7. Ἰὼβ 10,8. 8. Ἰὼβ 10,9.

ὁ πλάσας ἀγγέλους, ἀλλ' «ὁ ποιῶν ἀγ**140**γέλους αὐτοῦ πνεύματα»[1]. Καὶ περὶ τῆς γῆς εἴρηται ὡς παχέος σώματος· «καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν»[2]. Ταῦτα δὲ οὐχ, ὅτι κατὰ τοὺς ἀνθρώπους Θεὸς χερσὶ διαπλάττει, εἴρηται, ἀλλ' ὅτι ἑκάστῳ τὸ οἰκεῖον ἡ θεία παίδευσις ἐπιφέρει ὄνομα, τὴν μὲν πλάσιν ὡς εἴπομεν τῷ σώματι, τὴν δὲ ποίησιν τῇ ψυχῇ. Ὅμοιον τῷ «εἰς δὲ γῆν με πάλιν ἀποστρέφεις»[3] τὸ τῷ Ἀδὰμ εἰρημένον· «γῇ εἶ καὶ εἰς γῆν ἀπελεύσει»[4]. Παρατηρητέον ὅτι, ἐάν τι περὶ συνθέτου λέγηται, οὐκ ἀνάγκη περὶ παντὸς ⟨μέρους⟩ αὐτὸ νοεῖν. Ἐὰν γὰρ λέγηται· καὶ ἦν Δαυὶδ ὁ πρᾶος[5] ἢ Μωσῆς[6], οὐ περὶ τοῦ σώματος αὐτοῦ τοῦτο νοοῦμεν. Ἐὰν δέ· καὶ ἦν Δαυὶδ ὁ «πυρράκης μετὰ κάλλους ὀφθαλμῶν»[7], περὶ τοῦ σώματος αὐτὸ διανοούμεθα, οὐ περὶ ψυχῆς. Καὶ ἐνταῦθα εἰ λέγεται· «εἰς δὲ γῆν με πάλιν ἀποστρέφεις»[8], οὐ δεῖ λογίζεσθαι, ὅτι περὶ τῆς ψυχῆς τοῦτο λέγεται.

Ἦ οὐχ ὥσπερ γάλα με ἤμελξας, ἐτύρωσας δέ με ἴσα τυρῷ;[9].

Τὸ σπέρμα, ἐξ οὗ συνίσταται τὸ ζῷ**142**ον, ὡς γάλα ἀμελχθὲν λέγει· καὶ ὥσπερ τὸ γάλα συστρεφόμενον τυρὸς γίνεται, οὕτω καὶ τὸ σπέρμα συστραφὲν φύσις γίνεται· κατάστασις δέ ἐστιν αὕτη πρὸ τοῦ ἐμβρύου· τὸ γὰρ καταβληθὲν εἰς τοὺς αὐλακας τῆς ὑστέρας σπέρμα, ὅταν συστραφῇ οἷα τυρός, γίνεται φύσις· ὅπερ λοιπὸν διαπλάττεται ἤ, ὡς ἡ Γραφή φησιν, «ἐξεικονίζεται»[10] καὶ δέχεται ὥσπερ χαρακτῆρας. Ὅταν δὲ διαστῇ τὰ μέλη καὶ ἕκαστον ἰδίᾳ γένηται καὶ κινῆται λοιπὸν οἷα ζῴου χεὶρ ἢ πούς, τότε ἐμβρύου μὲν ἡ ἀπότεξις ἀποδείκνυσιν εἰς τὸ φανερὸν τὸ ζῷον. Ταῦτα πάντα οὖν ἐμπεριλαμβάνει, διὰ μὲν τοῦ «μνήσθητι, ὅτι πηλόν με ἔπλασας»[11] τὴν ἐξ ἀρχῆς κτίσιν τοῦ Ἀδὰμ σημαίνων, διὰ δὲ τοῦ «ἦ οὐχ ὥσπερ γάλα με ἤμελξας»[12] τὰς κατὰ διαδοχὴν συνισταμένας γενέσεις. Πάντα οὖν ταῦτα διέξεισιν, τὸ δημιούργημα τοῦ Θεοῦ ὑποδεικνύς, ἵν' [δι] ἐκ τούτου ἢ δι' εὐχῆς εἰς ἔλεον ἐκκαλέσηται. Τὸ «ἤμελξας»[13] οὖν λέγει τῷ Θεῷ **144** δεικνύς, ὅτι αὐτοῦ ἐνεργείᾳ ἡ γνησία τῶν σπερμάτων καταβολὴ γίνεται.

Δέρμα καὶ κρέας με ἐνέδυσας, ὀστέοις δὲ καὶ νεύροις με ἐνεῖρας[14].

Τούτῳ χρῶνται οἱ βουλόμενοι δεῖξαι, ὅτι, οὓς ἐνέδυσεν ὁ Θεὸς δερματίνους χιτῶνας, τὰ σώματά ἐστιν ταῦτα τὰ παχέα. Καὶ γὰρ ἐν τῇ Γενέσει εἴρηται· «καὶ ἐποίησεν ὁ Θεὸς τῷ Ἀδὰμ καὶ τῇ γυναικὶ αὐτοῦ χιτῶνας δερματίνους καὶ ἐνέδυσεν αὐτούς»[15]. Ἀλλ' «ἐποίησεν τῷ Ἀδὰμ καὶ τῇ γυναικὶ αὐτοῦ»[16], ἵνα δείξῃ, ὅτι κατάλληλον «ἄρρενι

---

1. Ἰὼβ 103,4. 2. Ψαλ. 94,5. 3. Ἰὼβ 10,9. 4. Γεν. 3,19. 5. Πρβλ. Ψαλ. 131,1. 6. Πρβλ. Ἀριθ. 12,3. 7. Α' Βασ. 16,12. 17,42. 8. Ἰὼβ 10,9. 9. Ἰὼβ 10,10. 10. Πρβλ. Ἐξ. 21,22,23. 11. Ἰὼβ 10,9. 12. Ἰὼβ 10,10. 13. Ἔνθ' ἀν. 14. Ἰὼβ 10,11. 15. Γεν. 3,21. 16. Ἔνθ' ἀν.

καὶ θηλείᾳ»[1] ἔνδυμα πεποίηκεν. Σαφές, ὅτι «δέρμα καὶ κρέας»[2] ἐνταῦθα τὸ σῶμά φησιν· συνάπτει γὰρ ἑξῆς τὰ διακρατητικὰ τούτου λέγων· «ὀστέοις δὲ καὶ νεύροις με ἐνεῖρας»[3]. Ὅλην οὖν τὴν ὁδὸν καὶ ἁρμονίαν τῆς συστάσεως τοῦ σώματος ἀπαγγέλλει διά τε τῶν πρὸ τούτων καὶ αὐτῶν τῶν ἐγκειμένων. Σημειωτέον, ὅτι φαίνεται τῆς ψυχῆς ταῦτα ῥήματα· αὕτη γάρ ἐστιν ἡ ἐνδυσαμένη τὸ δέρ**146**μα καὶ τὸ κρέας ὀστέοις τε καὶ νεύροις ἐνερθεῖσα· ὅπερ σημαίνει προτέραν αὐτὴν εἶναι τῶν ἐνδυμάτων καὶ τοῦ ἐν⟨δ⟩εδύσθαι· ὑποκειμένη γὰρ ἐνδέδυται.

Ζωὴν δὲ καὶ ἔλεος ἔθου παρ' ἐμοῦ, ἡ δὲ ἐπισκοπή σου ἐφύλαξέν μου τὸ πνεῦμα[4].

Ἐπεὶ μὴ αὐτὰ καθ' ἑαυτὰ τὸ δέρμα καὶ [τὸ] κρέας καὶ τὰ ὀστᾶ καὶ νεῦρα ζωὴν ἔχει, παρουσίᾳ δὲ ψυχῆς ζωτικὰ κινήματα ἔχει—ἀναχωρησάσης γοῦν αὐτῆς οὐδὲν ἔχει ζωτικόν—, φησίν, ὅτι οὐκ ἔπλασας μόνον καὶ κρέας καὶ δέρμα καὶ ὀστᾶ καὶ νεῦρα πεποιηκὼς ἐνέδυσάς με, ἀλλὰ καὶ «ζωὴν καὶ ἔλεον ἔθου παρ' ἐμοῦ»[5]. Καὶ διὰ μὲν τοῦ ζωὴν τεθηκέναι τὸ τῆς δημιουργίας οἰκεῖον σημαίνει, διὰ δὲ τοῦ ἐλέου τὴν προνοητικὴν χάριν. Ἐπεὶ γὰρ συμβαίνει καὶ ἐπιβουλὴν ὑπομείνειν τὴν ζωὴν τὴν τοιαύτην, ἐλέου χρεία, δι' ὅπερ εἴρηται· «ζωὴν καὶ ἔλεον ἔθου παρ' ἐμοῦ»[6]. Οὐ γὰρ κατὰ χρέος, ἀλλὰ κατ' ἔλεον καὶ ἀγαθότητα δημιουρ-**148**γεῖ Θεός· τὸ γὰρ εὐπαθεῖ ὕλῃ ζωὴν δωρήσασθαι ἐλέῳ μᾶλλον ἢ ἑτέρῳ τινὶ γέγονεν. Ἔτι δὲ σαφέστερον τὰ περὶ τῆς προνοίας καὶ κηδεμονίας αὐτῆς τὸ ἑξῆς δηλοῖ φάσκον· «ἡ δὲ ἐπισκοπή σου ἐφύλαξέν μου τὸ πνεῦμα»[7], πνεῦμα λέγων τὴν ψυχήν. Εἰ γὰρ καὶ πολλὰ σημαίνει τὸ πνεῦμα, ἀλλὰ νῦν τὴν ψυχὴν δηλοῖ· ἐὰν γὰρ λέγῃ Ἰάκωβος· «ὥσπερ τὸ σῶμα χωρὶς πνεύματος νεκρόν ἐστιν»[8], καὶ Στέφανος ἐντυγχάνων τῷ Θεῷ καὶ λέγων· «Κύριε, δέξαι τὸ πνεῦμά μου»[9], τὴν ψυχὴν σημαίνει.

Ταῦτα ἔχων ἐν σεαυτῷ οἶδα ὅτι πάντα δύνασαι· ἀδυνατεῖ δέ σοι οὐδέν[10].

Οὐκ ἔξωθεν ὁ Θεὸς ἔχει, ἃ ἔχειν λέγεται· πᾶν γάρ, ὅ ἐστιν, ἁπλοῦς ὢν ἐστιν καὶ ἀσύνθε[ν]τος ὑπάρχων, οὐ προσλαμβάνων ἔξωθέν τι· ἀπροσδεὴς γάρ. Καὶ γὰρ δημιουργὸς καὶ ἀγαθὸς καὶ φῶς καὶ πᾶν, εἴ τι ὀρθῶς θεολογεῖται, κατ' οὐσίαν αὐτῷ πρόσεστιν. Πιστῶς δὲ καὶ φρονίμως ἀκουστέον τοῦ «πάντα δύνασαι»[11], ἵνα μὴ ὑποπέσωμεν τῇ τῶν **150** δοκητῶν ἀνοίᾳ. Ἔστιν δὲ σαφὲς τὸ λεγόμενον διαιρέσει χρησαμένοις οὕτως· τῶν δυνάμεων αἱ μέν εἰσιν ἐνερ⟨γη⟩τικαί, αἱ δὲ παθητικαί. Καὶ ἐνεργητικαὶ μέν εἰσιν, καθ' ἃς ποιοῦμεν, παθητικαὶ δέ,

---

1. Πρβλ. Γεν. 1,27. 5,2. 2. Ἰὼβ 10,11. 3. Ἔνθ' ἀν. 4. Ἰώβ 10,12. 5. Ἔνθ' ἀν. 6. Αὐτόθι. 7. Ἰὼβ 10,12. 8. Ἰακ. 2,26. 9. Πράξ. 7,59. 10. Ἰὼβ 10,13. 11. Ἔνθ' ἀν.

καθ' ἃς γινόμεθα, αἱ καὶ .....λουσαι πρὸς τὰς ἐνεργείας. Ἐὰν οὖν λέγηται ὁ Θεὸς πάντα δύνασθαι, οὐ δεῖ προσάπτειν αὐτῷ καὶ τὰς παθητικὰς δυνάμεις· οὐ γὰρ οἷόν τε εἰπεῖν αὐτὸν γενέσθαι ἄλλο τι— οὐ γὰρ ὑπάρχουσιν αὐτῷ αἱ κατ'ἐπιτηδειότητα δυνάμεις— οὐδὲ λεκτέον, ὅτι δύναται ψεύδεσθαι ἢ μεταβάλλεσθαι ἢ ἀρνήσασθαι ἑαυτόν. Ἃ ἁρμό- 5
ζει οὖν Θεῷ, δυνατὰ αὐτῷ λέγω. Σοφίζονται γάρ τινες, ὧν ἐστι καὶ Πορφύριος καὶ ὅμοιοι, ὅτι εἰ πάντα δυνατὰ τῷ Θεῷ καὶ τὸ ψεύσασθαι, καὶ εἰ πάντα δυνατὰ τῷ πιστῷ[1], δύναται καὶ κλίνην ποιῆσαι καὶ ἄνθρωπον ποιῆσαι. Οὐ τοῦτο δὲ σημαίνεται, ἀλλ' ὥσπερ, ἐὰν λέγηται πάντα δυνατὰ τῷ ἰατρῷ, περὶ ἰατρικῆς λέγω, καὶ πάντα δυνα**152**τὰ τῷ κυ- 10
βερνήτῃ, τὰ ἁρμόζοντα τῇ τέχνῃ αὐτοῦ φημι, οὕτως ἐὰν λέγω πάντα δυνατὰ τῷ Θεῷ ἢ τῷ πιστῷ, τοῦτο λέγω, ὅτι ⟨ἃ⟩ ἁρμόζει Θεῷ Θεῷ δυνατά, καὶ ⟨ἃ⟩ ἁρμόζει πιστῷ δύναται πιστός. Ταῦτα δέ ἐστιν τὰ διὰ πίστεως κατορθούμενα. Ὅτι δὲ καὶ ἡ Γραφὴ τοῦτο οἶδεν, φησὶν περὶ Θεοῦ· «εἰ ἀρνησόμεθα, αὐτὸς πιστὸς μένει. Ἀρνήσασθαι γὰρ ἑαυτὸν οὐ 15
δύναται»[2]. Καὶ πάλιν· «ἐν οἷς ἀδυνατὸν ψεύσασθαι τὸν Θεόν»[3]. Ὡσαύτως δὲ καὶ μετὰ συνέσεως τὸ «ἀδυνατεῖ δέ σοι οὐδὲν»[4] ἐκλημπτέον, ὅπερ ἐκ παραλλήλου οἷόν τε νοῆσαι τῷ φθάσαντι κατὰ τὸ λεχθὲν ἐν τῷ Εὐαγγελίῳ· «πάντα δι' αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδέν»[5]. Συνεπίσκεψαι δέ, εἰ καὶ οὕτως αὐτὸ νοῆσαι προσήκει· 20
ἡ κακία μὴ ὄν ἐστιν — ἀμέλει γοῦν οἱ μετέχοντες αὐτῆς μὴ ὄντες λέγονται· «μὴ παραδ⟨ῷ⟩ς γὰρ τὸ σκῆπτρόν σου τοῖς μὴ οὖσιν»[6]. Εἴρηται καί· «ὁ καλῶν τὰ μὴ ὄντα ὡς ὄντα»[7], «ἵνα τὰ ὄντα καταργήσῃ»[8] — ἵν' ᾖ τοῦτο **154** λέγων· τὸ μὴ ὂν καὶ ἡ κακία ἀδυνατεῖ σοι· τρεπτοῦ γὰρ τὸ ἁμαρτάνειν οἰκεῖον. 25

Ἐάν τε γὰρ ἁμάρτω, φυλάξεις με· ἀπὸ δὲ ἀνομίας οὐκ ἀθῷόν με πεποίηκας[9].

Εἰκότως τοῦτο λέγει· ἐπεὶ γὰρ δημιουργὸν καὶ προνοητὴν ἑαυτοῦ τε καὶ τῶν ὅλων οἶδεν αὐτόν, ἀκολούθως καὶ περὶ μακροθυμίας αὐτοῦ διδάσκει. Ἐπίσταται γὰρ καὶ αὐτὸς κατὰ τὸν μακάριον Δαυίδ, ὅτι «οὐκ 30
ὀργὴν ἐπάγει καθ' ἑκάστην ἡμέραν»[10]. Φυλάττει δὲ τὸν ἁμαρτάνοντα Θεὸς οὐ βουλόμενος αὐτὸν ἁμαρτάνειν — «οὐ βούλεται γὰρ τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὴν μετάνοιαν»[11]— ἀλλ⟨ὰ⟩ [ἵνα] νόμον διδοὺς τὸν κωλύοντα ἁμαρτάνειν, ὅπως μισήσῃ κακίαν ὁ ἐνεργῶν αὐτήν. Ἠρέμα δὲ καὶ ἐλέγχει τοὺς φίλους οἰομένους, ὅτι δι' ἁμαρτίας πάσχει, διδά- 35
σκων αὐτούς, ὅτι οὐχ ἅμα τῷ ἁμαρτῆσαι Θεὸς ἀποδίδωσιν, ἵνα καὶ αὐτοὶ ἐκ τῶν καθ' ἑαυτοὺς τοῦτο λογίσωνται. Διδάσκει δὲ καὶ τὸ τρεπτὸν τῆς φύσεως τῶν ἀνθρώπων διὰ τοῦ «ἀ**156**πὸ δὲ ἀνομίας οὐκ

---

1. Πρβλ. Ματθ. 17,20. 2. Πρβλ. Β' Τιμ. 2,12-13. 3. Ἑβρ. 6,18. 4. Ἰὼβ 10,13. 5. Ἰω. 1,3. 6. Ἐσθὴρ 4,17q. 7. Ρωμ. 4,17. 8. Α' Κορ. 1,28. 9. Ἰὼβ 10,14. 10. Πρβλ. Ψαλ. 7,12. 11. Πρβλ. Ἰεζ. 33,11.

ἀθῷόν με πεποίηκας»[1], ἅμα καὶ μετριότητος δεῖγμα ἐκφέρων καὶ τὴν κατὰ διαδοχὴν τοῦ Ἀδὰμ ὑποδεικνὺς ἁμαρτίαν κοινὴν οὖσαν ἀνθρώπων. Οὐ τοῦτο δέ φαμεν, ὅτι οἱ ἅγιοι ὑπόκεινται τῇ παραβάσει κατὰ προαίρεσιν, ἀλλὰ κατὰ διαδοχήν, ὡς ἐλέχθη. Ὡς γὰρ ὁ γεγεννημένος παρ' εἰδωλολάτρῃ βρέφος ὢν οὐκ ἔχει ἁμαρτίαν, τοῦτ' αὐτὸ δὲ ὥσπερ μολυσμὸν ἔχει παρὰ τοιούτοις γεννηθῆναι τῆς ἀνατροφῆς μεμπτῆς οὔσης, οὕτω καὶ περὶ τοὺς ἁγίους δεῖ νοεῖν παράπτωμα οὐχ ἑκούσιον. Οὕτω καὶ εἴρηται· «πάντες γὰρ ἥμαρτον»[2]. Λέγομεν δὲ τῶν ἁγίων τὰ ἁμαρτήματα ὁδὸν ἐπ' ἀρετὴν εἶναι. Καὶ ὥσπερ, εἴ τις γράφειν μανθάνων, ἐπεὶ οὐ δύναται ἀθρόως καλῶς γράψαι, διαπταίει ἐν τῷ μανθάνειν τοῦ πταίσματος αὐτοῦ οὐχ οὕτω τυγχάνοντος μεμπτοῦ, ὡ⟨ς⟩ εἰ ἐθελοκάκως τις γράφοι κακόν, οὕτω καὶ ἐπὶ τὴν ἀρετὴν ὁρμώμενος, εἰ πρῶτον ἀγνοίᾳ σφάλλεται, οὐ κολαστέος.

158 Ἐάν τε γὰρ ἀσεβὴς ὦ, οἴμ[μ]οι. Ἐάν τε ὦ δίκαιος, οὐ δύναμαι ἀνακύψαι[3].

Λέγοι ἄν, ὅτι εἴ τε προαιρετικῶς ἁμάρτω, οἴμ[μ]οι, εἴ τ⟨ε⟩, ὡς προαποδεδώκαμεν, τὸ ἐκ διαδοχῆς μόνον ⟨ἔχω⟩ τοῦ Ἀδάμ, πάλιν οὐδ' οὕτω ἀνακύψαι δυνήσομαι ὡς παντὸς ἀπηλλαγμένος ῥύπου. Τῶν γὰρ ἁμαρτημάτων τὰ μὲν ἐκ τῆς ἡμετέρας προαιρέσεως φαύλως ὑφίσταται, τὰ δὲ ὡς προείρηται· καὶ τοῖς μὲν ἐκ προαιρέσεως κόλασις ἕπεται, τοῖς δὲ ἐξ ἀγνοίας κάθαρσις χρεωστεῖται. Δύναται δὲ λέγειν, ὅτι εἰ καὶ δίκαιός εἰμι, ἀλλ' οὐ μεγαφρονῶ τὸ ἄδηλον ἐπιστάμενος. Πολλοὶ γὰρ περιαυτολογήσαντες πράγματι ἐπέπεσαν. Καὶ πρό⟨σ⟩χες γε δὴ ὁ Φαρισαῖος ἐπὶ Θεοῦ λέγων μὴ ἄρα ἀληθῶς ἔλεγεν; Τῷ δὲ περίαυτα εἶναι τὰ ῥήματα οὐκ ἔσχεν ἀποδοχήν. Ἀμέλει εἴρηται περὶ τοῦ ταπεινοῦ, ὅτι «κατέβη οὗτος δεδικαιωμένος παρ' [ε] ἐκεῖνον»[4].

Πλήρης δὲ ἀτιμίας εἰμί[5].

Τὸ τῆς ἀνθρωπίνης ἀσθενείας σαθρὸν **160** σημαίνει. Πλήρης γὰρ ἀτιμίας ἐστὶν ὁ ἄνθρωπος τῷ περικεῖσθαι σῶμα τοιοῦτο, περὶ οὗ Παῦλός φησιν· «σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ»[6].

Ἀγρεύομαι δὲ ὥσπερ λέων εἰς σφαγήν[7].

Πλήρης με ἀτιμίας ὄντα κατὰ τὴν προαποδοθεῖσαν ἔννοιαν οἰόμενος καταβάλλειν ὁ ἐχθρὸς διὰ τῶν περιεστηκότων ὥσπερεὶ κυσὶν καὶ δικτύοις περιβάλλειν πειρᾶται. Ὁ λέων δὲ μέγα ζῷον ὑπάρχει. Εἴρηται· «λέων ἰσχυρότερος κτηνῶν»[8]. «Δίκαιος» γὰρ «ὥσπερ λέων πέποιθεν»[9]. Ὅμως ὁ παρατεταγμένος πρὸς ἀντίπαλον οἶδεν, ὅτι ἀ-

---

1. Ἰὼβ 10,14. 2. Ρωμ. 3,23. Πρβλ. Ρωμ. 5,12. 3. Ἰὼβ 10,15.
4. Λουκ. 18,14. 5. Ἰὼβ 10,15. 6. Α' Κορ. 15,43. 7. Ἰὼβ 10,16.
8. Πρβλ. Παρμ. 30,30. 9. Παρμ. 28,1.

γρ[α]εῦσαί τις αὐτὸν πειρᾶται· οὗτος δέ ἐστιν ὁ ἀντίδικος διάβολος. Σφαγὴν δὲ λέγει νῦν τὴν ὑπόπτωσιν εἰς ἁμαρτίαν· λέγεται γὰρ καὶ ἐπὶ κολάσεως ἡ σφαγὴ πολλάκις. Ἐμφαίνει τὸ μέγεθος τῆς καθ' ἑαυτοῦ ἐπιβουλῆς ὑπερβαλλούσης διὰ τοῦ λέγειν, ὅτι οὕτως «ἀγρεύομαι ὥσπερ λέων»[1] τοῦ ἐχθροῦ καθάπερ λέοντος ἐπάγοντος τὰς πάγας καὶ μη**162δὲν** παραλιπόντος εἰς πειρασμόν. Τοῦτο δὲ οὐχ ὑπεροψίᾳ, ἀλλὰ φανερώσει τῆς ἐπιβουλῆς εἴρηται.

Πάλιν γὰρ μεταβαλὼν δεινῶς με ὀλέκεις[2].

Παρίστησιν, ὅτι εἰ καὶ ἀγρεύομαι ὥσπερ λέων [αλλα] τοσούτων μοι περιεστηκότων, ἀλλ' οὐκ αὐθεντοῦσιν αὐτοὶ τῆς ἐπιφορᾶς· σὴ γάρ ἐσιιν ἡ συνχώρησ[ε]ις. Εἰ μὴ γὰρ Θεὸς συνεχώρησεν, ὁ ἀγρεύων οὐκ εἶχεν ἐξουσίαν. Τὸ δὲ «μεταβαλὼν»[3] ἐνεργητικῶς ἀκούειν δεῖ ὡς τῆς μεταβολῆς περὶ τὸν Ἰὼβ γεγενημένης ἐκ πλούτου εἰς πενίαν καὶ ἐξ ὑγιαίνοντος εἰς νοσοῦντα, ..ων πολλὴ ..... της προσγέγονεν.

Ἐπαναιν ίζων ἐπ' ἐμὲ τὴν ἔτασίν μου[4].

Τὴν ἀλλεπάλληλον τῶν ἐπιπόνων ἐπίτασιν σημαίνει. Καθάπερ γὰρ πολέμιος ἀποκρουόμενος ἐκ τῶν ἐναντίων πάλιν ἑαυτὸν παρασκευάζει πρὸς τὸ καταπολεμεῖν, τὸν αὐτὸν τρόπον ὡς πρὸς ἀνδρεῖον ἀεὶ καινὰς ὁ λαβὼν τὴν ἐξουσίαν ἐπινοῶν ἀλγηδόνας εἰς **164** μέγεθος ἐξῆρεν τὴν θλῖψιν. Τοῦτο δείκνυται ἐκ τοῦ· «ἔτι τούτου λαλοῦντος ἦλθεν ἕτερος ἄγγελος»[5]· πυκναὶ γὰρ καὶ ἀλλεπάλληλοι αἱ ἀνίαι ἐγίγνοντο.

Ὀργῇ δὲ μεγάλῃ μοι ἐχρήσω· ἐπήγαγες δὲ ἐπ' ἐμὲ πειρατήρια[6].

Καὶ ἐνταῦθα πάλιν τὸ μέγεθος τῶν θλιβηρῶν ἐμφαίνει, οὐκ ἀποκάμνων, ἀλλὰ παριστῶν τοῖς φίλοις γνῶναι, ὅτι ἡ ὑπερβάλλουσα αὕτη ὀργὴ οὔχ, ὡς ὑπενόουν, δι' ἁμαρτίας ἐστίν, εἰ συμβάλοιεν αὐτοῦ τὸν βίον. Ὀργὴν δὲ ἐνταῦθα οὐ πάθος ἐκλαβεῖν δεῖ, ἀλλὰ τὴν ἐπίπονον ἀγωγήν, καθὰ καὶ Μωσῆς πρὸς Θεόν φησιν· «ἐξαπέστειλας τὴν ὀργὴν καὶ κατέφαγεν αὐτοὺς ὡς καλάμην»[7], ε....οι μὲν δι' ἁμαρτίας· ἐνφαίνει δὲ ἐνταῦθα διὰ τοῦ[σ] «ἐπήγαγες δὲ ἐπ' ἐμὲ πειρατήρια»[8], ὅτι οὐ δι' ἁμαρτίας· οἱ γὰρ τούτῳ τῷ τρόπῳ κολαζόμενοι οὐ πειρατήρια ὑφεστάναι λέγονται. Οὕτω δὲ νοητέον τὸ ἐπῆχθαι τὰ πειρατήρια, οὐχ ὡς ὑποπέσῃ αὐτοῖς. Γ[ε]ίνεται δὲ καὶ τοῦτο, ὅπερ **166** μὴ γενέσθαι ἐδιδάσκοντο ἐν τῇ εὐχῇ λέγειν οἱ μαθηταί· «μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν»[9].

---

1. Ἰὼβ 10,16. 2. Ἔνθ' ἀν. 3. Ἔνθ' ἀν. 4. Ἰὼβ 10,17. 5. Ἰὼβ 1,16,17. Πρβλ. Ἰὼβ 1,18. 6. Ἰὼβ 10,17. 7. Ἐξ. 15,7. 8. Ἰὼβ 10,17. 9. Ματθ. 6,13. Λουκ. 11,4.

Ἵνα τί οὖν ἐκ κοιλίας με ἐξήγαγες, καὶ οὐκ ἀπέθανον; ὀφθαλμὸς δέ με οὐκ εἶδεν, καὶ ὥσπερ οὐκ ὢν ἐγενόμην[1].

Τοῦτο οἰηθείη τις εἶναι ἐξ ἀποκακήσεως, ἀλλὰ ἀνατρέπεται ἐκ τοῦ εἰρημένου πρὸς τοῦ Θεοῦ· «οἶει δέ με ἄλλως σοι κεχρηματικέναι ἢ ἵνα ἀναφανῇς δίκαιος;»[2]. Οὐκ ἀντιδοξῶν οὖν τοῦτο λέγει ὁ πρὸ βραχέος εἰπών· «ἐάν τε γὰρ ἀσεβὴς ὦ, οἴμοι»[3], ἀλλὰ τὸ πικρὸν τοῦ βίου δηλῶσαι βουλόμενος, ὅπερ οὐκ ἂν ποιήσειεν φαῦλος· ἥδεται γὰρ ἐπὶ τῷ ζῆν τούτῳ. Ἄλλως τε καὶ τὴν αἰτίαν δειχθῆναι βούλεται φανερῶς καὶ τοῖς φίλοις, δι' ἣν οὐκ ἀπέθανεν ἅμα τῷ ἐκ κοιλίας ἐξελθεῖν· δῆλον δέ, ὅτι διὰ τὸ μέλλειν εἶναι σκοπὸς ἀνδρείας. ⟨Ὑποδείκνυται δὲ⟩ καὶ ἄλλως ἡ μετὰ σαρκὸς ἀγωγή[σ], περὶ ἧς γράφει Παῦλος· «εἰ ἐν ταύτῃ τῇ ζωῇ ἠλπικότες ἐσμὲν μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν»[4]. **168** Καὶ τὰ ἡδέα τοῦ βίου καὶ τὰ πικρὰ αἰσθάνεται. Οὐδεὶς γὰρ ἀπολυόμενος σαρκὸς ἥδεται ἐπὶ πλούτῳ, ἐπὶ ἀκολασίᾳ, οὐδὲ ἐπὶ τοῖς κακωτικοῖς ἀνιᾶται. Πειραθεὶς οὖν τῆς ζωῆς ταύτης καὶ τῶν ἐν αὐτῇ ἡδέων — εὔπαις γὰρ καὶ πολύπαις καὶ πλούσιος γεγένηται ὑγίειάν τε σώματος ἔσχεν — μεταπεσόντων τῶν πραγμάτων εἰς τὰ τούτων ἐναντία καὶ τούτων ἐν πείρᾳ γενάμενος καὶ αὐτοῖς ἔργοις τὸ ματαῖον αὐτῶν ἐγνωκώς, παιδεύει καὶ ἡμᾶς μὴ πόθον ἔχειν πρὸς αὐτὰ διὰ τοῦ λέγειν· «ἵνα τί οὖν ἐκ κοιλίας με ἐξήγαγες καὶ οὐκ ἀπέθανον»[5], ὀφθαλμοῦ με μὴ θεασαμένου, ἵν' ὡς μὴ ὢν γένωμαι. Δείκνυται τὸ ματαῖον τῶν ἐν τῷ βίῳ τούτῳ περιμαχήτων οἷον πλούτου ἐκ τοῦ· «μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ, ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήμψεται τὰ πάντα»[6]— οὐ γὰρ ἕπεται τῷ ἀπαλλαττομένῳ ταῦτα — «οὐ γὰρ συνκαταβήσεται αὐτῷ ἡ δόξα τοῦ οἴκου αὐτοῦ»[7]. Ἐν γὰρ τούτῳ **170** τῷ ζῆν οἱ τοιοῦτοι μόνον πεποίθασιν[8]. Εἰ δὲ καὶ θέλουσιν οἱ ἅγιοι ὡς ὁ μακάριος Παῦλος «ἐπιθυμίαν ἔχων εἰς τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι»[9] ἀπαλλαγῆναι τοῦ βίου, ἀλλ' οὖν ἐκδέχονται τὸ παρὰ τοῦ Θεοῦ κρίμα. Ἔχουσι δὲ πόθον τοῦ ἔξω εἶναι σώματος οἱ ἅγιοι προσφόρως. Οὐ γὰρ ἅγιοι μόνοι, ἀλλὰ καὶ οἱ ἔξω τοῦ κηρύγματος τῆς ἀληθείας περὶ τῆς ψυχῆς τῆς ἀνθρώπου ὡς ἀθανάτου ἐκλαμβάνουσιν. Καὶ δῆλόν γε τὸ τοιοῦτον ἐκ τῶν συμβαινόντων αὐτῇ· μετέχει γὰρ Ἁγίου Πνεύματος, γνῶσιν δέχεται τῆς τριάδος· ὁμοιοῦται γὰρ τῷ Θεῷ κατὰ τὸ δυνατόν, ἅπερ αὐτῇ συμβαίνει ἁπλῇ κατ' οὐσίαν ὑπαρχούσῃ, ἐξ ὧν τὸ ἀθάνατον αὐτῆς κυροῦται. Δῆλον δέ, ὅτι κρειττων τυγχάνουσα τοῦ σώματος, ὅτε ἀμίγως ἔχει πρὸς αὐτό, καθαρωτέραν καὶ εἰλικρινεστέραν ἔχειν τὴν ἐνέργειαν. Καὶ ἔστω παράδειγμα τούτου πρόχειρον εἰς παράστασιν τοῦ τὰ κρείττονα

---

1. Ἰὼβ 10,18-19. 2. Ἰὼβ 40,8. 3. Ἰὼβ 10,15. 4. Α' Κορ. 15,19. 5. Ἰὼβ 1,18. 6. Ψαλ. 48,17-18. 7. Πρβλ. Ψαλ. 48,18. 8. Πρβλ. Α' Κορ. 15,19. 9. Φιλιπ. 1,23.

μειγνύμενα τοῖς ἐλάττοσιν ἐλαττοῦσθαι, οἷον τὸ μέλι μιγὲν ἀψινθίῳ ἐλαττοῦται **172** καὶ οἶνος ὕδατι. Συνεζεύχθη δὲ οὐ κατὰ Μανιχαῖον, ἀλλ' ἀκολουθήσασα .....α ἐν ἑτέροις λο..... .... συνῆψεν δὲ αὐτὴν .....ως ὁ δημιουργὸς τῷ σώματι εἰς ἕνωσιν πρὸς αὐτὴν πλασθέντι, .. ἡ σύστασις τῆς ζωῆς ....ηται. 5 Ἐβούλετο .... τὰ αἴτια τοῦ .. ..ι· ἐβούλετο δὲ μὴ .... πειραθῆναι, ἀλλ' ὡς ε..... .....ῆναι· ἀγαθὸν γὰρ [ι..] ὑπὲρ ἀμφοτέρους τὸ ἔκτρωμα[1]· οὐ γὰρ ἂν ἀγαθὸν ἐλέγετο, εἰ μὴ ὑπὲρ..... ... Ἀλλὰ καὶ περὶ τοῦ Ἰούδα λέγεται· «καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη»[2]. Εἰ μὴ γὰρ αὐτῷ ... . 10 .....γεννηθῆναι ..... . οὐκ ἂν ἐκέκλητο.

Διὰ τί γὰρ ἐκ γαστρὸς εἰς μνῆμα οὐκ ἀπηλλάγην; Ἢ οὐκ ὀλίγος ἐστὶν ὁ χρόνος τοῦ βίου μου;[3]

Τὸν τῆς ἀθανάτου ζωῆς χρόνον ἐννοῶν καὶ τοῦτον συνκρίνων 15 τῇ παρούσῃ ζωῇ φησιν· οὐκ ὀλίγος ἐστὶν ὁ χρόνος τοῦ βίου μου, ὥστε βέλτιον ἦν μὴ γεννηθῆναι; Ταῦτα δὲ δ.....ν λέγει **174** πα...ων .... ας μὴ ἐνδου... αἰτια. τῆς ἐνταῦθα γενέσεως.

Ἔασόν με ἀναπαύσασθαι μικρὸν πρὸ τοῦ με πορευθῆναι, ὅθεν οὐκ ἀναστρέφω[4]. 20

Εὐχῆς τρόπῳ ταῦτα προφέρει. Οὐ γὰρ αἱ ἐπικείμεναι ἀνίαι μικραὶ ἐτύγχανον οὐδ' ἀναισθήτως ἔφερεν τὰς ἀλγηδόνας. Τοῦτο γὰρ οὐκ ἦν ἀνδρεῖον, εἰ οὐκ ἠσθάνετο. Διδάσκει δέ, ὅτι Θεοῦ δυνάμει ὑπέμεινεν, δι' ὧν εὔχεται εὐχαρίστως. Ταῦτα καὶ Παῦλός φησιν· «οὐκ ἐγὼ δέ, ἀλλ' ἡ χάρις σὺν ἐμοί»[5]. Θέλει δ' ἀνεθῆναι «πρὸ τοῦ πορευθῆ- 25 ναι, ὅθεν οὐκ ἀναστρέφει»[6]. Οὔκουν διὰ τὸ ἑαυτὸν ....., ἀλλὰ διὰ τὸ τοὺς φίλους παιδεῦσαι ταῦτα ηὔχετο, οἳ τοὺς μὲν ὑφισταμένους τὰ ἐπίπονα φαύλους ἐτίθεντο, τοὺς δ' ἀπαλλαττομένους σπουδαίους. Ἐβούλετο πληροφορηθῆναι ..... τὸ περὶ αὐτοῦ κρίμα. Οὐ δεῖ λογίζεσθαι, ὅτι ἀνάστασιν νεκρῶν ἀναιρεῖ ὁ Ἰώβ, ἀλλ' οὕτω .... 30 «ὅθεν οὐκ ἀναστρέφω»[7] ..... ω.ιν κατ' ἐ**176**πίκηρον ζωήν· οἶδεν γάρ, ὅτι ἄφθαρτος ἀναστήσεται.

Εἰς γῆν σκοτεινὴν καὶ γνοφεράν, εἰς γῆν σκότους αἰωνίου, οὗ οὐκ ἔστιν φέγγος οὐδὲ ὁρᾶν ζωὴν βροτῶν[8]. 35

Καὶ ἐν ταῖς ἀλγηδόσιν τυγχάνων ὁ ἀνδρειότατος ἐκήρυττεν περὶ μέλλοντος αἰῶνος· οὕτως οὐκ ἀναιρῶν ἀνάστασιν ἔλεγεν τὸ «πρὸ τοῦ με πορευθῆναι, ὅθεν οὐκ ἀναστρέφω»[9]. Γνοφερὰν δὲ καὶ σκοτεινὴν γῆν

---

1. Πρβλ. Ἐκκλ. 4,3. 6,3. 2. Ματθ. 26,24. 3. Ἰὼβ 10,19-20. 4. Ἰὼβ 10,20-21. 5. Α΄ Κορ. 15,10. 6. Πρβλ. Ἰὼβ 10,21. 7. Ἰὼβ 10,21. 8. Ἰὼβ 10,21-22. 9. Ἰὼβ 10,21.

τοῦ σκότους αἰωνίου, ἔνθα φέγγος οὐκ ἔστιν οὐδὲ ζωὴ βροτῶν, φησὶν αὐτὴν πρῶτον μὲν τὰ ἐλάττονα διδοὺς ἑαυτῷ ὁ ἅγιος· οὐ γὰρ ἥρμοζεν λέγειν αὐτόν· πρίν με εἶναι ἐν τῇ «βασιλείᾳ τῶν οὐρανῶν»[1] καὶ τῇ ἐν ἐ-παγγελίαις σου τοῦ Θεοῦ γῇ ..... ἐτύγχανεν ἐλαττ..... ....υτων τυγχάνουσιν. Ἔπειτα βούλεται τοὺς ἀκούοντας παιδευθῆναι περὶ τῆς κρίσεως, ὅτι οὔπω συνέβαινεν διόρθωσις ταῖς πράξεσιν. Σημειωτέον δέ, ὅτι τὸ γῆς ὄνομα πολλάκις καὶ γνώμην τὴν φαύλην φησίν. Τούτῳ δὲ δηλοῦται τὸ «ε178βαθύνατε εἰς τὴν κάθισιν»[2] καὶ τὸ «εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς»[3]. .... ἐπεκαλέσαντο τα...ν ....ν ἐπὶ τῶν γεώδων. Τοῦτο δὲ τοῖς «φοροῦσι τὴν εἰκόνα τοῦ χοϊκοῦ»[4] ἁρμόζει. Λέγεται δὲ πολλάκις γῆ καὶ ἡ ψυχή, ἀλλ' ὅτε μὲν ἀρετὴν ἔχει, ἀγαθή, ὅτε δέ ἐστιν πετρώδης καὶ ἀκανθοφόρος[5], κακή. Πρὸς τοὺς φιλοῦντας δὲ τὴν ἐν τῷ βίῳ τούτῳ ἡδονὴν λέγει τὸ πληκτικόν· «οὐκ ἔστιν φέγγος οὐδὲ ὁρᾶν ζωὴν βροτῶν»[6].

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'

Ὑπολαβὼν δὲ Σωφὰρ ὁ Μιναῖος λέγει· ὁ τὰ πολλὰ λέγων καὶ ἀνταικούσεται, ἢ καὶ ὁ εὔλαλος οἴεται εἶναι δίκαιος[7].

Οὐ τὴν καθήκουσαν εὐλάβειαν περὶ τὸν ἅγιον ἔχοντες θρασύτερον ἢ προσῆκεν αὐτῷ προσεφέροντο, πολλὰ λέγειν αὐτὸν οἰόμενοι, ἐπεὶ τὸν σκοπὸν τῶν προσαγγελλομένων ἠγνόουν. Κρίνεται δὲ τὸ πολλὰ λέγειν οὐκ ἐκ τοῦ πλήθους τῶν λόγων· ἔστιν γὰρ ὅτε .... τῶν πραγ-μάτων .... ἔχει· ἀλλ' ὅτε ἀλληνάλλως λεγόμενα **180** ὅπερ συμβαίνει..... .. πεντε ῥήματι ἀσ..... ..... .σιν. Καταδρομῇ δὲ χρώμενος πρὸς αὐτὸν ὡς πολλὰ λέγοντα ἐπιφέρει καὶ τὸ «ἢ ὁ εὔλαλος οἴεται εἶναι δίκαιος», πιθανὸν τυγχάνον. Πολλοὶ γὰρ τῶν ἁμαρτα-νόντων λόγους ἐκ λόγων ἐξάπτοντες οἴονται κρύπτειν τὰ ἁμαρτήματα τῇ πιθανότητι τῶν λόγων, ὑποκλέπτειν θέλοντες τῶν πεπραγμένων αὐτοῖς τὴν χαλεπότητα· ἀλλ' οὐ τοιοῦτος ὁ δίκαιος Ἰὼβ πρὸς Θεοῦ μαρτυρούμενος[8]. Οὐ καθηκόντως οὖν, ὡς ἐλέχθη, αὐτῷ προσεφέροντο διὰ ⟨τὸ⟩ τὴν αἰτίαν τῶν ἐπαγομένων αὐτῷ ἐπιπόνων ἁμαρτίαν λο-γίζεσθαι· δι' ἣν πλάνην ..... αἰνίττεται αὐτῷ, ὅτι εἰ καὶ ..... διεξε... τοὺς λόγους ....ι, οὐ διὰ τοῦτο δίκαιός ἐστιν.

Εὐλογημένος γεννητὸς γυναικὸς ὀλιγό-βιος[9].

Πιθανῷ μὲν χρῆται λόγῳ νῦν, τῆς δὲ καθηκούσης γνώσεως τοῦ

---

1. Ματθ. 5,3. 2. Πρβλ. Ἱερ. 30,2,25. 3. Ψαλ. 62,10. 4. Πρβλ. Α' Κορ. 15,49. 5. Πρβλ. Ματθ. 13,5,7,20,22. 6. Ἰὼβ 10,22. 7. Ἰὼβ 11,1-2. 8. Πρβλ. Ἰὼβ 1,1. 40,8. 9. Ἰὼβ 11,2.

ἀνδρὸς ἀπολείπεται. Λέγει τοίνυν, ὅτι κἂν εὔλαλός τις ᾖ καὶ διὰ τῆς τῶν λόγων τῶν **182** παρ' ἑαυτοῦ προφερομένων ⟨πιθανότητος⟩ οἴηται δίκαιος εἶναι, ἀλλά γε γιγνώσκειν δεῖ αὐτόν, ὅτι ὀλιγόβιός ἐστιν. Κἂν ..... .οις τις εὐλογημένος ὑπὸ Θεοῦ νομισθῇ ὡς πολυετὴς —γενέσθαι γὰρ καὶ πολυχρόνιον ἄνθρωπον εὐλογημένον ἐνόμιζον—, ἀλλὰ καὶ οὗτος ὡς πρὸς τὸν μέλλοντα αἰῶνα ὀλιγόβιός ἐστιν· διὰ τ .... δεῖξαι αὐτῷ βουλόμενος, ὅτι οὐκ ἔχει τῶν πραγμάτων ἐπιστήμην ἀκριβῆ, ὀλιγόβιος γὰρ ὢν κατὰ τοὺς ἀνθρώπους. Δῆλον δὲ τοῦτο ἐκ τῶν ἑξῆς ἐπιφερομένων· γεννητὸν δὲ γυναικὸς περιφραστικῶς τὸν ἄνθρωπον σημαίνει. Ἔχομεν τοῦτο ὑπὸ τοῦ Κυρίου λεγόμενον· «μείζων ἐν γεννητοῖς γυναικῶν Ἰωάννου οὐδείς ἐστιν»[1]. Χαριέντως οἱ εἰς τοῦτο λόγοι ... παρατίθενται διαστέλλοντες τὸν Ἰησοῦν ἀπὸ τῶν γεννητῶν διὰ γυναικὸς διὰ τὸ παρθένιον εἶναι αὐτόν· χαριέντως δὲ ἐροῦμεν, ὅτι αὐτοῦ ...ηται· «γενόμενος ἐκ γυναικός»[2], δηλοῦντος ἐνταῦθα τοῦ τῆς **184** γυναικὸς ὀνόματος τὴν θήλειαν. Καὶ τῷ ὄντι ὀλίγος ἐστὶν ὁ χρόνος ἀνθρώπινος· καὶ τούτου δεῖγμα τὸ παρὰ Παύλου εἰρημένον· «εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν»[3]. Αὕτη γὰρ ἡ τοῦ συνθέτου ἀνθρώπου ζωή ἐστιν. Εἰ δὲ τὴν ⟨τῷ⟩ λογικῷ προσοῦσαν ζωὴν νοήσοις, οὐκ ὀλιγοψυχήσαις ἄν· ἀθάνατος γὰρ ἡ ψυχή. Εἰ γοῦν τὴν Μαθουσάλα ζωὴν συγκρίνοις, καὶ αὕτη ὀλίγη ἂν εἴη πρὸς τὴν ἐν τῷ μέλλοντι αἰῶνι ζωὴν καὶ τὴν τῆς ψυχῆς ἀθανασίαν.

Μὴ πολὺς ἐν ῥήμασιν γίνου, οὐ γάρ ἐστιν ὁ ἀντικρινόμενός σοι[4].

Ὁ..... .. τὴν ἀρετὴν τοῦ ὑποτ....., ὡς προείρηται, ἀγνοῶν καὶ τὸν σύμφωνον σκοπὸν τῶν ἀπαγγελλομένων πρὸς αὐτοῦ, λέγει αὐτῷ· «μὴ πολὺς ἐν ῥήμασιν γίνου»[5]. Ὁ δὲ θεῖος λόγος παιδεύων τὸ ἐν λόγοις περιττὸν ἐπέχειν φησίν· «ἐκ πολυλογίας οὐκ ἐκφεύξῃ ἁμαρτίαν»[6] πολυλογίαν ἐνταῦθα μὲν τὴν μὴ προσ**186**ηκόντων ἀπαγγελίαν λέγων. Ἔστιν δὲ ..... στου..αν καὶ κα..... . λαλεῖν. Ὅτι δὲ οὐ τὸ πλῆθος τῶν ἀπαγγελλομένων λόγων τὸ πολύλογον ποιεῖ, δηλοῖ ὁ ἀπόστολος «μέχρι μεσονυκτίου παρατείνων τὸν λόγον»[7] πρὸς τοὺς ἀκούοντας. Θαυμάσαι δέ ἐστιν αὐτοῦ τὴν κατὰ τοῦ Ἰὼβ θρασύτητα, ὅτι καίτοι ἀποκρινόμενος πρὸς αὐτὸν ἔφασκεν μὴ εἶναι τὸν ἀνταποκρινόμενον αὐτῷ· διὰ τούτου .... δεῖ θρασύτερόν τινα ..... ενεχθῆναι του το ....μενει τῷ διὰ φαυλότητα αὐτὸν πάσχειν, τὴν ἑτέραν ἀγνοῶν αἰτίαν.

---

1. Λουκ. 7,28. 2. Πρβλ. Γαλ. 4,4. 3. Πρβλ. Α' Κορ. 15,19. 4. Ἰὼβ 11,3. 5. Ἔνθ' ἀν. 6. Παρμ. 10,19. 7. Πρβλ. Πράξ. 20,7.

Μὴ γὰρ λέγε, ὅτι καθαρός εἰμι τοῖς ἔργοις καὶ ἄμεμπτος ἐναντίον αὐτοῦ[1].

Ὡς πρὸς τὴν ἰδίαν ὑπόληψιν ἀγνοῶν αὐτοῦ τὴν καθαρότητα τρόπον τινὰ παραίνεσιν αὐτῷ προσάγει οἰόμενος, ὅτι ἀθέτησίς ἐστιν τῆς προνοίας ἡ τούτου τῆς καθαρότητος καὶ τοῦ ἀμέμπτου ὁμολογία· οἴ**188**ονται γὰρ οἱ φίλοι, ὅτι εἰ μὴ ἦν ἁμαρτήσας, οὐ περιέπιπτεν σκυθρωποῖς. Οὐκ ἔχουσιν δὲ δεῖξαι, ὅτι εἶπεν ὁ Ἰὼβ πρὸς Θεόν· ἄμεμπτός εἰμι ἐναντίον σου. Ἤδει γάρ, ὅτι «ἄστρα οὐ καθαρὰ ἐνώπιον αὐτοῦ»[2], καὶ τὸ ὑπὸ τῶν δικαιοσύνην κατορθωσάντων λεχθέν· «ὡς [α] ῥάκος ἀποκαθημένης πᾶσα ἡ δικαιοσύνη ἡμῶν»[3] ἐναντίον σου. Ὡς πρὸς σὲ γὰρ τὸν δικαστὴν ὄντα δικαιοσύνην, κἂν ἔχωμεν δικαιοσύνην, ἀμαυρὰν αὐτὴν ἔχομεν ὡς πρὸς σέ. Καὶ Παῦλος δὲ λέγων· «οὐδὲν ἐμαυτῷ σύνοιδα»[4] καὶ ἐπάγων· «ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι»[5] δείκνυσι τὸ τῆς γενητῆς φύσεως ἀσθενές.

Ἀλλὰ πῶς ἂν ὁ Κύριος λαλήσαι πρὸς σέ; καὶ ἀνοίξῃ χείλη αὐτοῦ μετὰ σοῦ;[6]

Ἐπειδὴ φαίνονται .....οι ὄντες καὶ αὐτοὶ .... λόγων ἐχόντων ἐντρέχειαν, εἰ καὶ περὶ ἓν ἐσφάλησαν — εἴρηται γὰρ πρός τινος αὐτῶν· «ἐπερώτησον γὰρ γενεὰν πρώτην, ἐξιχνίασον δὲ κατὰ γένος πατέρων»[7]— **190** δῆλον, ⟨ὅτι⟩ λαλιὰν Θεοῦ καὶ χειλέων αὐτοῦ ἄνοιξιν οὐκ ἀνθρωποπαθῶς φησιν. Λέγει οὖν, ὅτι «μὴ λέγε σύ· καθαρός εἰμι»[8]· εὐτρέπιζε δὲ σεαυτὸν εἰς καθαρότητα. ἵνα οὕτω πρὸς σὲ λαλήσῃ Θεὸς καὶ ἀνοίξῃ τὰ χείλη αὐτοῦ μετὰ σοῦ δι' ἀγαθότητα. Λαλιὰν δὲ αὐτοῦ καὶ χείλη αὐτοῦ τὴν ἐν διανοίᾳ ἀοράτως γιγνομένην ὁμιλίαν ἐκλημπτέον. Ὅτι δὲ τὰ χείλη τὸν λόγον δηλοῖ, διδάσκει τὸ παροιμιῶδες λόγιον· «χείλη δὲ σοφῶν δέδεται αἰσθήσει»[9]· ἀλλὰ καὶ τὸ «ἄδικα χείλη μακρὰν ἀπὸ σοῦ ἄπωσαι»[10].

Εἶτα ἀναγγέλλει σοι δύναμιν σοφίας, ὅτι διπλοῦς ἔσται τῶ⟨ν⟩ κατὰ σέ[11].

Δηλοῖ, ὅτι λαλῶν πρὸς σὲ Θεὸς διδάξει σε, ὅτι σοφῶς ταῦτα ἐπήγαγεν. Διακείμενος δέ, ὅτι ὡς περ⟨ὶ⟩ ἀνταποδόσεως διδάξει αὐτὸν ὁ Θεὸς δικαίας, ταῦτα τῷ Ἰὼβ ἔλεγεν. Ἔστιν μὲν οὖν ἀληθῶς, ὅτε δι' ἁμαρτίας Θεὸς ἐπάγει ἐπίπονα, κατανοῆσαι τῷ δυναμένῳ τὴν μετὰ σοφίας αὐτοῦ καὶ ἐν τοῖς πικροῖς ἐπαγωγήν, ὅτι οὐκ **192** ἀμυνόμενος, ἀλλ' ἰατρικῶς καὶ πρὸς ὑγίειαν ψυχῆς ἐπάγει τὰς θλίψεις· ὅπερ ἐπιστάμενος εἷς τῶν ἁγίων ἔφη· «εὐλογήσω σε, Κύριε, ὅτι ὠργίσθης μοι εἰς σωτηρίαν»[12]. Χαρίσματος δὲ θείου ἐστὶν τὸ δέξα-

---

1. Ἰὼβ 11,4. 2. Πρβλ. Ἰὼβ 25,5. 3. Ἡσ. 64,5. 4. Α' Κορ. 4,4. 5. Ἔνθ' ἀν. 6. Ἰὼβ 11,5. 7. Ἰὼβ 8,8. 8. Πρβλ. Ἰὼβ 11,4. 9. Παρμ. 15,7. 10. Παρμ. 4,24. 11. Ἰὼβ 11,6. 12. Ἡσ. 12,1.

σθαι γνῶσιν τῶν τοῦ Θεοῦ κριμάτων, περὶ ὧν εἴρηται· «τὰ κρίματά σου ἄβυσσος πολλή»[1]. Τοσοῦτον δὲ γιγνώσκομεν, ὅτι πρὸς τὸ συμφέρον ἐπιτελοῦνται, κἂν μὴ καταλαμβάνωμεν. Καὶ ἔστω ὡς ἐπὶ παραδείγματος νῆσός τις ἀφωρισμένη, εἰς ἣν τοὺς πταίοντας καὶ σφαλλομένους ἄρχων ἐκπέμπει· δίκαιος δὲ οὗτος ὑποκεῖσθαι δῆλος, ὡς πᾶς, ὅστις γοῦν εἰς τὴν νῆσον ἀποστέλλεται ἐκεῖσε οἰκῆσαι, ἁμαρτὼν τοῦτο ὑπομένει, κἂν μὴ τὴν ἀκριβῆ αἰτίαν τοῦ σφάλματος γιγνώσκωμεν. Ἀπόδειξιν δὲ τοῦ σοφίᾳ πάντα ποιεῖν τὸν Θεὸν ἐπάγει λέγων, ὅτι «διπλοῦς ἔσται τῶ⟨ν⟩ κατὰ σέ»[2], διπλοῦν, ὡς ἡγοῦμαι, λέγων τὸν ἀσυνκρίτῳ ὑπεροχῇ διαφέροντα, ἀσθενῶς τῆς **194** λέξεως ὑπ' αὐτοῦ προενεχθείσης. Ὅτι δὲ τὰ κρίματα τοῦ Θεοῦ βαθεῖαν ἔχει τὴν γνῶσιν, διδάσκει Δαυὶδ μακάριος, ᾧ «τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας»[3] πεφανέρωται λέγων· «ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ· ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν»[4]. Καὶ ἕτερος περὶ τῆς σοφίας λέγει· «εἶπα· σοφισθήσομαι, καὶ αὐτὴ ἐμακρύνθη μακρὰν ἀπ' ἐμοῦ ὑπὲρ ὃ ἦν. Καὶ βαθὺ βάθος· τίς εὑρήσει αὐτήν;»[5].

Καὶ τότε γνώσῃ, ὅτι ἄξιά σοι ἀπέβη ἀπὸ Κυρίου ὧν ἡμάρτηκας[6].

Ἔ⟨τ⟩ι τῆς αὐτῆς ἐχόμενος διανοίας ὡς πρὸς ἁμαρτήσαντα διαλεγόμενός φησιν, ὅτι εἰ λαλήσαι Κύριος πρὸς σὲ καὶ ἐπιστήσαι σε κατὰ τὴν σοφίαν ἑαυτοῦ, ἐξ οὗ γνοὺς τὴν ὑπεροχὴν αὐτοῦ μαθήσει «ὅτι ἄξιά σοι ἀπέβη ἀπὸ Κυρίου ὧν ἡμάρτηκας»[7]. Προπετείᾳ δὲ ταῦτα οὗτος λέγει μὴ ἐπιστάμενος τῶν ὑπὸ Θεοῦ γιγνομένων τὰς αἰτίας πρὸς ἐπιστάμενον, ὅτι ἀνδρείας ἕνεκεν ταῦτα ὑπέμενεν τὸν ἀπὸ Θεοῦ ἔπαινον ἀπεκδεχόμενος τὸν εἰπόντα· «οἶει δέ **196** με ἄλλως σοι κεχρηματικέναι ἢ ἵνα ἀναφανῇς δίκαιος;»[8] αὐτὸς γὰρ «ὁ ποιῶν πάντα καὶ μεταστρεφόμενος»[9] οἶδεν ἑκάστου τὸ κρίμα.

Μὴ ἴχνος Κυρίου εὑρήσεις, ἢ εἰς τὰ ἔσχατα ἀφίκου, ἃ ἐποίησεν ὁ παντοκράτωρ[10].

Ἀπό τινος πιθανοῦ θρασέως διαλέγεται τῷ ἁγίῳ· ἐπεὶ γὰρ οἶδεν, ὅτι μέγα ἐστὶν τὰς τῆς προνοίας διοικήσεις καταλαβεῖν, ποιεῖται λόγον πρὸς αὐτὸν φάσκων· «μὴ ἴχνος Κυρίου εὑρήσεις ἢ εἰς τὰ ἔσχατα ἀφίκου»[11], ἔσχατα λέγων τὰς τῶν γιγνομένων ἐκβάσεις. Ἐλέγχεται δὲ καὶ οὗτος καὶ οἱ ἄλλοι φίλοι· ὡς γὰρ κατειληφότες, ὅτι δι' ἁμαρτίας ταῦτα πάσχει, κατέτρεχον αὐτοῦ. Ἔστιν δὲ καὶ ἄλλως τὰ ἔσχατα νοῆσαι· καθὸ καὶ εἴρηται· «ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς»[12]. Καὶ ἔτι τὸ ἔσχατον τοιοῦτον, οὗ χάριν τὰ ἄλλα πάντα, αὐτὸ δὲ οὐδε-

---

1. Ψαλ. 35,7. 2. Ἰὼβ 11,6. 3. Ψαλ. 50,8. 4. Ψαλ. 138,6. 5. Ἐκκλ. 7,23-24. 6. Ἰὼβ 11,6. 7. Ἔνθ' ἀν. 8. Ἰὼβ 40,8. 9. Ἀμ. 5,8. 10. Ἰὼβ 11,7. 11. Ἔνθ' ἀν. 12. Ψαλ. 134,7.

νὸς ἕνεκεν. Ἐπὶ δὲ παραδείγματος· τέλος ἡ ὑγίεια· διὰ γὰρ ταύτην τὰ ἄλλα, βοηθήματα λέγω, καὶ κάματοι καὶ σπουδαὶ εἰς τοῦτο. Λέγεται **198** δὲ καὶ τὰ πέρατα τοῦ κόσμου ἔσχατα· καθὸ εἴρηται· «ὠκεανὸς ἀπέραντος ἀνθρώποις καὶ οἱ μετ' αὐτὸν κόσμοι ταῖς αὐταῖς τα⟨γα⟩ῖς τοῦ δεσπότου διιθύνονται»[1]. Ἔννοιαν ἔχων ὁ ψαλμῳδὸς περὶ Θεοῦ ὡς ἐκπεριειληφότος καὶ τὰς ἀρχὰς καὶ τὰ τέλη καὶ συνόλως πάντα τὰ ὑπ' αὐτοῦ γιγνόμενα ἔλεγεν· «ἰδού, σύ, Κύριε, ἐποίησας πάντα τὰ ἔσχατα καὶ τὰ ἀρχαῖα»[2].

Ὑψηλὸς ὁ οὐρανός, καὶ τί ποιήσεις; βαθύτερα δὲ τῶν ἐν ᾅδου τί οἶδας; ἢ μακρότερα μέτρου γῆς ἢ εὔρους θαλάσσης;[3]

Δεῖξαι βούλεται διὰ πάντων τούτων, ὅτι ἡ τῶν ἀνθρώπων γνῶσις μεμετρημένη ἐστίν, μὴ ἐφικνουμένη τὰ τοῦ Θεοῦ κρίματα. Καὶ νῦν γοῦν· οὐρανός, φησίν, ἔστιν καὶ ᾅδου βαθύτερα καὶ μακρότερα γῆς καὶ τοῦ εὔρους τῆς θαλάσσης· λέγε τι περὶ αὐτῶν, εἰ δύνασαι. Αἰνίττεται δὲ ἴσως, ⟨ὅτι⟩ κἂν ἐπιχειρήσῃ τις περὶ γῆς καὶ θαλάττης καὶ οὐρανοῦ περιλαλῆσαι, ἀλλὰ τὰ ὑπερέκεινα ⟨ἀγ⟩νοεῖ. Δύναται τοῦτο ἐλέγχειν τοὺς περὶ Ἑλληνικὴν σο**200**φίαν ἐπειρημένους καὶ ἐξ αὐτῆς οἰομένους λέγειν τι περὶ οὐρανοῦ φύσεως ἢ γῆς καὶ θαλάττης, ὅταν καὶ περὶ τούτων κενὸν ὑποτίθενται καὶ περὶ ᾅδου πολλὰ λέγοντες, ὅτι τε ψυχῶν ἐστιν χωρίον καὶ ἄλλα, καὶ ῥάπτουσιν λόγους, ὧν τὴν ἀπόδειξιν φανερὰν καταστῆσαι οὐ δύνανται· ἀμέτοχοι γὰρ ὄντες Πνεύματος Ἁγίου τὴν περὶ τούτων ἀκριβῆ γνῶσιν οὐκ ἔχουσιν τῶν ἁγίων «ἐπὶ γῆς περιπατούντων καὶ ἐν οὐρανῷ ἐχόντων τὸ πολίτευμα»[4], ὥστ' ἂν εἰπεῖν· ὁ Θεὸς «δέδωκέν μοι τῶν ὄντων γνῶσιν ἀψευδῆ, εἰδέναι σύστασιν κόσμου καὶ ἐνέργειαν στοιχείων, ἀρχὴν καὶ τέλος καὶ μεσότητα χρόνων»[5] καὶ τὰ ἑξῆς.

Ἐὰν δὲ καταστρέψῃ τὰ πάντα, τίς ἐρεῖ αὐτῷ· τί ἐποίησας;[6]

Καὶ τοῦτο ἀληθῶς λέγει, εἰ καὶ πρὸς τὸν σκοπὸν μὴ βλέπων τὸν πρέποντα. «Τίς γὰρ ἀνθίσταται τῷ βουλήματι τοῦ Θεοῦ;»[7] ὅμοιον τούτῳ· «μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι· τί με ἐποίησας οὕτω;»[8] Θρασέως δὲ αὐτῷ εἴρη**202**ται τὸ «ἐὰν καταστρέψῃ τὰ πάντα»[9]. Ἐξὸν δὲ περὶ διοικήσεως εἰπεῖν, ἴσως δὲ αἰνιττόμενος τῷ Ἰώβ, ὅτι εἰ καὶ ἀλγεῖς, ἀλλ' οὐ δύνασαι εἰπεῖν· τί ἐποίησας; δικαίως γὰρ γέγονεν· ἥμαρτες γάρ. Ἀμέλει, τοῦτο οὐ πιστοῦται αὐτοῦ τὴν διάληψιν.

---

1. Πρβλ. Α' Κλημ. 20,8 ΒΕΠ 1,21. 2. Πρβλ. Ψαλ. 138,5. 3. Ἰώβ 11,8-9. 4. Πρβλ. Φιλιπ. 3,20. 5. Σ. Σολ. 7,17-18. 6. Ἰώβ 11,10. 7. Πρβλ. Ρωμ. 9,19. 8. Ρωμ. 9,20. Πρβλ. Ἡσ. 29,16. 9. Ἰώβ 11,10.

Αὐτὸς γὰρ οἶδεν ἔργα ἀνόμων· ἰδὼν δὲ ἄτοπα, οὐ παρόψεται ι[1].

Σαφὲς δή, ὅτι δι' αὐτὸν εἶπεν τὸ «ἐὰν δ⟨ὲ⟩ καταστρέψῃ»[2]· οἶδεν γάρ, φησίν, τὰ τῶν ἀνθρώπων ἔργα μὴ παροράων τὰ πταίσματα — δεικνὺς τοῦ Θεοῦ τὸ ἀναπόδραστον — ὁρᾷ δὲ αὐτὰ ἐν τοῖς φαύλοις. Χρήσιμον πρὸς τοὺς ἀμελεῖς τὸ ῥητόν.

Ἄνθρωπος δὲ ἄλλως νήχεται λόγοις, βροτὸς δὲ γυναικὸς γεννητὸς ἴσα ὄνῳ ἐρημίτῃ[3].

Τὸ ⟨τῆς⟩ τοῦ Θεοῦ [τῆς] γνώσεως ἀσφαλὲς παραβάλλων ταῖς τῶν ἀνθρώπων ἐπιβολαῖς νήχεσθαι αὐτοὺς ματαίως φησὶν ἐρημίτῃ αὐτὸν ὄνῳ παραβάλλων, διὰ τούτου παριστῶν τὸ σφόδρα τῶν ἀνθρώπων νωθὲς πρὸς τὴν κατάλημψιν τῶν κριμάτων **204** ὑπερβολικῷ χρώμενος τῷ λόγῳ. Οἱ μὲν γὰρ ἐθάδες ὄνοι καὶ περὶ πόλιν ὄντες ἔχουσί τι ἐκ τῆς συνηθείας ἐπιγνωστικὸν τοῦ ἐρημίτου καὶ διὰ τὸ φύσει νωθὲς καὶ τὸ ἄγριον καὶ τὰ τῆς συνηθείας τῶν ἡμέρων ἀφῃρημένου, ᾧ παρεικάζει τὸ ἀνθρώπινον γένος εἰς τὴν τῶν κριμάτων γνῶσιν. Τοῦτο βεβαιοῦται καὶ ἐκ τοῦ μακαρίου Δαυὶδ προσωποποιουμένου τὴν τῶν ἀνθρώπων περὶ κρίματα ἄγνοιαν ἐν τῷ λέγειν· «ἰδού, οὗτοι ἁμαρτωλοὶ καὶ εὐθηνοῦνται, εἰς τὸν αἰῶνα κατέσχον πλούτου. ⟨Καὶ εἶπα· ἄρα ματαίως ἐδικαίωσα τὴν καρδίαν μου καὶ ἐνιψάμην ἐν ἀθῴοις τὰς χεῖράς μου. Καὶ ἐγενόμην μεμαστιγμένος ὅλην τὴν ἡμέραν»[4].⟩ Καὶ μετὰ ταῦτά φησιν· «κτηνώδης ἐγενήθην παρὰ σοί»[5]. Εὖ δὲ τὸ «παρὰ σοί»[6]· ὡς γὰρ πρὸς τὴν τοῦ Θεοῦ γνῶσιν κτηνώδης, φησίν, ἐγενόμην. Εἶτα ἵνα δείξῃ, ὅτι ἀνθρώπων πρόσωπον ἦν, ὃ ἀνέλαβεν, φησίν· «ἐ206γὼ» δὲ «διὰ παντὸς μετὰ σοῦ»[7], δηλῶν ὅτι· τῇ σῇ μετουσίᾳ καὶ ⟨μετοχῇ⟩ ὅτι γιγνώσκω, οἶδα. Τῷ «κτηνώδης ἐγενόμην παρὰ σοί»[8] ὅμοιον τὸ «ἐγὼ δὲ ἄλογός εἰμι»[9] καὶ τὸ «ἐγώ εἰμι γῆ καὶ σποδός»[10].

Εἰ γὰρ σὺ καθαρὰν ἔθου τὴν καρδίαν σου, ὑπτιάζεις δὲ χεῖρας πρὸς αὐτόν, εἰ ἄνομόν τι ἐστὶν ἐν χερσίν σου, πόρρω ποίησον αὐτὸ ἀπὸ σοῦ· ἀδικία δὲ ἐν διαίτῃ σου μὴ αὐλισθήτω[11].

Καθάπερ διδάσκαλον ἑαυτὸν εἰσάγων προτροπὴν δῆθεν αὐτῷ προσάγει λέγων, ὅτι εἰ καὶ σφόδρα καθαρὸς εἶ οὕτως, ὡς ἀεὶ εἰς εὐχὴν τὰς χεῖρας ἀνατείνειν αἰτοῦντα τὰ ἀπὸ τοῦ Θεοῦ, εὐτρεπὴς ἔσο καὶ τὸ ὑπολειπόμενον ἐν σοὶ φαῦλον ἀπώσασθαι, ἀλλὰ καὶ ἀδικία ἐν σοὶ μὴ

---

1. Ἰὼβ 11,11. 2. Ἰὼβ 11,10. 3. Ἰὼβ 11,12. 4. Ψαλ. 72,12-14. 5. Ψαλ. 72,22. 6. Ἔνθ' ἀν. 7. Ψαλ. 72,23. 8. Ψαλ. 72,22. 9. Ἐξ. 6,12. 10. Γεν. 18,27. 11. Ἰὼβ 11,13-14.

αὐλιζέσθω. Ὅ ἐστιν· κἄν πως γένηταί σε ἐν ἀρχῇ τοῦ ἀδικεῖν γενέσθαι, ἀλλὰ μὴ παραμενέτω ἡ κακία ὡς αὐλίζεσθαι ἐν τῷ βίῳ τῷ σῷ. Ταῦτα δέ φησιν, ὅτι κατάλληλος τῇ τῆς ψυχῆς καθαρότητι τῇ κατὰ σύνεσιν ἔστω καὶ ἡ ἠθικὴ ἀρετή. Τούτῳ ὅμοι208ον τὸ «ἐπαίροντες ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμοῦ»[1]. Διασφάλλεται δέ πως οἰόμενος μὲν δυνατὸν εἶναι καθαρὰν ἔχειν καρδίαν καὶ πράξεις ἀδίκους. Τούτου δὲ τὸ ἐναντίον λέγοι ἄν τις δυνατὸν εἶναι πράξεις δικαίας καὶ μὴ καθαρὰν ἔχειν καρδίαν φάσκων τὸν ἐλεημοσύνην ποιοῦντα πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις τῆς καρδίας ῥερυπωμένης τὴν πρᾶξιν φαίνεσθαι ἴσην.

Οὕτως γὰρ ἀναλ⟨ά⟩μψει σου τὸ πρόσωπον ὥσπερ ὕδωρ καθαρόν[2].

Λέγει, ὅτι πάσης ἀπηλλαγμένος κηλῖδος καὶ ἀδικίας καθαρὸν ὥσπερ ὕδωρ ἕξεις τὸ πρόσωπον· δῆλον δέ, ὅτι τὸ τῆς ψυχῆς λέγει. Παντὸς γὰρ μολυσμοῦ χωρισθεὶς τῷ ὄντι ὁ ἄνθρωπος καθαρὸν καὶ εἰλικρινὲς τὸ «κατ' εἰκόνα»[3] ἐπιδείξει.

Ἐκδύσῃ δὲ ῥύπον καὶ οὐ μὴ φοβηθήσῃ[4].

Ἀνωμάλως μὲν κινεῖται τῷ λόγῳ. Μετὰ γὰρ τὸ «ἀναλάμψ⟨ε⟩ι τὸ πρόσωπον ὥσπερ ὕδωρ καθαρὸν»[5] λέγειν πάλιν «ἐκ210δύσῃ ῥύπον»[6] ἀνωμαλία πολλή. Ὅμως δὲ τοῦτο λέγει, ὅτι εὐτρεπίζων σεαυτὸν εἰς καθαρότητα παντὸς ἀπαλλαγήσῃ ῥύπου ὥστε ἄφοβον εἶναι καὶ μηκέτι δεδοικέναι ἀνταπόδοσιν. Πιθανῶς δὲ καὶ τοῦτο λέγει, ὅτι μετὰ ἔκδυσιν ῥύπου ἄφοβός ἐστι· «διανοίας» γὰρ καὶ «τὰ κρυπτὰ»[7] ὁρῶν ὁ Θεὸς οὐ κ⟨ο⟩λάζει τὸν τοιοῦτον· ἄνθρωποι μὲν γὰρ ἅτε τὸ κρυπτὸν ἀγνοοῦντες καὶ μεταγνόντα τινὰ λαβόντες ἐλεγχόμενόν τε ὡς πάλαι ἁμαρτόντα κολάζουσιν. Θεὸς δὲ τὴν παροῦσαν ἀρετὴν ἀποδεχόμενος τῶν παλαιῶν ἁμαρτημάτων ἀμνημονεῖ, καθὼς τὸ μετανοοῦν παριστᾷ πρόσωπον λέγον· «μὴ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων»[8].

Καὶ τὸν κόπον ἐπιλήσῃ ὥ⟨σ⟩περ κῦμα παρελθόν καὶ οὐ μὴ πτοηθήσῃ[9].

Τὸν ἐκ τῶν πληγῶν κόπον, ⟨δν⟩ ἐνόμιζον δι' ἁμαρτίας παθεῖν τὸν ἅγιον, φησὶν ἔνθα ἐπιλησθήσεσθαι καὶ ῥαδίως παρελθεῖν ὡς κῦμα μηδὲν αὐτοῦ πτοουμένου. Λήθην δὲ λέ212γει δηλονότι οὐ τὴν παντελῆ τῆς μνήμης φθίσιν, ἀλλὰ τὴν πάροδον τῶν ἀνιῶν· καθὸ καὶ περὶ τῶν δικαίων εἴρηται· «ἐπιλήσονται γὰρ τὴν θλῖψιν αὐτῶν τὴν πρώτην καὶ οὐ μὴ ἀναβῇ αὐτῶν ἐπὶ τὴν καρδίαν»[10]. «Ἐν ἡμέρᾳ γὰρ ἀγαθῶν ἀμνηστία κακῶν»[11].

---

1. Α' Τιμ. 2,8. 2. Ἰώβ 11,15. 3. Γεν. 1,26. 4. Ἰώβ 11,15. 5. Ἔνθ' ἀν. 6. Ἔνθ' ἀν. 7. Πρβλ. Α' Κορ. 14,25. Ρωμ. 2,16. 8. Ψαλ. 78,8. 9. Ἰώβ 11,16. 10. Ἡσ. 65,16. 11. Σ. Σειρ. 11,25.

Ἡ δὲ εὐχή σου ὥσπερ ἑωσφόρος, ἐκ δὲ μεσημβρίας ἀνατέλλει σοι ζωή[1].

Ὡς ἑπόμενον τοῦτο λέγει τοῖς φθάσασιν, ὅτι εἰ καθήραις σεαυτὸν ὡς μηδὲ εἰς ῥύπον γενέσθαι, ἡ εὐχή σου λάμψει ὥσπερ ἑωσφόρος. Σημαίνει δὲ αὐτῷ τοῦτο τὸν ἑωθινὸν τάχα φωτισμόν, καθ' ὃν ἄρχεται τὸ τῆς ἀρετῆς φέγγος· οὕτω δὲ ἰσχύσει τὸ φῶς ὡς τὸ ἀκμαῖον. Σκόπει δέ, τί αὐτῷ βούλεται τὸ «ἀνατέλλει σοι ζωή»[2], μή που τὴν ἀρετήν φησιν ἢ τὴν μέλλουσαν ζωὴν ἢ τὴν ἄνευ πόνων ζωὴν μεταβαλόντων τῶν ἐπιπόνων. Ἡ δὲ φωτεινὴ ζωὴ ὑπὸ τοῦ «ἡλίου τῆς δικαιοσύνης»[3] πεφωτισμένη τυγχάνει. Εἴρηται· «τὸ πρωὶ παραστήσομαί σοι καὶ ἐφόψομαι»[4].

Πεποιθώς τε ἔσῃ, ὅτι ἔστιν σοι ἐλπίς[5].

214 Καὶ πάλιν αὐτόν φησιν ἐκ τῆς προπαρασκευῆς πιστεύειν περὶ τῶν ἐλπιζομένων ἀγαθῶν. Ταῦτα μὲν ..... δῆλον δέ, ὅτι ἡ τῆς ψυχῆς ι..... .. τὴν θείαν ἐλπίδα πρ..... ἕπεται γὰρ τῷ «κατὰ Θεὸν ζῆν»[6] βουλομένῳ τὰ ἀίδια, καθὰ Παῦλος λέγει· «νυνὶ μένει πίστις, ἐλπίς, ἀγάπη»[7].

Ἐκ δὲ μερίμνης καὶ φροντίδος ἀναφανεῖταί σοι εἰρήνη[8].

Τοῦτο λέγει, ὅτι ἀπαλλαγεὶς τῶν ἐπιπόνων καὶ ἀνιαρῶν διὰ τὴν ἐλπίδα τὴν γεγενημένην ἐκ τῆς προπαρασκευῆς «ἀναφανεῖταί σοι εἰρήνη»[9], εἰρήνην λέγων τὴν τῶν περιστάσεων ἀνάπαυσιν. Ἔχομεν δὲ ἐν τοῖς θείοις γράμμασιν περὶ εἰρήνης λεγόμενα τῆς κατὰ ψυχήν, περὶ ἧς λέγεται· «εἰρήνη[ν] πολλὴ[ν] τοῖς ἀγαπῶσίν σε καὶ οὐκ ἔστιν ἐν αὐτοῖς σκάνδαλον»[10]. Αὕτη δὲ ἀταραξία οὖσα τῆς ψυχῆς καρπός ἐστι τοῦ[ν] Πνεύματος· «ὁ γὰρ καρπὸς τοῦ Πνεύματος ἀγάπη, χαρά, εἰρήνη»[11]. Ἀπὸ ταύτης μακαρίζονται περὶ ὧν λέγεται· «μακάριοι οἱ εἰρηνοποιοί, ὅτι υἱοὶ Θεοῦ κληθήσονται»[12]. Ἐπὰν γάρ **216** τις τὴν ἑαυτοῦ «μέριμναν ἐπὶ Κύριον ἐπι⟨ρ⟩ρίψῃ»[13], ἕξει ταύτην τὴν εἰρήνην· ὁ ἁμαρτωλὸς δὲ οὐκ ἔσται ⟨ἐν⟩ ταύτῃ τῇ εἰρήνῃ· «πᾶς γὰρ βίος ἀσεβοῦς ἐν φροντίδι»[14] τεταραγμένη.

Ἡσυχάσεις δὲ καὶ οὐκ ἔσται ὁ πολεμῶν σε· μεταβαλόμενοι δὲ πολλοί σου δεηθήσονται[15].

Ἐπίστησον, εἰ πάλιν τὴν ἡσυχίαν οὗτός φησιν τὸ μηκέτι τρόπον

---

1. Ἰὼβ 11,17. 2. Ἔνθ' ἀν. 3. Πρβλ. Μαλ. 3,20. 4. Ψαλ. 5,4. 5. Ἰὼβ 11,18. 6. Πρβλ. Α' Πέτρ. 4,6. 7. Α' Κορ. 13,13. 8. Ἰὼβ 11,18. 9. Ἔνθ' ἀν. 10. Ψαλ. 118,165. 11. Γαλ. 5,22. 12. Ματθ. 5,9. 13. Πρβλ. Ψαλ. 54,23. Α' Πέτρ. 5,7. 14. Ἰὼβ 15,20. 15. Ἰὼβ 11,19.

τινὰ διὰ τὰς κακώσεις ὀνειδίζεσθαι ὡς φαῦλον· τούτου ἐπιφερομένου ἐπάγει τὸ «μεταβαλόμενοι δὲ πολλοί σου δεηθήσονται»[1] δηλῶν, ὅτι οἱ πρότερον κατατρέχοντες διὰ τὴν περὶ σὲ μεταβολὴν δεηθήσονταί σου. Ἡ κυρίως δὲ ἡσυχία ἡ τῆς ψυχῆς ἀταραξία τῷ ἁγίῳ δίδοται λέγοντος τοῦ λόγου· «ἀναπαύσεται ἕκαστος ὑποκάτω ἀμπέλου αὐτοῦ καὶ ὑποκάτω συκῆς αὐτοῦ καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν»[2]. Τοῦτο δὲ οὐκ αἰσθητῶς· ἀλλ' ὁ ἔχων τὸν πρακτικὸν βίον διὰ τῆς συκῆς δηλούμενον καὶ τὸν θεωρητικόν, ὃς διὰ τῆς ἀμπέλου σημαίνεται — εὐφροσύνης ποιητικὸν τυγχάνον[3]—, ἄφοβος λοιπόν **218** ἐστιν οὐκ ἔχων διάβολον ἐκφοβοῦντα ἢ δαίμονας. Ὁ δ' ἐν κακίᾳ οὐχ ἡσυχάζει ὧδε κἀκεῖ τοῦ λογισμοῦ περιφερομένου ὑπὸ παθῶν καὶ δαιμόνων. Αὐτίκα γοῦν πρὸς Κάϊν ὡς οὐ δεῖ κινούμενον εἴρηται· «ἥμαρτες, ἡσύχασον»[4]· οἰκεῖον γὰρ τῇ τοῦ «ἀνθρώπου φύσει ἡ ἡσυχία τῆς ἀταραξίας, ἡ δὲ ἀταξία ἐπεισόδιον. Α. .... καὶ νῦν σύμβολον τη..... ....ης ἐν ψηχῇ οἰκεῖν τη..... . ..ος ἑρμηνευομένη. .. «γῇ ἐφοβήθη καὶ ἡσύχασεν ἐν τῷ ἀναστῆναι εἰς κρίσιν τὸν Θεόν»[5]. Ὅταν γὰρ οἱ τὰ γήινα πράττοντες διὰ τὸν φόβον τῆς κρίσεως ἐν μετανοίᾳ γένωνται, ἡσυχίαν ἀντὶ ταραχῆς ἀναλαμβάνουσιν ἀκούοντες· «καὶ ἡσυχάσεις ἀφόβως ἀπὸ παντὸς κακοῦ»[6].

Σωτηρία δὲ αὐτοὺς ἀπολείψει[7].

Αἰνίττεται, ὅτι οἱ πολεμοῦντες πάλαι δικαίου λοιπὸν τοῦ ἀνθρώπου γεγενημένου ἐγκαταλείπονται ὑπὸ σωτηρίας, δῆλον δ' ὅτι ἧς ἑαυτοῖς ἀνεπλάσαντο σωτηρίας ἡγούμενοι τὴν τῶν πολεμουμένων κάκωσιν καὶ κατὰ **220** ψυχὴν καὶ σῶμα.

Ἡ γὰρ ἐλπὶς αὐτῶν ἀπώλεια[8].

Τῶν κακοθελῶν, φησίν, ἡ προσδοκία ἀπώλειά ἐστιν· λέγοι δ' ἂν αὐτῶν προσδοκίαν οὐ πάντως ὡς αὐτῶν τοῦτο προσδοκώντων, ἀλλ' ὡς ἐπόμενον τοῦτο ἐχόντων· καθὸ λέγομεν τῷ κολάσει ὑποπίπτοντι· σὺ σεαυτῷ ταῦτα παρήγαγες, οὐχ ὅτι αὐτὸς τοῦτο προέθετο, ἀλλ' ὅτι ἠκολούθησεν αὐτῷ ταῦτα.

Ὀφθαλμοὶ δὲ ἀσεβῶν ταχήσονται[9].

Ἴσως τοὺς φθονεροὺς αἰνίττεται καὶ τὴν λύπην αὐτῶν τὴν γιγνομένην ἐπὶ μεταβολῇ τοῦ ἀνιαροῖς περιπεπτωκότος, ὡς διέγραψεν. Οὐ [δε] τούτους δὲ τοὺς ὀφθαλμούς φησι — πολλοὶ γὰρ τῶν ἀσεβῶν μέχρις ὑστέρας ἀναπνοῆς ὀξυωποῦντες ἔμειναν —, ἀλλὰ τοὺς ψυχῆς. Ἔχεις ἐν τοῖς θείοις γράμμασιν περὶ ὀφθαλμῶν τῶν τοῦ ἀνθρώπου· «ἡ ἐντολὴ Κυρίου τηλαυγὴς φωτίζουσα ὀφθαλμούς»[10], δηλονότι τοὺς τοῦ[σ] ἔσω ἀνθρώπου ὀφθαλμοὺς ἐπὶ τῷ καὶ τυφλοὺς σώζειν τὰς Θεοῦ ἐντολάς.

---

1. Ἰὼβ 11,19. 2. Μιχ. 4,4. 3. Πρβλ. Ψαλ. 103,15. 4. Γεν. 4,7. 5. Ψαλ. 75,9-10. 6. Παρμ. 1,33. 7. Ἰὼβ 11,20. 8. Ἔνθ' ἀν. 9. Ἔνθ' ἀν. 10. Ψαλ. 18,9.

ΑΠΟΣΠΑΣΜΑΤΑ ΕΙΣ ΤΟΝ ΙΩΒ*

ΚΕΦΑΛΑΙΟΝ Α'

[1120] Στ. α'. «Ἄνθρωπός τις ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι, ᾧ ὄνομα Ἰώβ»[1].

Διδύμου. Ὑψηλότερον δέ, Αὐσῖτις «βουλὴ» ἑρμηνεύεται, κατὰ τὴν Ἑλλάδα φωνήν, ἐν ᾗ ᾤκει ὁ δίκαιος. Ὀξύθυμος μὲν γὰρ μετὰ ἀβουλίας πράσσει· διὸ τυφλὰ παρ' αὐτῷ γεννᾶται, καθάπερ τοῖς κυσί, καὶ τὰ πράγματα καὶ τὰ ῥήματα· ὁ δὲ δίκαιος οὐδὲν ἀβούλως ποιεῖ, τῷ σοφῷ παραγγέλματι ἐκείνῳ πειθόμενος· «Μετὰ βουλῆς πάντα ποίει»[2]. Τὸ δὲ Ἰὼβ ὄνομα ὑπομονὴ νοεῖται καὶ ἔστιν, ὡς γενέσθαι τοῦτον ὃ προεκλήθη, ἢ κληθῆναι ὅπερ ἐγένετο.

Στ. β'. «Ἐγένοντο δὲ αὐτῷ υἱοὶ ἑπτὰ καὶ θυγατέρες τρεῖς»[3].

Διδύμου. Ἐνταῦθα δὲ καὶ ὁ τῶν παίδων κατάλογος τίμιος παρὰ τῇ Γραφῇ, καὶ λόγοις σύμφωνος μυστικοῖς. Τίς γὰρ οὐκ οἶδε τὴν ἑβδόμην ἀπαρίθμησιν τῶν ἑπτὰ χαρισμάτων μηνύειν τὴν σύνοδον, ὥσπερ οὖν καὶ τὴν τρίτην ἐκφώνησιν, πρὸς τὸ τελειότερον ὁρᾶν καὶ θειότερον; Ἵνα μάθωμεν τὴν ἐν Τριάδι πίστιν τῆς ἑβδόμης χάριτος εἶναι δημιουργόν, καθάπερ τινὰ κεφαλὴν ἐπιτιθεμένην ταῖς ἀρεταῖς.

Στ. γ'. «Καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος εὐγενής, τῶν ἀφ' ἡλίου ἀνατολῶν»[4].

Διδύμου. Πρὸς μὲν οὖν τὸ ῥητόν, εὐγενὴς τοῦ ἀφ' ἡλίου ἀνατολῶν, λέγεται, διὰ τὴν κατὰ σάρκα τοῦ Ἀβραὰμ οἰκειότητα· πρὸς δὲ ἀναγωγήν, οἱ υἱοὶ τοῦ φωτός, καὶ τέκνα Θεοῦ δι' ἔργων φωτεινῶν χρηματίζονται, οὗτοί εἰσιν οἱ ἀφ' ἡλίου ἀνατολῶν. Ὁ γὰρ δίκαιος εὐγένειαν κτᾶται, οὐκ ἀπ' ἀνθρώπων, ἀλλ' ἀπὸ τοῦ φωτὸς τοῦ ἡλίου τῆς δικαιοσύνης[5], καταλαμπομένην.

Στ. ε'. «Καὶ ὡς ἂν συνετελέσθησαν αἱ ἡμέραι τοῦ πότου, ἀπέστειλεν Ἰὼβ καὶ ἐκαθάριζεν αὐτούς, ἀνιστάμενος τὸ πρωΐ»[6] κ.τ.λ.

Διδύμου. Καὶ κατὰ τὸν εἰρηκότα, «Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά

---

* Ἐκ τῆς σειρᾶς τοῦ Νικήτα. Ἐκδ. Yung ἔτους 1637. Ἰδὲ ἐκδ. J.-P. Migne. Patrologiae Cursus Completus Series Graeca, τ. 39 σσ. 1120-1153.

1. Ἰὼβ 1,1. 2. Πρβλ. Σ. Σειρ. 32,19. 3. Ἰὼβ 1,2. 4. Ἰὼβ 1,3. 5. Πρβλ. Μαλ. 3,20 6. Ἰὼβ 1,5.

μου πρὸς σέ, ὁ Θεός»[1]· καί· «Ὁ Θεός, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω»[2],οὐ πρὸς ἕτερον ἔργον ὁ μακάριος Ἰὼβ τὸ πρωΐ ἀνίστατο, ἀλλὰ πρὸς Θεὸν ὑπὲρ τῶν παίδων θυσίαν προσάγων «κατὰ τὸν ἀριθμὸν αὐτῶν»[3]· ὅ ἐστι, καθ' ἕκαστον, καὶ εὐτάκτως· οὐδὲν γὰρ συγκεχυμένον ἐν σπουδαίῳ. Ἀλλὰ καὶ μετὰ τοῦτο, ὑπὲρ πάντων μόσχον προσῆγε κατὰ τὸν ἴδιον τρόπον, καὶ τῇ τῶν παίδων ἀγωγῇ συνεθίζων. Οὕτω γοῦν καὶ ἐκαθάριζεν αὐτοὺς μετὰ τὸ συντελεσθῆναι τὸν πότον, μετὰ τῆς αἰσθητῆς καθάρσεως, καὶ τὰ συντελοῦντα πρὸς διάνοιαν καθάρσια παραδεικνύς. **[1221]** Φαίνεται γὰρ προφητικῶς καὶ κατὰ νόμον, καὶ κατὰ χάριν τὰς θυσίας πληρῶν. Κατὰ νόμον μέν, τὰς διαφόρους· κατὰ χάριν δέ, τὸν ἕνα μόσχον τὸν περὶ ἁμαρτίας. Καὶ γὰρ ἡ τοιαύτη θυσία τῆς χάριτος προεμήνυε τὴν ἀλήθειαν, τὴν μίαν τυποῦσα κατὰ σάρκα θυσίαν τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ. Εἰ δὲ ὁ ὑπὲρ ἁπάντων προσαγόμενος μόσχος τὸν δι' ἡμᾶς σταυρὸν ὑπομείναντα Σωτῆρα δηλοῖ, συνεπίσκεψαι καὶ μὴ θαυμάσῃς· οὐ γὰρ ἀμύητος ἦν ὁ Ἰὼβ τῆς τοῦ Σωτῆρος ἐπιδημίας, ὁ λέγων, ὅτι αὐτός ἐστιν «ὁ μέλλων τὸ μέγα κῆτος χειρώσασθαι»[4].

Στ. ζ'. «Καὶ ἀποκριθεὶς ὁ διάβολος τῷ Κυρίῳ, εἶπε· Περιελθὼν τὴν γῆν καὶ ἐμπεριπατήσας τὴν ὑπ' οὐρανόν, πάρειμι»[5].

Διδύμου. Σημειωτέον δέ, ὅτι διάφοροι τόποι «ἡ γῆ καὶ ἡ ὑπ' οὐρανόν»[6] εἰσι· τῆς μὲν γῆς ὑπὸ τὸν οὐρανὸν οὔσης, τῶν δὲ ὑπ' οὐρανὸν τόπων οὐ πάντως γῆς ὑπαρχόντων. Τὴν μὲν οὖν γῆν περιεισιν, ἵνα κατανοήσῃ περὶ τίνος ἀνθρώπου αἰτήσει· τὴν δὲ ὑπ' οὐρανὸν ἐμπεριπατεῖ, εὐφραινόμενος τοῖς πνευματικοῖς τῆς πονηρίας, τοῖς ὑπηρετοῦσιν αὐτῷ πρὸς τὰ αἴσχιστα. Οὐ δεῖ δὲ ξενίζεσθαι, εἰ λεπτὸν ὑπάρχων πνεῦμα, διέβη τοὺς προειρημένους τόπους· καὶ γὰρ οὐδὲ ὁ Θεὸς ὡς ψευδόμενον αὐτὸν ἤλεγξε. Τὸ μέντοι ἀνήμερον καὶ ἀφιλάνθρωπον τοῦ τρόπου, τῇ τοσαύτῃ περιόδῳ καταμηνύει ὁ πονηρός. Μανικοῦ γάρ τινος καὶ ὑπὸ ἐμπληξίας περινοστοῦντός ἐστι τὰ ῥήματα· καθὼς καὶ ἑτέρωθί που εἴρηται· «Ὅτι ὁ ἀντίδικος ἡμῶν διάβολος, ὡς λέων ὠρυόμενος περιπατεῖ, ζητῶν τίνα καταπίῃ»[7]. Ἄγρυπνος γὰρ πολεμεῖ, καὶ περιέρχεται, τοὺς μὲν φίλους ὑπαγόμενος, τοὺς δὲ ἐχθροὺς ἐξαιτούμενος· οὐ γὰρ ἐξουσιάζει ἡμῶν. Καί τι τοιοῦτον αὐτοῦ τὰ ῥήματα βούλεται· ἐπειδή, φησί, γηίνων καὶ ἀερίων ὑποτασσομένων μοι, Ἰὼβ μόνος ἀνθίσταται, ἥκω αὐτὸν αἰτησόμενος.

Στ. θ'. «Ἀπεκρίθη δὲ ὁ διάβολος, καὶ εἶπεν ἐναντίον Κυρίου»[8].

Διδύμου. Ἴδιον δὲ τῶν πρὸς ἀρετὴν ἀπεχθανομένων, τὸ μὴ λογίζεσθαι γνήσια τὰ καλὰ τῶν πέλας, ἀλλὰ διαβάλλοντας λέγειν,

1. Ἡσ. 26,9. 2. Ψαλ. 62,2. 3. Ἰὼβ 1,5. 4. Ἰὼβ 3,8. 5. Ἰὼβ 1,7. 6. Ἔνθ' ἀν. 7. Α' Πέτρ. 5,8. 8. Ἰὼβ 1,9.

ὡς ὅδε τις δίκαιός ἐστι, δι' ἀδυναμίαν τοῦ ἀδικεῖν· ὅδε τις σώφρων, διὰ τὴν καλουμένην ἠλιθιότητα· ὁ δέ, χρήματα καὶ πορισμοὺς οὐκ ἔχει, διὰ τὸ πρὸς ταῦτα ἀνεπιτήδειον· καὶ ὅλως, οὐδεὶς φαῦλος ἀποδέχεταί τινος ἀρετήν, ὡς γνησίαν.

Στ. ια'. «Ἀλλὰ ἀπόστειλον τὴν χεῖρά σου καὶ ἄραι πάντων ὧν ἔχει, εἰ μὴν εἰς πρόσωπόν σε εὐλογήσει»[1].

Διδύμου. Χεῖρα Θεοῦ διαφόρως ἐκληπτέον, ἢ τὴν κολαστικὴν καὶ εἰς τοῦτο ὑπηρετικὴν δύναμιν, ἥτις καὶ σκεῦος ὀργῆς λέγεται κατὰ τό, «Ἡ χείρ σου ἔθνη ἐξωλόθρευσεν»[2]· ἢ τὴν φρουρητικὴν καὶ σκεπαστικὴν δύναμιν, ὡς τό, «Ἔπλασάς με, καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου»[3]. Ἐνταῦθα τοίνυν τό, «Ἀπόστειλον τὴν χεῖρά σου»[4] ἀντὶ τοῦ, πληκτικῶς αὐτοῦ περίδραξαι, εἴρηται· τὸ δέ, Ἄψαι αὐτοῦ, ἀντὶ τοῦ, **[1124]** καθάψαι, ἐπάγαγε θλιβερά. Ἔχομεν δὲ καὶ τούτου παράδειγμα τό, «Μὴ ἅψησθε τῶν χριστῶν μου»[5]. Οὐ γὰρ τὴν ἁπλὴν ἁφὴν ἀπαγορεύει, ἀλλὰ τὴν κατὰ τῶν ἁγίων τόλμαν ἐπὶ κακώσει. Ὅρα δὲ ὅπως πανούργως, καὶ μεθ' ὑποκρίσεως, οὐ λέγει, ὅτι Ἐπίτρεψόν μοι, ἀλλά, Σὺ ποίησον. Σύνοιδε γὰρ τὴν ἑαυτοῦ ἀσθένειαν, καὶ ὅμως μέμηνε καὶ ἀλαζονεύεται, ὅπερ τῆς ἐσχάτης ἀνοίας ἐστί. Σὺ δέ μοι θεώρει καὶ ἑτέραν κακίαν, καὶ τυφλότητα διαβολικήν, ὅτι τὸν μόνον ἀγαθὸν πείθειν ἐθέλει κακοποιεῖν· κατὰ πολλὴν δὲ λίαν ὠμότητα, οὐκ ἀρκεῖται μέρος αὐτοῦ τῆς οὐσίας ἀπολέσαι, ἢ τινας τῶν παίδων, ἀλλ' ἅθρόον αὐτὸν πάντων ἔρημον καταστῆσαι βούλεται· διὸ οὐ μερικῶς, ἀλλὰ καθολικῶς ἐξαιτεῖται τὸν δίκαιον λέγων· «Ἄψαι πάντων ὧν ἔχει»[6] γύμνωσον αὐτὸν πάσης ἀνθρωπίνης ἐλπίδος, ἔστω θλίψεων καὶ θρήνων εἰκὼν ἀπαράβλητος. Τότε γὰρ καὶ τὸ εὐχάριστον καὶ τὸ εὔγνωμον θαυμασθήσεται, ταῖς μεταβολαῖς μηδαμῶς ἐλεγχόμενον. «Εἰ οὐκ εἰς πρόσωπόν σε εὐλογήσει»[7], τουτέστιν ἐὰν μὴ τότε σε φανερῶς βλασφημήσῃ, καὶ ἐναντίον σου θρασυνόμενος ἀκονήσῃ τὴν γλῶσσαν, ἅτε τῶν συμφορῶν μὴ βαστάζων τὸ μέγεθος.

Κἀνταῦθα τοίνυν, ἀντὶ τοῦ, καταράσεται, καὶ βλασφημήσει σε, ὁ διάβολος εἶπε, τῷ εὐφημοτέρῳ χρησάμενος ὀνόματι, ὅπως μὴ πρὸς Θεὸν τὴν τραχυτέραν προενέγκηται λέξιν, μηδὲ ἐρεῖ, ὅτι ἐξ ἐναντίας ἄν σοι ἔσῃ, τῷ Θεῷ.

Στ. ιβ'. «Τότε εἶπεν ὁ Κύριος τῷ διαβόλῳ· Ἰδοὺ πάντα ὅσα ἔχει δίδωμι ἐν τῇ χειρί σου, ἀλλ' αὐτοῦ μὴ ἅψῃ»[8].

Διδύμου. Τὸ γάρ, «Ἰδοὺ δέδωκα πάντα ἐν τῇ χειρί σου»[9] παρα-

---

1. Ἰὼβ 1,11. 2. Ψαλ. 43,3. 3. Ψαλ. 138,5. 4. Ἰὼβ 1,11. 5. Ψαλ. 104,15. 6. Ἰὼβ 1,11. 7. Πρβλ. ἔνθ' ἀν. 8. Πρβλ. Ἰὼβ 1,12. 9. Πρβλ. ἔνθ' ἀν.

στατικόν ἐστι τοῦ μὴ χωρὶς θείας συγχωρήσεως ὑποπίπτειν τινὰ πειρασμοῖς. Ἵνα δὲ φανερὸν γένηται, ὅτι μέτρῳ καὶ τὴν συγχώρησιν ποιεῖται, ἐπιφέρει «Ἀλλ' αὐτοῦ μὴ ἅψῃ»[1]. Ὅθεν δῆλον, ὅτι οὔτε εἱμαρμένη αἱ περιστάσεις συμβαίνουσιν, οὔτ' ἐκ ταυτομάτου, ἀλλ' ἐκ Θεοῦ συγχωρήσεως.

«Καὶ ἐξῆλθεν ὁ διάβολος παρὰ τοῦ Κυρίου»[2].

Κατὰ δέ τινας, εἰ μὴ ἔξω γέγονε τοῦ Θεοῦ ὁ διάβολος, οὐκ ἂν ἐνήργησε τὰ κατὰ τοῦ Ἰώβ. Κυριολεκτεῖται δὲ ἐπὶ τούτου μᾶλλον ἢ ἐπὶ τοῦ Κάιν τό· «Ἐξῆλθεν ἀπὸ προσώπου Κυρίου»[3]· ὃ δηλοῖ τὸ ἀφάνταστον τοῦ Θεοῦ εἶναι αὐτόν. Οὗτος γὰρ ἀεὶ τῶν ἔξω τυγχάνει, εἰ καὶ προσποιητῶς ἦλθε μετὰ τῶν παραστατῶν τοῦ Θεοῦ.

Στ. ιγ'. «Καὶ ἦν ὡς ἡ ἡμέρα αὕτη»[4].

Διδύμου. Ἀκολούθως καὶ τῆς ἡμέρας μνημονεύει, καὶ τῆς συνελεύσεως τῶν τέκνων, ἵνα οὕτω καὶ τὸ τοῦ θανάτου αὐτῶν γένηται πιστόν, ἀθρόως ὑφ' ἕνα καιρὸν ὑπὸ τὴν πτῶσιν τῆς οἰκίας ἀποθανόντων.

Στ. ιδ'. «Καὶ ἰδοὺ ἄγγελος ἦλθε πρὸς Ἰώβ, καὶ εἶπεν αὐτῷ»[5] κ.τ.λ.

Διδύμου. Κατανοεῖν δὲ ἄξιον, ὅπως τὰ τῆς ἀπαγγελίας ἀθρόως γεγενημένα, καὶ ἐκ τῆς διηγήσεως ἔχει τὸ βαρύ, καὶ τὸ πρὸς λύπην ὑπερβάλλουσαν ἐπιρρεπές. Ἀλλ' εἰ καὶ ἱκανὰ ἦν ταράξαι, διὰ τὸ ἀθρόον **[1125]** τοῦ χαλεποῦ, ὅμως οὐκ ἐταράχθη ὁ δίκαιος. Εἴρηται γοῦν ἐν ἑνὶ τῶν ψαλμῶν περὶ τοῦ ἁγίου· «Ἀπὸ πάσης ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται»[6].

Στ. ιϛ'. «Ἔτι τούτου λαλοῦντος, ἦλθεν ἕτερος ἄγγελος, καὶ εἶπε πρὸς Ἰώβ, Πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ, καὶ κατέκαυσε τὰ πρόβατα, καὶ τοὺς ποιμένας κατέφαγεν ὁμοίως, καὶ σωθεὶς ἐγὼ μόνος, ἦλθον τοῦ ἀπαγγεῖλαί σοι»[7].

Διδύμου. Οὐ γὰρ διάβολος ἐξουσίαν ἔχει, πῦρ ἐξ οὐρανοῦ καταγαγεῖν, ἀλλὰ θείᾳ κρίσει τοῦτο γεγένηται, ὅπως παραστήσῃ τῷ Σατανᾷ ὁ δεδωκὼς αὐτῷ τὴν ἐξουσίαν τῶν τοῦ Ἰὼβ Θεός, ὅτι οὐδὲ μέλει τῷ μακαρίῳ τῶν ἀνθρωπίνων, κἂν πολλὰς πλέκῃ μηχανάς. Καίτοιγε εἰ καὶ τὰ δόγματα τῆς ἀληθείας ἠκριβωκὼς ὁ ἅγιος ἐγίνωσκεν, ὡς οὐκ ἄνευ Θεοῦ ἡ τῶν πειρασμῶν ἐπιτροπὴ γέγονεν, ἀλλ' ἱκανὸν ἦν τὸ γινόμενον μεγίστην αὐτῷ φέρειν λύπην, διὰ τοὺς σκαδαλιζομένους,

1. Ἰὼβ 1,12. 2. Ἔνθ' ἀν. 3. Πρβλ. Γεν. 4,16. 4. Ἰὼβ 1,13. 5. Ἰὼβ 1,14. 6. Ψαλ. 111,7. 7. Ἰὼβ 1,16.

ὡς καὶ Θεοῦ κατ' αὐτοῦ χωροῦντος. Τὸ γὰρ τοὺς αἰχμαλωτίζοντας ἐπελθόντας, τὰ μὲν κτήνη ἀπελάσαι, τοὺς δὲ παῖδας ἀποσφάξαι, ἠδύναντο λογίσασθαι οἱ ἁπλούστεροι, ὅτι νόμῳ πολέμου, ἀλλ' οὐκ ἀπὸ Θεοῦ γέγονεν· ὅτε δὲ πῦρ ἀπήγγελται οὐρανόθεν κατελθόν, δέος ἦν μή τις λογίζηται τῶν ἀσθενῶν, ὡς οὐδὲν θαυμαστὸν ἡ ἀρετή, καὶ παρὰ Θεοῦ τιμωρουμένου τοῦ ταύτην ἔχοντος. 'Αλλὰ καὶ τούτου συμβάντος, ὁ ἅγιος οὐκ ὤκλασεν· ὅθεν πρὸς τὸ ἀνένδοτον τοῦ ἀθλητοῦ ἐναργέστατα εἴρηται [ἴσ. δηλοῦσθαι] τό, Ὅτε οὗτος ἐλάλει, καὶ οὗτος ἦλθεν. Ἵνα γὰρ μηδεμίαν τῶν πόνων ἀναψυχὴν τῷ παλαιστῇ δῷ, ἀλλὰ τῷ συνεχεῖ τῆς ἀγγελίας ταράξῃ τὸν δίκαιον, καὶ καθάπερ ναῦν, τῷ ἐπαλλήλῳ τῶν κυμάτων ὑποβρύχιον γενέσθαι παρασκευάσῃ τοῖς πάθεσι, πυκνὰ κατ' αὐτοῦ πέμπει τὰ πικρὰ βέλη τῶν συμφορῶν. Αὐτὸς ὁ τῶν κακῶν ἐργάτης, αὐτὸς ὁ ἄγγελος, αὐτὸς ἔπληξε τὰ κτήνη, καὶ αὐτὸς ἀπαγγέλλει τὴν πληγήν, καὶ ταύτην κατὰ τὴν συνέχειαν, ἵνα μηδὲ ἀναπνεύσῃ ὁ ἀκούων.

Στ. ιζ'. «Ἔτι τούτου λαλοῦντος, ἦλθεν ἕτερος ἄγγελος, καὶ εἶπε πρὸς 'Ιώβ, Οἱ ἱππεῖς ἐποίησαν ἡμῖν κεφαλὰς τρεῖς, καὶ ἐκύκλωσαν τὰς καμήλους»[1] κ.τ.λ.

Διδύμου. Τὸ γοῦν καὶ περὶ τῆς σφαγῆς τῶν παίδων ἀκοῦσαι, καὶ ἀνδρείως ἐνεγκεῖν, τοῦτο δείκνυσι τὴν ἀνδρείαν τε τοῦ δικαίου καὶ καρτερίαν. Δῆλον δέ, ὡς ὑφ' ἓν πάντα γέγονε, μηδὲ ἀκουσάντων υἱῶν τὰ συμβεβηκότα, καὶ γὰρ ἐσημειώσατο ἡ Γραφή, ὅτι παρὰ τῷ πρεσβυτέρῳ αὐτῶν ἀδελφῷ ἠρίστων. Ταῦτα ἱκανὰ ἦν εἰς ἔκστασιν ἀγαγεῖν καὶ θορυβῆσαι τοὺς μὴ λογιζομένους τὰς συνεχεῖς τροπὰς τῶν πραγμάτων καὶ ἀλλοιώσεις, τοὺς συνέχειν πειρωμένους τὰ μὴ ἴδια, ὧν ἡ κτῆσις λυπηροτέρα καὶ τῆς πρώτης στερήσεως. Ἤδη γάρ τινες τῷ ἀθρόῳ τῆς μεταπτώσεως προσομιλήσαντες, καὶ περὶ αὐτὸν τὸν σώφρονα νοῦν ἐκινδύνευσαν, τοσοῦτον ἁλόντες ὑπὸ τοῦ πάθους, ὅσον καὶ ἠγάπησαν τὰ μίσους ἄξια καὶ φυγῆς. Μετρεῖ γὰρ αὐτοῖς τὴν ἀθυμίαν, τῆς πολλῆς εὐθυμίας τὸ **[1128]** ἀβασάνιστον. Τὸ γὰρ μὴ πρὸς κτῆσιν ἐλθόν, καὶ λύπης ἐστὶν ἀπείρατον· τὸ δὲ ἐν πείρᾳ γενόμενον, καὶ πρὸ τῆς στερήσεως σύνοικον ἔχει τὸν φόβον τοῦ πάθους, καὶ μετὰ τὴν στέρησιν δριμείας φέρει τὰς ὀδύνας. Εὐθυμία γὰρ ἀχαλίνωτος, καὶ νοῦς ἀπαιδαγώγητος, τελευταίοις ἁλίσκεται θρήνοις. 'Αλλ' οὐ τοιοῦτος ἦν 'Ιὼβ ὁ ἀοίδιμος, τῆς καρτερίας τὸ θαυμαστὸν χρῆμα, τῆς ἀνδρείας ὁ ἀκρότατος ὅρος, τὸ τῆς εὐσεβείας κεφάλαιον, τῆς φιλοσοφίας τὸ μέγα παράδειγμα. Φέρειν γὰρ οἶδε, καὶ εὐθυμίαν σωφρόνως, καὶ συμφορὰν γενναίως. Ἡ γὰρ προλαβοῦσα φιλοσοφία ταῖς μετὰ ταῦτα πληγαῖς οὐδαμῶς ἀπελέγχεται. Πῶς δ' ἂν καὶ ἐγένετο τὸ πάθος ἀφό-

1. 'Ιὼβ 1,17.

ρητον τῷ τὰ θεῖα πεπαιδευμένῳ,καὶ προασκηθέντι καλῶς τὴν εὐσέβειαν; Ὁ γὰρ τὸν πλοῦτον κοινὸν ἔχειν πεπαιδευμένος, ταῖς δαπάναις τῶν δεομένων πλουτεῖ, καὶ οὐκ εὐλαβεῖται τὴν στέρησιν· διὸ καὶ ἀφιστάμενος οὐ δυσχεραίνει, φιλοσοφίας δὲ μᾶλλον ἀφορμὴν τὸ πάθος πεποίηται, καὶ τοῖς φαιδροῖς χαλινὸν ἐπιτιθεὶς τοῦ ἤθους τὸ μέτριον, καὶ τοῖς λυπηροῖς εἴκειν οὐκ ἀνεχόμενος, οἷα καὶ φρουρούμενος ἄνωθεν. Οἶδε γὰρ φιλοσοφία πρὸς ἑκατέραν μεταβολὴν σωφρονεῖν· ὅθεν οὔτε ταῖς πολυτελείαις ἐξυβρίζει (πλουτεῖ γὰρ φιλοσοφίαν), οὔτε καταβαπτίζεται ταῖς συμφοραῖς (ἀσκεῖ γὰρ τὴν καρτερίαν), καὶ γίνεται αὐτῷ σωτηρίας ὁδὸς ἡ τοῦ βασκάνου πεῖρα. Ἔλαθε γὰρ ἑαυτὸν ὁ πολέμιος, ἐκεῖθεν ὁδοποιῶν αὐτῷ πρὸς τὴν κτῆσιν τῶν ἀγαθῶν, ὅθεν ἐλεῖν αὐτὸν προσεδόκησε· διὰ τοῦτον καὶ σύνοικος ἐπιβουλεύουσα διελέγχεται, καὶ παίδων πανολεθρία τὴν εὐσέβειαν οὐ λυμαίνεται, καὶ πῦρ ῥέον ἀπ᾽ οὐρανοῦ τὴν διάνοιαν οὐ παρακρούεται, σωζομένην ὑπὸ Θεοῦ· καὶ αἱ συνεχεῖς τῶν κακῶν ἀγγελίαι, καὶ αἱ πανταχόθεν οἰμωγαὶ τὴν καρτερίαν οὐ σαλεύουσι. Πᾶς γὰρ Θεῷ προσομιλῶν, μικρὰ φροντίζει τῶν κάτω καὶ φθειρομένων. Τοσούτῳ δὲ μᾶλλον οἰκειοῦται τοῖς ἄνω καὶ μένουσιν, ὅσῳ καὶ τῶν παρόντων ἐλαύνεται. Τὸ γὰρ τῆς πονηρίας πνεῦμα, καὶ ἡ τοῦ κλύδωνος ἐπανάστασις, δικαίαν οὐκ οἶδε καταβλάπτειν ψυχήν· ἐφρούρει γὰρ αὐτὴν ὁ Θεός, μετρήσας τὴν συμφοράν· τὰ μὲν ὅσα περὶ αὐτήν, τῷ πειράζοντι συγχωρήσας, εἰς ἔλεγχον σώφρονος λογισμοῦ, τὸν δὲ νοῦν ἀπαθῆ φυλάξας, ᾧ καὶ πολεμεῖν ἔμελλεν, ᾧ καὶ παραταξάμενος, τῶν τοσούτων τροπαίων ἐκράτησεν.

Στ. ιη′-ιθ′. «Ἔτι τούτου λαλοῦντος, ἄλλος ἄγγελος ἔρχεται, λέγων τῷ Ἰώβ, τῶν υἱῶν σου»[1] κ.τ.λ.

Διδύμου. Οὐ μάτην πρόσκειται τό, «Τῶν υἱῶν σου καὶ τῶν θυγατέρων ἐσθιόντων καὶ πινόντων»[2], ἀλλὰ πρὸς ἐπίτασιν ἀνοίας, καὶ τοῦτο τοῦ διαβόλου πραγματευομένου, ἵνα ἡ τῶν γεγενημένων ἐπαγγελία βαρεῖα γενομένη, λύπην ὑπερβάλλουσαν τῷ ἁγίῳ ἐμποιήσῃ. Κοιμωμένων γὰρ τῶν τέκνων εἰ συνέβη, τὸ τῆς πτώσεως ἀνεπαίσθητον λογιζόμενος, οὐχ οὕτως ἠνιᾶτο· πρόσκειται δὲ τό, «ἐξαίφνης»[3] ἐμφαντικὸν τοῦ μὴ δύνασθαί τινα διαδρᾶναι, οὕτω συμβάντος τοῦ πράγματος.

ΚΕΦΑΛΑΙΟΝ Β′

[1129] Στ. ς′. «Εἶπε δὲ ὁ Κύριος τῷ διαβόλῳ· Ἰδού, παραδίδωμί σοι αὐτόν· μόνον τὴν ψυχὴν αὐτοῦ διαφύλαξον»[4], (ὁ δὲ Θεοδοτίων, τῆς ψυχῆς αὐτοῦ οὐχ ἅψῃ).

Διδύμου. Καὶ τοῦτο πρὸς ἡμετέραν ὠφέλειαν, ἵνα χαρακτὴρ καὶ

1. Ἰὼβ 1,18. 2. Ἔνθ᾽ ἀν. 3. Ἰὼβ 1,19. 4. Ἰὼβ 2,6.

τύπος ἀνδρείας καθάπερ ἐν στηλογραφίᾳ, ὁ 'Ιὼβ τεθείς, σκοπὸς τῆς τοιαύτης ἀρετῆς, καὶ τοῖς τότε, καὶ τοῖς μεταγενεστέροις, ὑπάρξῃ· ὃ καὶ γέγονεν. Αὐτοῦ γὰρ ἔστιν ἀκοῦσαι τοῦ ἀθλητοῦ καὶ ἀγωνιστοῦ λέγοντος· «Οἶδα ἐγώ, ὅτι δίκαιος ἀναφανοῦμαι»[1]. Παραδιδοὺς δὲ ὁ Κύριός φησι, «Μόνον τὴν ψυχὴν αὐτοῦ διαφύλαξον»[2]. Ὅπερ νοηθείη οὕτως· Παρακοπὰς πολλάκις, καὶ τοῦ ἡγεμονικοῦ διαστροφὰς ἔν τισιν ὁρῶμεν γινομένας, δι' οὓς οἶδε λόγους ὁ τὰ κρυπτὰ γινώσκων Θεός. 'Επεὶ οὖν εἰς παραφροσύνην τὸν δίκαιον ἀγαγεῖν ἔσπευδεν ὁ διάβολος καὶ ἔκστασιν φρενῶν, ἵνα καὶ ἄκοντα αὐτὸν τοῖς τῆς βλασφημίας περιβάλῃ ῥήμασιν, 'Ιδού, φησί, παραδίδωμί σοι ὃν ἐξητήσω, ἵνα κακεῖνος πλεῖον εὐδοκιμήσῃ, καὶ σὺ αἰσχυνθῇς· πλὴν μὴ κάρον αὐτῷ καὶ διαστροφὴν ἐργάσω τοῦ ἡγεμονικοῦ. Τοῦτο γὰρ οὐκ ἐφεῖταί σοι, ἵν' ἐρρωμένῳ τῷ λογισμῷ τὴν ἐν τοῖς πάθεσιν ἐνδείξηται ἀνδρείαν, ἀλλὰ σαρκῶν ἅπτου, καὶ ὀστέων, ὡς ἐξητήσω.

Στ. θ'. «Χρόνου δὲ πολλοῦ προβεβηκότος, εἶπεν αὐτῷ ἡ γυνὴ αὐτοῦ· «Μέχρι τίνος καρτερήσεις, λέγων· 'Ιδοὺ ἀναμένω χρόνον ἔτι μικρόν, προσδεχόμενος τὴν ἐλπίδα τῆς σωτηρίας μου;»[3].

Διδύμου. 'Ατονήσας ἐκ τῶν τοσούτων προσβολῶν ὁ διάβολος, καὶ οὐκ ἔχων ὅ τι ποιήσει λοιπὸν ἐπὶ τὴν τῆς ἀρχαίας ἐπιβουλῆς ἔρχεται μνήμην, καὶ τοῦ γυναίου διάνοιαν ὑποσύρας, δι' ἐκείνης σαλεύειν ἐπειρᾶτο τὸν ἀθλητήν· καὶ τρίτον αὐτῷ πλέκει πάλαισμα, τὴν αὐτῆς ὁμιλίαν, ἴσως διὰ ταύτης τὸν 'Ιώβ, ὡς καὶ διὰ τῆς Εὔας τὸν 'Αδάμ, ἀπατήσειε. Χρόνου γὰρ πολλοῦ προβεβηκότος, ὡς οὐδὲ αὐτὸς δεδύνηται σεῖσαι τὸν τῆς εὐσεβείας πύργον, τὰ τῆς ὀλιγωρίας προφέρειν πείθει τὴν γυναῖκα ῥήματα.

ΚΕΦΑΛΑΙΟΝ Γ'

Στ. η'. «'Αλλὰ καταράσαιτο αὐτὴν ὁ καταρώμενος τὴν ἡμέραν ἐκείνην· ὁ μέλλων τὸ μέγα κῆτος χειρώσασθαι»[4].

Διδύμου. Καλῶς δὲ τό, «'Ο μέλλων χειρώσασθαι»[5] εἴρηται, δηλοῦν τὸ κατὰ τὴν ἐνανθρώπησιν μυστήριον, ὡς μήπω τότε γεγονός, μέλλον δὲ γενέσθαι. Οὐ γὰρ ἥρμοζε γυμνῇ τῇ θεότητι καταργῆσαι [ἴσ. καταργηθῆναι] τὸν κράτος ἔχοντα τοῦ θανάτου διάβολον, ἀλλὰ διὰ τοῦ ναοῦ τοῦ Λόγου ⟨ἀνθρώπου⟩ γεγενημένου ἐκ σπέρματος τοῦ ἀπατηθέντος ὑπὸ τοῦ διαβόλου. Καύχημα γὰρ ἦν τῷ πονηρῷ, εἰ γυμνῇ τῇ θεότητι

---

1. 'Ιὼβ 13,18. 2. 'Ιὼβ 2,6. 3. 'Ιὼβ 2,9-9α. 4. 'Ιὼβ 3,8. 5. Ἔνθ' ἀν.

χειρωσάμενος αὐτὸν ὑπῆρξε. Τὰ διάφορα δὲ ὀνόματα τοῦ διαβόλου, ἐνεργείας αὐτοῦ διαφόρους, οὐκ οὐσίας, δηλοῖ. Διάβολος γὰρ καὶ ἀντικείμενος καὶ πονηρός, καὶ λέων, καὶ δράκων, καὶ ὄφις, καὶ θηρίον, καὶ κῆτος, διὰ τὸν τρόπον λέγεται, διαφόρως αὐτοῦ τὴν κακίαν ἐνεργοῦντος· ὅπερ ἀνατρεπτικόν ἐστι τοῦ Μανιχαϊκοῦ δόγματος.

ΚΕΦΑΛΑΙΟΝ Δ′

[1132] Στ. β′. «Μὴ πολλάκις σοι λελάληται ἐν κόπῳ; ἰσχὺν δὲ ῥημάτων σου τίς ὑποίσει;»[1].

Διδύμου. Ἢ τό, «Πολλάκις σοι λελάληται ἐν κόπῳ;»[2] δηλοῖ, ὅτι καὶ αὐτὸς σὺ πολλάκις ἐχρήσω λόγοις πρός τινας περιπεπτωκότας θλιβεροῖς, καὶ παράκλησιν αὐτοῖς προσήγαγες ἐν κόπῳ, τουτέστιν ἐν ταῖς συμφοραῖς καὶ ταῖς θλίψεσι· νῦν δὲ τὰ σὰ ῥήματα ὀλιγωρίας πεπληρωμένα οὐδεὶς οἷός τέ ἐστι φέρειν, ἀλλὰ τὸ τραχύ σου τῶν λόγων καὶ τὸν ἄγαν ἡσυχάζειν βουλόμενον διανίστησι πρὸς ἀντιλογίαν.

Στ. ι′-ια′. «Σθένος λέοντος, φωνὴ δὲ λεαίνης, γαυρίαμα δὲ δρακόντων ἐσβέσθη. Μυρμηκολέων ὤλετο παρὰ τὸ μὴ ἔχειν βοράν· σκύμνοι δὲ λεόντων ἔλιπον ἀλλήλους»[3].

Διδύμου. Λαμβάνει φύσιν ἀλόγων οὐ πάνυ τοι χρησίμην τῷ γένει τῷ ἡμετέρῳ, ἀλλὰ καὶ ἐπίβουλον, καὶ κατασκευάζει, ὅτι πᾶν τὸ ἄδικον καὶ ὑπερήφανον ἀπόλλυσιν ὁ Θεός. Ἀπόλλυται γοῦν, φησίν, ὁ ἀνυπόστατος λέων, ὅταν βούληται Θεός· σβέννυται δὲ τὸ ἄγριον φθέγμα τῆς λεαίνης, δι' οὗ ἐκδειματοῖ τῶν θηρίων τὰ ἀσθενέστερα· καὶ οἱ δράκοντες ἐταπεινώθησαν· ἐξέλιπε δὲ ὁ μυρμηκολέων, μὴ χορηγηθείσης αὐτῷ τροφῆς· «καὶ οἱ σκύμνοι τῶν λεόντων ἔλιπον ἀλλήλους»[4], οὐκ εἰς διαδοχὰς παραπέμπονται.

Κατὰ μέντοι τὴν ἱστορίαν, ἐπειδὴ εἶπεν Ἐλιφάζ, ὅτι οἱ σπείροντες τὰ ἄτοπα, ἀπὸ προστάγματος Κυρίου ἀπολοῦνται, ἐπήγαγεν, ὅτι καὶ λέων καὶ δράκων τὸ αὐτὸ πείσεται, Θεοῦ βουλομένου. Ὁ τοίνυν καὶ ἐν τοῖς ἀλόγοις τὴν εὐταξίαν διατηρῶν, πολλῷ μᾶλλον ἐπ' ἀνθρώπων.

Στ. ιζ′. «Τί γάρ; μὴ καθαρὸς ἔσται βροτὸς ἐναντίον τοῦ Κυρίου; ἢ ἀπὸ τῶν ἔργων αὐτοῦ, ἄμεμπτος ἀνήρ;»[5].

Διδύμου. Οὐκ ἄν, φησί, τοῦτο εἴποις, ὡς ἁμαρτημάτων ἐκτὸς

---

1. Ἰὼβ 4,2. 2. Ἔνθ' ἀν. 3. Ἰὼβ 4,10-11. 4. Ἰὼβ 4,11. 5. Ἰὼβ 4,17.

ὤν, ταῦτα πέπονθας· ἐπεὶ μηδὲ ἔστιν ἀνθρώπου φύσιν πρὸς τὴν τῶν νόμων ἀκρίβειαν πολιτεύεσθαι. Ἔστι γὰρ ὁτὲ μὲν καὶ ἐκουσίοις, πολλάκις δὲ καὶ ἀκουσίοις περιπίπτομεν, διὰ τὴν τῆς φύσεως ἀσθένειαν. Τοῦτο μέντοι πιθανὸν ὑπάρχον, εἰ κατὰ τὴν ἔννοιαν ἐξετάζοιτο, ἔχει τὸν ἔλεγχον. Εἰ γὰρ δι' ἁμαρτίας ὁ περιπίπτων ἀνιαροῖς θλίβεται, οὐδεὶς δὲ καθαρός, οὐδεὶς ἐκτὸς ἀνιαρῶν ὑπάρξειεν ἄν.

ΚΕΦΑΛΑΙΟΝ Ε'

Στ. η'-θ'. «Κύριον δὲ τὸν πάντων Δεσπότην ἐπικαλέσομαι, τὸν ποιοῦντα μεγάλα, καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός»[1].

Διδύμου. Αἰτιασάμενος τοὺς ἄφρονας, καὶ εἰπὼν ἃ εἶπε περὶ αὐτῶν, νῦν προνοητὴν ὁμολογεῖ καὶ δημιουργὸν τὸν Θεόν, διὰ τῶν ἐκτιθέντων. Οὐκ ἀπεικὸς δὲ αὐτὸν ταύτας ἔχειν τὰς διαλήψεις, ἄνδρα σοφὸν ὄντα τὰ ἀνθρώπινα. Ἔχει δὲ καὶ περὶ ἀοράτων καὶ ὁρατῶν διάληψιν, περὶ ἀνεξιχνιάστων λέγων, καὶ μεγάλων, καὶ ἐνδόξων ὑετοῦ τε καὶ ὕδατος· ὅπερ ὕδωρ εἰ διαστέλλοι τοῦ ὑετοῦ, τὸ ἐκ πηγῶν, καὶ χειμάρρων, καὶ φλεβῶν εἴη ἂν λέγων. Φησὶ τοίνυν, ὅτι Ἐγὼ οὐ δοξάζω, οὐδὲ φρονῶ, ὡς οἱ ἀσεβεῖς, ἀλλάγε πρόνοιαν ἐπιστάμενος, καὶ εἰδὼς τὸν Θεὸν Δεσπότην **[1133]** πάντων, καὶ καιρῶν καὶ τόπων, καὶ πραγμάτων, ἐπικαλοῦμαι αὐτόν, πρέπειν τοῦτο ἡγούμενος, ὃς κατὰ καιροὺς θαυμαστὰ ἐργάζεται, καὶ ἐκπλήξεως ἄξια, πρὸς ὠφέλειαν ἀνθρώπων, ὧν τὸ πλῆθος οὐδὲ λόγῳ καταλέξαι οἷόν τε. Λέγει δὲ τὴν καθ' ἑκάστην γενεὰν ποικίλην γενομένην πρόνοιαν, κοινῶς τε πρὸς ἅπαντας, καὶ ἰδίᾳ πρὸς ἕκαστον. Ὡς γὰρ τῶν ἀνθρώπων οὐκ ἔστιν ἀριθμὸν εὑρεῖν, οὕτως οὐδὲ τῆς τοῦ Θεοῦ ἐφικέσθαι προνοίας.

Στ. ια'. «Τὸν ποιοῦντα ταπεινοὺς εἰς ὕψος, καὶ ἀπολωλότας ἐξεγείροντα»[2].

Διδύμου. Μεταβαίνει καὶ ἐπὶ τὴν κατ' ἀνθρώπους πρόνοιαν, καὶ τοῦτο δὲ διακείμενος περὶ τοῦ Θεοῦ, ὅτι αὐτὸς ἐξ ὕψους ταπεινοῖ, ἐκ πενήτων πλουσίους, ἐξ ὑπηκόων ἄρχοντας, ἐκ νοσούντων ὑγιαίνοντας ἀπεργαζόμενος.

Στ. ιζ'-ιη'. «Μακάριος δὲ ἄνθρωπος ὃν ἤλεγξεν ὁ Κύριος· νουθέτημα δὲ Παντοκράτορος μὴ ἀπαναίνου. Αὐτὸς γὰρ ἀλγεῖν ποιεῖ, καὶ πάλιν ἀποκαθίστησιν· ἔπαισε, καὶ αἱ χεῖρες αὐτοῦ ἰάσαντο»[3].

Διδύμου. Ἐλέγχει Θεός, καὶ τὴν τῆς μάστιγος ἐπάγει νουθεσίαν,

1. Ἰὼβ 5,8-9. 2. Ἰώβ 5,11. 3. Ἰὼβ 5,17-18.

οὐχ ἵνα ἀπολέσῃ, ἀλλ' ἵνα σώσῃ τὸν παιδευόμενον· καὶ σὺ τοίνυν μὴ καθυφεὶς τοῦ φρονήματος, μετ' εὐχαριστίας δέχου τὸν ἔλεγχον.

Στ. ιθ'. «Ἐξάκις ἐξ ἀναγκῶν σε ἐξελεῖται, ἐν δὲ τῷ ἑβδόμῳ οὐ μὴ ἅψηταί σου κακόν»[1].

Διδύμου. Κατὰ δέ τινας ὑποβάλλουσιν οἱ στίχοι, ὅτι εἰς ὅσον τις ὑπὸ τὸν ἐν ἓξ ἡμέραις γεγενημένον ὑπάρχει κόσμον, τὰς ἐν αὐτῷ ὑπομένει ἀνίας, καὶ θλίψεις· κἂν ἅγιός τις ὑπάρχῃ, ἔχει τὴν ἐκ τοῦ σώματος τῆς χρείας ἀνάγκην· ὑπερβὰς δὲ τὸν κόσμον, καὶ ἐν τῇ ἑβδοματικῇ ἀναπαύσει γεγενημένος, οὐκ αἰσθήσεται κακώσεως· ἐπεὶ καὶ τοῦ ἀφιλάργυρον ἔχοντος τὸν τρόπον οὐχ ἅπτεται ζημία. Ὁ δὲ νοῦς τοιοῦτος· Ἐν τῷ νῦν αἰῶνι γυμνάσει σε, καὶ ἐν τῷ μέλλοντί σε δοξάσει. Οὐκ ἀνάγκη δὲ ταῖς θεωρίαις τὰς ἱστορίας ἐξομαλίζειν ἐξῆς.

Στ. κς'. «Ἐλεύσῃ δὲ ἐν τάφῳ, ὥσπερ σῖτος ὥριμος, κατὰ καιρὸν θεριζόμενος· ἢ ὥσπερ θημωνία ἅλωνος καθ' ὥραν συγκομισθεῖσα»[2].

Διδύμου. Τοῦτο γὰρ δηλοῖ «ἡ συγκομιζομένη θημωνία» τὴν πλήρωσιν, καὶ τελείωσιν, καὶ ὅτι ἐπ' ἀσφαλοῦς λοιπὸν τῷ ὄντι ἐστὶν ὁ τέλειος.

ΚΕΦΑΛΑΙΟΝ ΣΤ'

Στ. ε'. «Τί γάρ; μὴ διακενῆς κεκράξεται ὄνος ἄγριος, ἀλλ' ἢ τὰ σῖτα ζητῶν; εἰ δὲ καὶ ῥήξει φωνὴν βοῦς, ἐπὶ φάτνης ἔχων τὰ βρώματα;»[3].

Διδύμου. Μὴ γὰρ ματαίως φωνὴν ἀφίησιν ὄνος ἄγριος, ἀλλ' ἐνδεόμενος τροφῆς· ἀλλ' οὐδὲ βοῦς μυκᾶται, ἐπὶ φάτνης βρωμάτων κειμένων· ὥστε μηδὲ ἐμὲ αἰτιῶ, εἰ κράζω, κατὰ τὴν σὴν ὑπόληψιν, διὰ τὰ ἀνιαρά, τῆς φύσεως ἀσθενοῦς ὑπαρχούσης. Ταῦτα δέ φησιν, ὁ δίκαιος, ὅτι Ὡς οὐ μάτην ἀνακράζει ὄνος, ἢ **[1136]** βοῦς, ἀλλ' ὅταν ἐπιλείπῃ τὰ βρώματα· οὕτως οὐδὲ ἐγὼ ἠθύμουν, εἰ μὴ πρὸς ἔσχατον ἐληλάκειν κακοῦ, ἄγων τὸν Ἐλιφάζ πρὸς τὸ μὴ μέμφεσθαι τὸν ὀδυνώμενον, εἰ κράζει. Οὐ γὰρ ἀναίσθητον εἶναι δεῖ τὸν δίκαιον, κἂν καρτερῶς φέρῃ τὰ θλίβοντα. Αὕτη γὰρ ἀρετή ἐστιν, ὅταν αἴσθησιν τῶν ἐπιπόνων δεχόμενός τις, ὑπερφρονῇ τῶν ἀλγηδόνων διὰ τὸν Θεόν.

Στ. ς'. «Εἰ βρωθήσεται ἄρτος ἄνευ ἁλός; εἰ δὲ καὶ ἔστι γεῦμα ἐν ῥήμασι κενοῖς;»[4]

Διδύμου. Πρὸς δὲ διάνοιαν, Ἅπας λόγος κενὸς καὶ μάταιός ἐστιν,

---

1. Ἰὼβ 5,19. 2. Ἰὼβ 5,26. 3. Ἰὼβ 6,5. 4. Ἰὼβ 6,6.

ἐστερημένος πράξεως ἐναρέτου. Τούτου παραστατικὸν τό, «Οὐ γὰρ ἐν λόγῳ ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ, ἀλλ' ἐν δυνάμει»[1], οὐκ ἐν κεναῖς ὑποσχέσεσιν, ἀλλ' ἐν λόγῳ ἐνεργεῖ τὰ τῆς σωτηρίας ὑπάρχει.

Στ. ιε'. «Οὐ προσεῖδόν με οἱ ἐγγύτατοί μου· ὥσπερ χειμάρρους ἐκλείπων, ἢ ὥσπερ κῦμα, παρῆλθόν με»[2].

Διδύμου. Καὶ οἱ δοκοῦντες δὲ φίλοι εἶναι, ἐνστάντος δὲ θλιβεροῦ καιροῦ ἐλεγχόμενοι, ὅτι ψεύδονται τὴν φιλίαν, καὶ σηματίζονται, λέγοιντ' ἂν χείμαρρος καὶ κῦμα, διὰ τὸ ἀβέβαιον καὶ ἄπιστον. Ὡς γὰρ ὁ χείμαρρος δόκησιν παρέχει αὐθιγενοῦς, καὶ ἀεννάου ποταμοῦ, καὶ τὸ κῦμα κορυφούμενον τοῖς ἀπείροις δοκεῖ μὴ ἄν ποτε ταπεινωθῆναι (ἤλεγξε δὲ καὶ τὸν χειμάρρουν πρόσκαιρον ὄντα ὁ αὐχμός, καὶ τὸ κῦμα ἡ νηνεμία)· οὕτω καὶ τοὺς ὑποκρινομένους τὰ τῆς φιλίας, καιροῦ ζάλη δείκνυσι πολύ τι πρὸς τοὺς ἀληθινοὺς φίλους ἀντικειμένους. Οἱ μὲν γὰρ δίκαιοι, ἣν ἔχουσι βεβαιότητα πρὸς τοὺς ἀγαπωμένους, ταύτην φαίνονται ἐν ἀνέσει, καὶ ἐν περιστάσει τηροῦντες, τὸν ὅρον τῆς φιλίας μὴ διαστρέφοντες· καὶ οὐ θαῦμα, ὅπουγε καὶ πρὸς τοὺς ἐχθροὺς τὴν ἀγάπην ἐκτείνουσι, μετὰ τῶν μισούντων τὴν εἰρήνην εἰρηνικοὶ ὄντες· οἱ δὲ φαῦλοι μέχρι μέν τινος κρύπτουσιν ὅπερ εἰσί, φωρῶνται δὲ ἐν τοῖς περιστατικοῖς, τὸ προσωπεῖον τῆς ἀγάπης ἀποδυσάμενοι. Τοῦτο τοίνυν καὶ τῷ 'Ιὼβ πρὸς δοκιμασίαν τότε συνέβαινεν· ἴσως δὲ καὶ τοῦτο τοῦ ἐξαιτησαμένου ὑποβάλλοντος, πείθοντός τε καὶ τοὺς φίλους, διὰ τὸ πάθος καταφρονεῖν αὐτοῦ. Οὐ μικρὸν δὲ ἀνιᾷ ἐν τοῖς θλιβεροῖς ἀπουσία τῶν φίλων. Ταύτην ὑπομένων τὴν θλίψιν καὶ Δαβὶδ ὁ ἅγιος ἔψαλλε· «Κατενόουν εἰς τὰ δεξιά, καὶ ἐπέβλεπον, καὶ οὐκ ἦν ὁ ἐπιγινώσκων με»[3]. Καὶ πάλιν ἀποδυρόμενος, ἔλεγε· «'Επελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας, ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλός»[4].

Στ. ισ τ'. «Οἵτινές με διευλαβοῦντο, νῦν ἐπιπεπτώκασί μοι»[5].

Διδύμου. Ἴσως μὲν οὖν ἠρέμα τοὺς φίλους ἐλέγχει, ὅτι 'Αγνοοῦντες τὴν αἰτίαν τῶν ἐπαγωγῶν, ἐπεμβαίνετέ μοι, τολμῶντες τοιαῦτα λέγειν, ἃ μὴ πρότερον εἰρήκατε, διὰ τὴν πρός με εὐλάβειαν. Εἰκὸς δὲ ὅτι καὶ πολλοὶ τῶν ἄλλων διὰ τὴν συμφορὰν αὐτῷ ἐνήλλοντο.

[1137] Στ. κα'. «'Ατὰρ δὲ καὶ ὑμεῖς ἐπέβητέ μοι ἀνελεημόνως»[6].

Διδύμου. Καὶ τοὺς ἐπ' αἰτίᾳ ψεκτῇ περιπεσόντας σκυθρωποῖς νουθετῶν τις, οὐκ ἐλέγχει, κατὰ λόγον κινούμενος· οὐ τοῦτο γὰρ πρόκει-

---

1. Α' Κορ. 4,20. 2. 'Ιὼβ 6,15. 3. Ψαλ. 141,5. 4. Ψαλ. 30,13. 5. 'Ιὼβ 6,16. 6. 'Ιὼβ 6,21.

ται· ἀλλὰ μᾶλλον εἰς ἀνδρείαν προτρέψασθαι, τοῦ γενναίως ἐνεγκεῖν. Τὸ γὰρ λέγειν, Διατί γὰρ ἥμαρτες; βαρῦναι ἐστὶ μᾶλλον, ἢ πόνων κουφίσαι. Καὶ γὰρ τῷ ὄντι ἀνελεημόνως ἐπέστησαν αὐτῷ, ἐκ τοῦ πεπλανῆσθαι περὶ τὴν αἰτίαν τῆς ἐπαγωγῆς, καὶ ὅτι τὸν μὴ ὑποκείμενον ἐλέγχῳ, ἐλέγχειν ἐπειρῶντο.

«Ὥστε ἰδόντες τὸ ἐμὸν τραῦμα, φοβήθητε»[1].

Διδύμου. Κηδεμονικώτατα δὲ ὁ ἅγιος καὶ πρὸς τοὺς μὴ ὀρθῶς διακειμένους πρὸς αὐτὸν προσφέρεται, ἀπὸ τῶν καθ' ἑαυτὸν κἀκείνους διορθούμενος, καὶ ἐκ τῆς αὐτῶν διαλήψεως δεχόμενος τὴν ἀρχὴν τῆς παραινέσεως. Εἰ γὰρ πᾶς ὁ ἁμαρτάνων σκυθρωποῖς περιπίπτει, καὶ ὁ περιπεσὼν ἐξ ἁμαρτιῶν τοῦτ' ἔπαθεν, οὐδεὶς δὲ καθαρὸς ἀπὸ ῥύπου, καὶ ὑμεῖς φοβήθητε, ἐκ τοῦ ἡμετέρου τραύματος τὸν φόβον δεχόμενοι.

Στ. κδ'. «Διδάξατέ με, ἐγὼ δὲ κωφεύσω· εἴ τι πεπλάνημαι, φράσατέ μοι»[2].

Διδύμου. Καὶ τοῦτο δὲ μετὰ πλείστης ὅσης πραότητος ὁ ἅγιος παιδεύει αὐτούς, πῶς χρήσονται λόγοις πρὸς τοὺς ἐν περιστάσει· φησὶ γάρ· «Διδάξατέ με»[3], τουτέστι, Διδάσκειν ὀφείλετε, οὐκ ἐλέγχειν ἀκαίρως· εἰ μὴ καὶ τοῦτο πρὸς παίδευσιν δεῖ ποιεῖν, καὶ τὸ λεγόμενον ὑπὸ Παύλου· «Ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ»[4].

Στ. κε'-κζ'. «Οὐ γὰρ παρ' ὑμῶν ἰσχὺν αἰτοῦμαι, οὐδὲ ἔλεγχος ὑμῶν ῥήμασί με παύσει· οὐδὲ γὰρ ὑμῶν φθέγμα ῥήματος ἀνέξομαι. Πλὴν ὅτι ἐπ' ὀρφανῷ ἐπιπίπτετε, ἐνάλλεσθε δὲ ἐπὶ φίλῳ ὑμῶν»[5].

Διδύμου. Ἀνδρείας δὲ καὶ τοῦτο. Πολλοὶ γὰρ πολλάκις τῶν ἐν περιστάσεσι, φορτικῶν ἀκούοντες λόγων, ἀποκάμνουσιν· ἀλλ' ὁ ἅγιος οὔτε ὅλως τὸν ἔλεγχον τὸν ὑπὸ φίλων, οὔτε τοὺς λόγους πρὸς ὀλιγωρίαν ἐδέξατο, μὴ καταδεχόμενος αὐτὰ τὴν ἀρχήν, ὡς δυνάμενα αὐτὸν σεῖσαι, ἀλλὰ τὸ ἄλογον, τῆς καθ' ἑαυτοῦ ἐπιπλήξεως, καὶ τὸ μάταιον τοῦ ἐλέγχου δεικνύς, φησίν, ὅτι «Οὐ παύσει με ὁ ἔλεγχος ὑμῶν»[6]. Λόγος γὰρ χωρὶς ἔργων προσφερόμενος ἀβέβαιός ἐστι καὶ ἄπιστος· ἄλλως δὲ καὶ μὴ ἀληθῶς προϊών, ἔτι τὸ ἀσθενὲς ἔχει· ὥστε καὶ ὑμεῖς τοιούτῳ ἐλέγχῳ χρώμενοι, οὐ παύετε [ἴσ. παύσετε] τἀληθῆ λέγειν, οὐδὲ πρὸς τοὺς παρ' ὑμῶν λόγους εὑρήσετε ἡσυχάζοντα.

---

1. Ἰὼβ 6,21. 2. Ἰὼβ 6,24. 3. Ἔνθ' ἀν. 4. Β' Τιμ. 4,2. 5. Ἰὼβ 6,25-27. 6. Ιρβλ. Ἰὼβ 6,26.

Στ. κθ'-λ'. «Καθίσατε δή, καὶ μὴ εἴη ἄδικον, καὶ πάλιν τῷ δικαίῳ συνέρχεσθε. Οὐ γάρ ἐστιν ἐν γλώσσῃ μου ἄδικον, ἢ ὁ λάρυγξ μου οὐχὶ σύνεσιν μελετᾷ;»[1]

Διδύμου. 'Επιτρεπτικὰ δὲ ταῦτα καὶ ἀνεξίκακα, παιδεύοντα σχολῇ, καὶ προσοχῇ, καὶ ἐξετάσει φθέγγεσθαι· ὃ δηλοῦται διὰ τοῦ «Καθίσατε»[2]. **[1140]** Τοῦτο καὶ ἀλλαχοῦ εἴρηται, «Πρὶν ἐξετάσῃς, μὴ μέμφου»[3]. Μέγα δὲ καὶ τὸ ἐπίταγμα τό, «Μὴ εἴη ἄδικον»[4]· οὐ γὰρ μικρόν, ἐν λόγῳ μὴ πταίειν. Προτρεψάμενος δὲ αὐτοὺς σχολάσαι τῇ περὶ αὐτοῦ ἐξετάσει, ὅπερ διὰ τοῦ, «Καθίσατε δή, καὶ μὴ εἴη ἄδικον»[5], ἡρμήνευσεν· εἶτα εὐπαρρησίαστον προφέρει λόγον, φάσκων· «Οὐ γάρ ἐστιν ἐν γλώσσῃ μου ἄδικον»[6]· ἠρέμα παρακινῶν αὐτούς, ἐξ ἧς εἶχον περὶ αὐτοῦ διαλήψεως, ὡς δι' ἁμαρτίας πεπονθότος· καὶ ἄλλως ὑποσημαίνων αὐτοῖς, ὡς οὐ πρὸς ἀσύνετον ἔχουσιν, ἵν' ἐκ τούτου εἰς τὴν περὶ αὐτοῦ σκέψιν αὐτοὺς διεγείρῃ, ὥστε φρονίμως καὶ συνετῶς ταύτῃ χρήσασθαι.

ΚΕΦΑΛΑΙΟΝ Ζ'

Στ. θ'-ι'. «'Εὰν γὰρ ἄνθρωπος καταβῇ εἰς ᾅδην, οὐκέτι μὴ ἀναβῇ, οὐδ' οὐ μὴ ἐπιστρέψῃ εἰς τὸν ἴδιον οἶκον, οὐδ' οὐ μὴ ἐπιγνῷ αὐτὸν ἔτι ὁ τόπος αὐτοῦ»[7].

Διδύμου. Ἄλλοι δέ φασιν, ὅτι οὐ παραιρούμενος τὴν ἀνάστασιν, τοῦτο λέγει· ἀλλὰ πρῶτον μὲν τὸ τῶν ἀνθρώπων ἐπίκηρον δεικνύς· ἔπειτα, ὅτι ὁ ἅπαξ ἀποθανών, εἰς τόνδε τὸν φθαρτὸν βίον οὐχ ὑποστρέψει, οὐδὲ τὰ συνήθη πράττων ἐπιγνωσθήσεται· ὥστε τῷ, «Οὐκέτι οὐ μὴ ἀναβῇ ἐξ ᾅδου»[8] συναπτέον τό, «Εἰς τὸν ἴδιον οἶκον οὐκ ἐπιστρέψῃ»[9]· ἵνα εἴπῃ, ὅτι 'Αναβιώσεται μέν, οὐ μὴν εἰς τὸν ἑαυτοῦ οἶκον ἐπιστρέψει. 'Αλλ' αὕτη μὲν ἡ ἑρμηνεία πιθανή, ἀληθεστέρα δὲ ἡ προτέρα, ὅτι ἠγνόει τὰ περὶ τῆς ἀναστάσεως ὁ δίκαιος· ὅθεν καὶ πλέον ἐστὶ θαυμαστός, ὅτι μηδὲν τοιοῦτον ἐλπίζων, οὕτω τὴν ἄκραν ἀρετὴν κατώρθωσεν.

ΚΕΦΑΛΑΙΟΝ Η'

Στ. ια-ιβ'. Μὴ θάλλει πάπυρος ἄνευ ὕδατος; ἢ ὑψωθήσεται βούτομον ἄνευ πότου; ἔτι ὂν»[10] κ.τ.λ.

Διδύμου. Εἰ δὲ χρὴ καὶ κομψότερον περὶ τούτων διαλαβεῖν· τῷ ὄντι ἡ τῶν ἀσεβῶν ἐλπὶς οὐ περὶ ὑφεστηκότα γίνεται. 'Η γὰρ ἐλπὶς

---

1. 'Ιὼβ 6,29-30. 2. 'Ιὼβ 6,29. 3. Πρβλ. Σ. Σειρ. 11,7. 4. 'Ιὼβ 6,29. 5. "Ενθ' ἀν. 6. 'Ιὼβ 6,30. 7. 'Ιὼβ 7,9-10. 8. Πρβλ. 'Ιὼβ 7,9. 9. Πρβλ. 'Ιὼβ 7,10. 10. 'Ιὼβ 8,11-12.

οὐδὲν ἕτερόν ἐστι κατὰ γένος, ἢ προσδοκία ἀγαθῶν· καὶ ὁ φοβούμενος δὲ προσδοκᾷ, ἀλλ' οὐκ ἀγαθά. Κακῶν γὰρ προσδοκία ἐστὶν ὁ φόβος, ἀγαθῶν δὲ ἡ ἐλπίς. Ἐπεὶ οὖν οὐχ ὑφεστηκότα πράγματα οἱ ἀσεβεῖς προσδοκῶσιν, ἀπόλλυται αὐτῶν ἡ ἐλπίς. Ὡς γὰρ μένουσιν, τοῖς ἡδέσι χρῶνται, καὶ ἐν τούτοις ματαίαν ἔχουσιν ἐλπίδα. Καὶ ὁ μὲν δίκαιος ἐν τῇ αὐτοῦ ἀρετῇ, ὡς ἐν οἰκίᾳ, μένων, οὐδέποτε ἕξει τὴν τοιαύτην οἰκίαν ἀοίκητον· «Ἡ δικαιοσύνη γὰρ αὐτοῦ μένει εἰς τὸν αἰῶνα»[1]· ὁ δὲ φαῦλος ταύτης μὴ ἀντεχόμενος, οὐκ οἰκοδομεῖ αὐτήν, οὐδὲ μένει ἐν αὐτῇ. Πάλιν ἡ ἀράχνη ποικιλίαν ἐπιδείκνυται, ἐξ ὑφάσματος φυσικοῦ κατεσκευασμένη, ῥᾷστα δὲ διαλύεται, ἐπιψαύσαντός τινος. Τὰ τῶν φαύλων οὖν ἔργα, καὶ ἡ κατασκευὴ τῆς πολιτείας, ἀράχνῃ ἔοικεν οὐχ ὑφισταμένῃ. Ῥᾷστα γὰρ ἡ τῶν φαύλων ἐπίνοια, σκηνὴ ὀνομαζομένη, καταπίπτουσα, εὐάλωτός ἐστιν οὕτως, ὡς μηδὲ δοκεῖν γεγονέναι ποτέ.

[1141] Ὥσπερ ἄνευ ὕδατος οὐ πληθυνθήσεται ἕλος· οὕτως ἀδύνατον μὴ δεχόμενον ἐν διανοίᾳ ὠφέλειαν τῶν κρειττόνων, καρπὸν προενεγκεῖν ὠφέλιμον. Ἁρμόσει δὲ τὸ ῥητὸν καὶ ἐπὶ τῶν ἀνθρωπίνων πραγμάτων, ὅτι καθάπερ ἀπὸ ὕδατος ὑπὸ τῆς προνοίας ταῦτα ἀρδεύεται, ἧς μὴ ἐπιούσης, ῥᾳδίαν ταῦτα καὶ εὐμάραντον ἕξει τὴν διάλυσιν. Πᾶν γάρ, κἂν μικρόν, κἂν μέγα ᾖ, τὸ ἐν τῷ βίῳ, ὑπὸ πρόνοιάν ἐστι· ξηραίνεται δέ, εἰ μὴ αὕτη ἐποπτεύοι.

Στ. ιζ'-ιη'. «Ἐπὶ συναγωγὴν λίθων κοιμᾶται, ἐν δὲ μέσῳ χαλίκων ζήσεται· ἐὰν καταπίῃ, ὁ τόπος ψεύσεται αὐτόν»[2].

Διδύμου. Ὑψηλότερον δὲ εἰπεῖν· Οἶκός ἐστι λίθων σύνθεσις κατὰ τέχνην πρὸς ἑτέρους ἕνωσιν ἐχόντων· τοιοῦτον ἡ ἀρετή, καὶ ἡ ἁγιότης, καὶ αὐτὴ ἡ μετουσία τοῦ Πνεύματος· ἐσκορπισμένον δέ τι, ἡ συναγωγὴ τῶν λίθων, καὶ μίξις τῶν χαλίκων, παραπλησίον τῇ κακίᾳ, τῇ μὴ ἐχούσῃ ἕνωσιν, ἀλλ' ἀταξίαν. Ὁ ἀσεβὴς οὖν ἅπασαν τὴν διαγωγὴν ἐν οἴκῳ κακίας ἔχει, διαλελυμένος, κατὰ τοὺς ἔξω τῆς οἰκοδομῆς λίθους, οἳ οὐχ ἁρμόζουσι τῇ οἰκοδομῇ τοῦ πύργου, κατὰ τὸν Ποιμένα[3]· οὐδ' ἀκούουσιν· «Ὑμεῖς δὲ ἐποικοδομεῖσθε ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν»[4].

Στ. ιθ'-κ'. «Ἐκ δὲ γῆς ἄλλον ἀναβλαστήσει· ὁ γὰρ Κύριος οὐ μὴ ἀποποιήσηται τὸν ἄκακον»[5].

Διδύμου. Ἐπιμείνας τῇ τροπῇ τῶν βοτανῶν, τό, «ἀναβλαστήσειν» τέθεικεν. Ἄκακον δὲ ἐνταῦθα λέγει, οὐ τὸν εὐήθη, ἀλλὰ τὸν μὴ ἔχοντα κακίαν· ἀμφότερα γὰρ σημαίνει τὸ ὄνομα. Ὅταν μὲν γὰρ λέγῃ

---

1. Ψαλ. 110,3. 2. Ἰώβ 8,17-18. 3. Πρβλ. Ποιμὴν Ἑρμᾶ, Παραβολὴ θ' IX, ΒΕΠ. 3,91. 4. Πρβλ. Ἐφ. 2,20. 5. Ἰώβ 8,19-20.

περὶ τῶν αἱρετικῶν, ὅτι «Διὰ τῆς χρηστολογίας ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων»[1] ἀκάκους καλεῖ τοὺς εὐήθεις, τοὺς βραδεῖς τὴν νόησιν· ὅταν δὲ λέγῃ· «"Ακακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι»[2], τοὺς δικαίους σημαίνει· καθάπερ οὖν καὶ ἐνταῦθά φησιν, ὅτι ἐκτίλλει μὲν τὸν φαῦλον ὁ Κύριος, φυτεύει δὲ ἀντ' ἐκείνου τὸν ἄκακον· ἐκεῖνον μὲν γὰρ τιμωρεῖται. Εἰ δέ τις εἴη εὐσεβής, καὶ τῆς καθ' ἑτέρων κακίας ἀπέχεται, εἰ καὶ ἐν ἐσχάτοις ἐξετασθείη, πλείστης γοῦν αὐτῷ τῆς οἰκείας προνοίας μεταδίδωσι.

Στ. κ'-κα'. «Πᾶν δὲ δῶρον ἀσεβοῦς οὐ δέξεται. 'Αληθινῶν δὲ στόμα ἐμπλήσει γέλωτος, τὰ δὲ χείλη αὐτῶν ἐξομολογήσεως»[3].

Διδύμου. 'Αληθινός ἐστιν ἐκεῖνος, ὁ μὴ ὑποκρινόμενος μηδὲ ἐπιμορφιζόμενος τὴν ἀρετήν, ὁ μὴ σχηματιζόμενος σωφροσύνην, ἀλλὰ σώφρων ὤν, τὸ δίκαιον δικαίως διώκων. Τούτων οὖν τῶν ἀληθινῶν τὸ στόμα ἐμπλήσει ὁ Θεὸς γέλωτος, τουτέστιν ἀγαλλιάσεως. 'Αντὶ δέ, τῆς «ἐξομολογήσεως», «ἀλαλαγμοῦ» εἶπον οἱ ἄλλοι.

ΚΕΦΑΛΑΙΟΝ Θ'

Στ. ε'. «'Ο παλαιῶν ὄρη καὶ οὐκ οἴδασιν, ὁ καταστρέφων αὐτὰ ὀργῇ»[4].

Διδύμου. Οἶδα καὶ ἄλλα ὄρη, Μωϋσέα καὶ τοὺς προφήτας, «Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη»[5]. Χριστὸς παλαιοῖ τὴν πρώτην Διαθήκην, καὶ οὐκ οἴδασιν 'Ιουδαῖοι, πρὸς οὓς εἴρηται· «Εἰ ἐπιστεύετε Μωϋ**[1144]**σῇ, ἐπιστεύετε ἂν ἐμοί»[6]. 'Ο αὐτὸς δὲ καὶ κατέστρεψε τὰ μέχρι γράμματος ὄρη τῆς 'Ιερουσαλὴμ καὶ τὸ ἁγίασμα· ὁ αὐτὸς δὲ καὶ τὸν ἥλιον ἀμαυροῖ τῇ ἑαυτοῦ λαμπρότητι, καὶ τοὺς ἀστέρας. Βαβαί! Οἷα λέγει ἄνθρωπος νοσῶν καὶ ἑλκωμένος, ὄστρακον ἔχων, καὶ τὸν ἰχῶρα ξέων, ἄνθρωπος ἐπὶ κοπρίας καθεζόμενος! «'Ο παλαιῶν ὄρη, καὶ οὐκ οἴδασι»[7]. Τίνες οὖν εἰσιν οἱ λόγοι, ἴδωμεν· καὶ περὶ ποίων ὀρέων παλαιουμένων, καὶ ὑπὸ τίνων, «Καὶ οὐκ οἴδασιν»[8]. Ἦλθεν 'Ιησοῦς ὁ καταστρέφων τὴν κατὰ τὸ γράμμα ἐκδοχήν, καὶ τοὺς ταύτῃ μετὰ τὴν χάριν ἐμμένοντας, περὶ ὧν φησιν ὁ 'Απόστολος· «Ἔφθασε δὲ ἐπ' αὐτοὺς ἡ ὀργή»[9]· τὰ πεπαλαιωμένα κατεστράφη, πεπαλαίωται τὰ τοῦ γράμματος, ἀνακεκαίνωται τὰ τοῦ πνεύματος, ὥστε δουλεύειν ἡμᾶς ἐν καινότητι πνεύματος, καὶ οὐ παλαιότητι γράμματος. Παράδοξον ὁ 'Ιησοῦς πεποίηκεν ἐλθών, τοὺς αὐτοὺς προφήτας καὶ πεπαλαίωκε, καὶ ἀνεκαίνισεν.

---

1. Ρωμ. 16,18. 2. Ψαλ. 24,21. 3. 'Ιὼβ 8,20-21. 4. 'Ιὼβ 9,5. 5. Ψαλ. 120,1. 6. 'Ιω. 5,46. 7. 'Ιὼβ 9,5. 8. Ἔνθ' ἀν. 9. Α' Θεσ. 2,16.

Στ. ς'. «Ὁ σείων τὴν ὑπ' οὐρανὸν ἐκ θεμελίων· οἱ δὲ στύλοι αὐτῆς σαλεύονται»[1].

Διδύμου. Κομψότερον δέ τινες· Οἱ στύλοι ἦσαν τοῦ Κυρίου μου Ἰησοῦ Χριστοῦ οἱ ἀπόστολοι. Οὗτοι γὰρ παρὰ τὸν καιρὸν τοῦ πάθους Ἰησοῦ ἐσαλεύθησαν· «Πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ»[2]. Σεισμοὶ δὲ πολλάκις γεγόνασιν ἐπὶ τῆς γῆς· ἀλλ' οἱ γενόμενοι σεισμοί, καὶ πρὸ Χριστοῦ, καὶ μετὰ Χριστόν, ἐκ μέρους γεγόνασιν· ἐπὶ δὲ τοῦ Κυρίου μου Ἰησοῦ Χριστοῦ οὐ γέγονε μερικὸς ὁ σεισμός, ἀλλ' ὅλη ἡ γῆ ἐσείσθη ἐξ αὐτοῦ τοῦ κέντρου.

Στ. ζ'. «Κατὰ δὲ ἄστρων καταση φραγίζει»[3].

Διδύμου. Φέρεται δέ, ὅτι κατὰ τὸν καιρὸν τοῦ πάθους, ἐν ταῖς τρισὶν ὥραις ἐν αἷς ὁ ἥλιος ἐξέλιπε, τηνικαῦτα καὶ ἀστέρες ἐφάνησαν, ὡς ἐν νυκτί.

Στ. ιγ'. «Ὑπ' αὐτοῦ ἐκάμφθησαν κήτη τὰ ὑπ' οὐρανόν»[4].

Διδύμου. Πρὸς μὲν τὸ ῥητόν· Καὶ τὰ κήτη ἀνυπότακτα ἦν ἀνθρώποις, καὶ τὰ ἄλλα ἰοβόλα θηρία, εἰ μὴ αὐτὸς ταῦτα ὑπέταξε. Πρὸς δὲ θεωρίαν· Τὰ πονηρὰ πνεύματα, τὰ κήτη ἀλληγορικῶς καλούμενα, διὰ τὸ περὶ τοὺς κλύδωνας τῆς ψυχῆς διανήχεσθαι, αὐτὸς ἔκαμψε, καὶ ἐταπείνωσεν. Οὐ γὰρ οἵα τέ ἐστιν ἀνθρωπεία φύσις· πρὸς αὐτὰ μὴ καμφθέντα ὑπὸ Θεοῦ.

Στ. κζ'. «Ἐάν τε γὰρ εἴπω, ἐπιλήσομαι λαλῶν, συγκύψας τῷ προσώπῳ στενάξω, σείομαι πᾶσι τοῖς μέλεσιν· οἶδα γὰρ ὅτι οὐκ ἀθῶόν με ἐάσεις»[5].

Διδύμου. Ἡ μέτρησις τοῦ ἁγίου ἐν τούτοις γνωρίζεται, καὶ μεγάλη εὐγνωμοσύνη. Εἰ γὰρ καὶ εἶπεν, ὅτι «Δίκαιος ἀναφανοῦμαι»[6], ἀλλ' οὖν εἶδε καὶ πέπεισται, ὅτι ὡς πρὸς Θεὸν δοκιμαστὴν ἄστρα καθαρὰ οὐκ ἔστιν ἐνώπιον αὐτοῦ, οὐδ' αὐτὸς δηλονότι. Διό φησιν, ὅτι Ἐξεταστής μου γινόμενος ἀκριβὴς (Θεὸς γὰρ εἶ) «οὐκ ἀθῶόν με ἐάσεις»[7].

ΚΕΦΑΛΑΙΟΝ Ι'

Στ. η'. «Αἱ χεῖρές σου ἔπλασάν με, καὶ ἐποίησάν με»[8].

[1145] *Διδύμου.* Διαφέρει δὲ τὸ «ἔπλασας» τοῦ «ἐποίησας».

---

1. Ἰώβ 9,6. 2. Ματθ. 26,31. 3. Ἰώβ 9,7. 4. Ἰώβ 9,13. 5. Ἰώβ 9,27-28. 6. Ἰώβ 13,18. 7. Ἰώβ 9,28. 8. Ἰώβ 10,8.

Πέπλασται μὲν γὰρ τὸ σῶμα ἐξ ὑποκειμένης τῆς γῆς, ἤτοι τῆς γυναικός· πεποίηται δὲ ἡ ψυχὴ μὴ προϋποκειμένου τινός· ὡς γὰρ ἀσώματος, οὕτω καὶ ἀμέριστος.

Στ. ιδ'. «Ἐάν τε γὰρ ἁμάρτω, φυλάσσεις με· ἀπὸ δὲ ἀνομίας οὐκ ἀθῶόν με πεποίηκας»[1].

Διδύμου. Εἰκότως δὲ τοῦτο λέγει· Ἐπειδὴ γὰρ δημιουργὸν καὶ προνοητὴν ἑαυτοῦ οἶδεν τὸν τῶν ὅλων Θεόν, ἀκολούθως καὶ περὶ μακροθυμίας αὐτοῦ διδάσκει· ἐπίσταται γὰρ καὶ αὐτός, κατὰ τὸν μακάριον Δαβίδ, ὅτι «Οὐκ ὀργὴν ἐπάγει καθ' ἑκάστην ἡμέραν»[2], φυλάττει δὲ τὸν ἁμαρτάνοντα, οὐ βουλόμενος αὐτὸν ἁμαρτάνειν· «Οὐ βούλεται δὲ τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὴν μετάνοιαν»[3]. Τὸ δέ, «Οὐκ ἀθῶόν με πεποίηκας»[4] οἱ ἄλλοι, «Οὐκ ἀθωώσεις με, Οὐ καθαρίσεις με»[5] εἶπον.

Στ. ιε'. «Ἐάν τε γὰρ ἀσεβήσω, οἴμοι· ἐάν τε ὦ δίκαιος, οὐ δύναμαι ἀνακύψαι»[6].

Διδύμου. Τάχα δὲ καὶ τοιοῦτόν τι λέγει· Εἴτε προαιρετικῶς ἁμάρτω, οἴμοι· εἴτε ὡς ἐκ τῆς τοῦ Ἀδὰμ παραβάσεως, καὶ εἰς ἡμᾶς διαβαινούσης ἐκ διαδοχῆς τῆς ὀφειλῆς, πάλιν οὐδ' οὕτως ἀνακύψαι δυνήσομαι, ὡς παντὸς ἀπηλλαγμένος ῥύπου. Τῶν γὰρ ἁμαρτημάτων, τὰ μὲν ἐκ προαιρέσεως τῆς ἡμετέρας ὑφίσταται, οἷς καὶ κόλασις ἕπεται· τὰ δὲ ἐκ προγόνων οἷς καὶ κάθαρσις χρεωστεῖται.

Στ. ιη'-ιθ'. «Ἱνατί οὖν ἐκ κοιλίας με ἐξήγαγες, καὶ οὐκ ἀπέθανον; Ὀφθαλμὸς δέ με οὐκ εἶδε, καὶ ὥσπερ οὐκ ὢν ἐγενόμην. Διατί γὰρ ἐκ γαστρὸς εἰς μνῆμα οὐκ ἀπηλλάγην;»[7].

Διδύμου. Ὅρα δέ, ὅτι τῶν προσπεσόντων αὐτῷ πειρατηρίων ἐπιμνησθείς, ἐπὶ τὴν πρώτην αἰτίαν τῶν παθῶν ἀνατρέχει, τουτέστι τὴν παράβασιν, καὶ τὴν ἐκ φθορᾶς γένεσιν· καὶ οὐδαμοῦ μὲν κατὰ τῆς προτέρας τοῦ ἀνθρώπου ποιήσεως σχετλιάζει· τὸ δὲ πειρασθῆναι τῆς ἐν βίῳ φθορᾶς, ἡγεῖται χαλεπόν, κοιλίας τε καὶ γαστρὸς μνημονεύων. Ἡμεῖς γὰρ ἑαυτοῖς τῇ παραβάσει τὴν ὀδυνηρὰν ταύτην ζωὴν ἐπεισηγάγομεν.

Στ. κα'. «Ἔασόν με ἀναπαύσασθαι μικρόν, πρὸ τοῦ με πορευθῆναι ὅθεν οὐκ ἀναστρέψω»[8].

Διδύμου. Εὐχῆς τρόπῳ ταῦτα προφέρει. Οὐ γὰρ αἱ ἐπικείμε-

---

1. Ἰὼβ 10,14. 2. Πρβλ. Ψαλ. 7,12. 3. Πρβλ. Ἰεζ. 18,23. 4. Ἰὼβ 10,14. 5. Ἰὼβ 10,15. 7. Ἰὼβ 10,18-19. 8. Ἰὼβ 10,20-21.

ναι ἀνίαι μικραὶ τυγχάνουσιν, οὐδὲ ἀναισθήτως ἔφερε τὰς ἀλγηδόνας· τοῦτο γὰρ οὐκ ἦν ἀνδρεῖον, εἰ οὐκ ἠσθάνετο. Διδάσκει δέ, ὅτι καὶ Θεοῦ δυνάμει ὑπέμεινε, δι' ὧν εὔχεται, εὐχαρίστως λέγων· Ἐκεχειρίαν μοι τῶν πόνων παράσχου, προσκαίρῳ ὄντι, καὶ εἰς ἀεὶ ἀπόλλυσθαι μέλλοντι· τοῦτο γὰρ δηλοῖ τό, πορευθῆναι ὅθεν οὐκ ἐπανελεύσεται. Καὶ δόγμα τι διδάσκει κάλλιστον, ὅτι ὁ ἅπαξ ἐξελθὼν τοῦ βίου οὐκέτι εἰς τόνδε τὸν βίον ἐπαναστρέφει, ὡς μυθολογοῦσιν οἱ τὰς μετενσωματώσεις τερατευόμενοι. Εἶτα διηγεῖται τὰ ἐν ᾅδου κακά, ἵνα γνῶμεν οἵων ἡμᾶς ἠλευθέρωσεν ὁ Σωτήρ, εἰπών «τοῖς ἐν δεσμοῖς· Ἐξέλθετε· καὶ τοῖς ἐν τῷ σκότει, ἀνακαλυφθῆναι»[1].

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'

[1148] Στ. η'-θ'. «Ὑψηλὸς ὁ οὐρανός, καὶ τί ποιήσεις; βαθύτερα δὲ τῶν ἐν ᾅδου· τί οἶδας; ἢ μακρότερα μέτρου γῆς, ἢ εὔρους θαλάσσης;»[2].

Διδύμου. Δεῖξαι δὲ βούλεται διὰ πάντων τούτων, ὅτι ἡ τῶν ἀνθρώπων γνῶσις μεμετρημένη ἐστί, μὴ ἐφικνουμένη τῶν τοῦ Θεοῦ κριμάτων. Καὶ νῦν γοῦν ὁ οὐρανός, φησίν, ἐστί, καὶ ᾅδου, βαθύτερα, καὶ μακρότερα γῆς, καὶ τοῦ εὔρους τῆς θαλάσσης, λέγε τι περὶ αὐτῶν, εἰ δύνασαι. Αἰνίττεται δὲ ἴσως, ὅτι κἂν ἐπιχειρήσῃ τις περὶ γῆς, καὶ θαλάσσης, καὶ οὐρανοῦ λαλῆσαι, ἀλλὰ τὰ ὑπὲρ ἐκεῖνα ἀγνοεῖ.

Στ. ιβ'. «Ἄνθρωπος δὲ ἄλλως νήχεται λόγοις, βροτὸς δὲ γεννητὸς γυναικὸς ἴσα ὄνῳ ἐρημίτῃ»[3].

Διδύμου. Τὸ τῆς τοῦ Θεοῦ γνώσεως ἀσφαλὲς παραβάλλων ταῖς τῶν ἀνθρώπων ἐπιβολαῖς νήχεσθαι αὐτοὺς ματαίως ἔφησε, μὴ δυναμένους πᾶσαν τὴν τοῦ Θεοῦ γνῶσιν λογισμῷ περιλαβεῖν. Διὰ δὲ τοῦ ἐρημίτου ὄνου, παρίστησι τὸ σφόδρα νωθὲς αὐτῶν πρὸς τὴν κατάληψιν τῶν κριμάτων, ὑπερβολικῷ χρώμενος τῷ λόγῳ.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'

Στ. δ'. «Δίκαιος γὰρ ἀνὴρ καὶ ἄμεμπτος ἐγενήθη εἰς χλεύασμα»[4].

Διδύμου. Ἐπισήμηναι δέ, ὅτι ὅταν μὲν τὰ ἐλάττονα λέγῃ, ἑαυτῷ αὐτὰ προσάγει, οὐ γάρ ἐστιν ἐπιδεικτικὸς δι' ἀτυφίαν· ὅταν δὲ τὰ μείζονα καταλέγῃ, εἰς τὸ καθόλου ἀνάγει τὸν λόγον· ὥσπερ οὖν κἀνταῦθα μονονουχί φησι, Μὴ γελάσθωσαν οἱ δίκαιοι, ἐπὶ τοσοῦτον γὰρ πάσχουσιν, ἐφ' ὅσον ὁ Θεὸς βούλεται.

---

1. Ἡσ. 49,9. 2. Ἰὼβ 11,8-9. 3. Ἰὼβ 11,12. 4. Ἰὼβ 12,4.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'

Στ. γ'. «Οὐ μὴν δὲ ἀλλ' ἐγὼ πρὸς Κύριον λαλήσω»[1].

Διδύμου. Αἰτιασάμενος τοὺς φίλους ὡς σφαλλομένους, φησίν, ὅτι «Πρὸς Κύριον λαλήσω»[2], τὸ εὐπαρρησίαστον ἑαυτοῦ δεικνύς.

Στ. δ'. «Ὑμεῖς δέ ἐστε ἰατροὶ ἄδικοι, καὶ ἰαταὶ κακῶν πάντες»[3].

Διδύμου. Ἄδικος δὲ ἰατρός ἐστι, κατὰ τὸ πρόχειρον, ὁ ἄλλα βοηθήματα παρὰ τὰ συμφέροντα προσάγων τοῖς κάμνουσι· διττῶς δὲ τοῦτο γίνεται, ἢ ἐξ ἀπειρίας τοῦ ἰατροῦ, ἢ ἐκ κακοηθείας. Οὗτοι δὲ οἱ ἐλεγχόμενοι, ἐξ ἀμαθίας μᾶλλον ἢ ἐκ κακουργίας, ἔλεγον τῷ 'Ιώβ, ὅτι «Δι' ἁμαρτήματα πάσχεις»[4], οἰόμενοι παρακλήσεως προσάγειν λόγους. Ἄδικοι οὖν κατὰ τὸ ἀγνοεῖν τὴν αἰτίαν. Τὸ δέ, «'Ιαταὶ κακῶν πάντες»[5] εἴη ἂν λέγων, κατὰ τῶν οἰομένων μεγάλα περὶ ἑαυτῶν, ὡς δυναμένων ἰάσασθαι τὰ περιστατικῶς ἑτέροις συμβαίνοντα.

Στ. ς'. «'Ακούσατε δὲ ἔλεγχον τοῦ στόματός μου, κρίσιν δὲ χειλέων μου προσέχετε»[6].

Διδύμου. Κατανοήσατε ἃ μέλλω λέγειν εἰς ἔλεγχον ὑμῶν, καὶ ἐννοήσατε εἰ κεκριμένως φθέγγομαι. «Στόμα» δὲ καὶ «χείλη» ἀντὶ τοῦ «λόγου» φησίν. 'Ελέγχει δὲ ὁ ἅγιος, ὡς ἅγιος, καὶ κρίνει ὡς πρέπει αὐτῷ. Οὐ γὰρ ἄκαιρον ἔλεγχον ἔχει ὁ δίκαιος, οὐδὲ ψευδῶς τοῦτο ποιεῖ, ἀλλὰ κεκριμένως καὶ νομίμως χρῆται τῷ ἐλέγχῳ καὶ τῇ κρίσει· «Στόμα γὰρ δικαίου με[1149]λετήσει σοφίαν, καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν»[7].

Στ. ι'-ια'. «Εἰ δὲ καὶ κρυφῇ πρόσωπα θαυμάσεσθε, πότερον οὐχ ἡ δίνη αὐτοῦ στροβήσει ὑμᾶς;»[8]. Ὁ δὲ Σύμμαχος, «Μὴ κρύφα πρόσωπον αὐτοῦ δυσωπηθήσεσθε; μὴ οὐχὶ ἡ κίνησις αὐτοῦ πτοήσει ὑμᾶς»; «Ὁ φόβος»[9] κ.τ.λ.

Διδύμου. Ὁ ἄριστος κριτὴς πραγμάτων ἐστὶν ἐξεταστής, οὐκ εἰς πρόσωπον βλέπει τῶν κρινομένων. Ἐὰν γὰρ ὦσιν οἱ κρινόμενοι πλούσιοι, ἢ ἄρχοντες, ἢ κατ' ἄλλην ἀξίαν ὑπερέχοντες, οὐκ εἰς τὸ πρόσωπον αὐτῶν σκοπεῖ, ἀλλ' εἰς τὰς πράξεις ἃς κρίνει. Οὔτε γὰρ πλουσίῳ προστίθεσθαι δεῖ, οὔτε πένητος τὴν ἔνδειαν ἐλεοῦντας, παρορᾶν τὸ δίκαιον· διὸ εἴρηται, «Οὐκ ἐλεήσεις πτωχὸν ἐν κρίσει»[10].

---

1. 'Ιὼβ 13,3. 2. Ἔνθ' ἀν. 3. 'Ιω. 13,4. 4. Πρβλ. 'Ιὼβ 11,6.
5. 'Ιὼβ 13,4. 6. 'Ιὼβ 13,6. 7. Ψαλ. 36,30. 8. 'Ιὼβ 13,10-11.
9. 'Ιὼβ 13,11. 10. Πρβλ. Ἐξ. 23,3.

Στ. ιγ'-ιδ'. «Κωφεύσατε ἵνα λαλήσω, καὶ ἀναπαύσωμαι θυμοῦ, ἀναλαβὼν τὰς σάρκας μου τοῖς ὀδοῦσιν»[1].

Διδύμου. Τάχα γε τρόπον τινὰ ὑπαναπαύει τοὺς φίλους. Ἐπεὶ γὰρ αὐτοὺς ἠτιάσατο πρότερον, ὡς παρακλήτορας κακῶν ὄντας (οὐ γὰρ παρεκάλουν ὡς ἔδει, ἀλλὰ μᾶλλον τὴν λύπην ἤγειρον καὶ τὴν ὀδύνην τοῦ δῆθεν παρακαλουμένου), νῦν λέγει, ὅτι Λήξω τοῦ πρὸς ὑμᾶς θυμοῦ· «ἀναλαβὼν τὰς σάρκας μου τοῖς ὀδοῦσι»[2]· τουτέστιν, Οὐκέτι καθ' ὑμῶν ὀργίσομαι, ἀλλὰ κατ' ἐμαυτοῦ.

Στ. ις'. «Καὶ τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν· οὐ γὰρ ἐναντίον αὐτοῦ δόλος εἰσελεύσεται»[3].

Διδύμου. Δι' ὅλων δὲ σπουδὴ τῷ δικαίῳ ἐστί, παιδεῦσαι τοὺς φίλους τὴν αἰτίαν τῶν ἐπιπόνων, ἵνα κερδήσῃ αὐτοὺς μὴ ἐναντία δοξάζειν. Σωτηρίαν γὰρ ταύτην ἐλογίζετο, τὸ τούτους γνῶναι τὸν περὶ τούτου τῆς προνοίας λόγον, ὃν φανερῶσαι βουλόμενος, ἔλεγε τό, «Ἐλέγξω»[4]· πολλάκις γὰρ ὁ ἔλεγχος τὴν ἀπόδειξιν σημαίνει. Τὸ οὖν ἀψευδὲς αὐτοῦ παραστῆσαι θέλων καὶ τὸ εὐλαβές, λέγει, ὅτι Ἃ λέγω, Θεοῦ ὁρῶντος φθέγγομαι. Οὐ γὰρ οἷόν τε ἀπάτην τινὰ γενέσθαι Θεῷ, ὡς δόλον εἰσελθεῖν ἐνώπιον αὐτοῦ.

Στ. κζ'. «Ἐφύλαξας δέ μου πάντα τὰ ἔργα»[5].

Διδύμου. Οἶδεν ὁ μακάριος τὸ ὑπὸ τοῦ Δαβὶδ εἰρημένον, ἅγιος ὤν, ὅτι ὁ Θεὸς οὐ παρατηρεῖται πάσας τὰς ἀνομίας τῶν πταιόντων· ἀλλὰ παιδεύων τοὺς φίλους πάλιν, δι' ἣν αἰτίαν πάσχει (ὅτι δι' ἀγῶνα), τὸ προκείμενον εἴρηκεν, ὡς τοῦ Θεοῦ πάντα αὐτοῦ τὰ ἔργα φυλάξαντος καὶ ἀκριβώσαντος καὶ οὕτως ἐπαγαγόντος αὐτῷ τὰ ἀνιαρά· ἵνα ἐκ τούτου ἐννοήσωσιν, ὅτι τὸ μέγεθος τῶν τοσούτων ἐπαγαγών, οὐ δι' ἁμαρτίας ἐστίν, ἀλλὰ δι' ἀγῶνα καὶ σκοπὸν ἀνδρείας.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'

Στ. γ'. «Οὐχὶ καὶ τούτου λόγον ἐποιήσω, καὶ τοῦτον ἐποίησας εἰσελθεῖν ἐν κρίματι ἐνώπιόν σου;»[6].

Διδύμου. Τάχα δὲ καὶ τὴν περὶ τὸν ἄνθρωπον πρόνοιαν ἐνταῦθα σαφηνίζει, οὐχ ὡς εἰκαίως καὶ ὡς ἔτυχεν ἐν τῷ βίῳ αὐτοῦ παραμένοντος, ἀλλ' ἐκ κρίσεως[1152]Θεοῦ ὑπερβαίνοντος τὸν παρ' αὐτοῦ τεταγμένον χρόνον. Ταῦτα δὲ οὐχ ὡς εἱμαρμένης κρατούσης λεκτέον,

---

1. Ἰὼβ 13,13-14. 2. Ἰὼβ 13,14. 3. Ἰὼβ 13,16. 4. Ἰὼβ 13,15. 5. Ἰὼβ 13,27. 6. Ἰὼβ 14,3.

ἀλλ' ὡς τοῦ θελήματος τοῦ Θεοῦ ὅροις καὶ μέτροις ἕκαστα διαταξαμένου.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'

Στ. ζ'. «Τί γάρ; μὴ πρῶτος ἀνθρώπων ἐγεννήθης;»[1] κ.τ.λ.

Διδύμου. Προβαλλόμενος τοίνυν ὁ Ἐλιφὰζ τὸ τῶν κριμάτων ἀνεξερεύνητον, ἐκ τούτου οἴεται περιτρέπειν τὸν δίκαιον εἰς τὸ οἴεσθαι, ὅτι μὴ δι' ἕτερον ἢ δι' ἁμαρτίας πάσχει, τούτῳ αὐτὸς ἐνεχόμενος. Οὐδὲ γὰρ αὐτὸς συνταγὴν Κυρίου ἦν ἀκηκοώς, ἢ ἀφικομένην εἶχε πρὸς αὐτὸν τὴν σοφίαν, ἵνα διάληψιν ἔχῃ περὶ τοῦ ἁγίου, ὡς δι' ἁμαρτίας πάσχοντος. Κοινοποιεῖ δὲ αὐτὸν τοῖς πᾶσιν ἀνθρώποις εἰκότως, ἅτε ἀγνοῶν αὐτοῦ τὸ μέγεθος τῆς ἀρετῆς, ἐκ τούτου ἀνατρέπων δῆθεν τὸ οἴεσθαι αὐτὸν δίκαιον.

Στ. ιβ'-ιγ'. «Τί ἐτόλμησεν ἡ καρδία σου, ἢ τί ἐπήνεγκαν οἱ ὀφθαλμοί σου; ὅτι θυμὸν ἔρρηξας ἔναντι Κυρίου, ἐξήγαγες δὲ ἐκ στόματος ῥήματα τοιαῦτα»[2].

Διδύμου. Θυμὸν γὰρ ἡγοῦντο τὴν ἐκ καθαρότητος ὑπερβαλλούσης παρρησίαν ὅπερ αὐτοῖς συνέβαινεν ἐκ τῆς σαθρᾶς αὐτῶν ἀρχῆς, ἧς αὐτοὶ ἑαυτοῖς ὑπέθεντο, βλασφημίαν ἡγούμενοι τὴν εὔλογον τῶν λόγων ἐλευθερίαν. Διό φησι, Τί τοσοῦτον ἐθρασύνω, ὅτι καὶ ἀντέβλεψας Θεῷ, καὶ ὡς ἀγαναχτῶν κατ' αὐτοῦ τοιαῦτα ἐφθέγξω ῥήματα;

Στ. ιδ'. «Τίς γὰρ ὢν βροτός, ὅτι ἔσται ἄμεμπτος; ἢ ὡς ἐσόμενος δίκαιος γεννητὸς γυναικός;»[3].

Διδύμου. Ἴδιον δὲ τῶν μὴ ἐχόντων ἀρετήν, τὸ δυσχερῆ λογίζεσθαι τὴν ταύτης ἀνάληψιν, καὶ διακεῖσθαι, ὡς μηδενὸς αὐτὴν ἔχοντος· καθὰ καὶ ὁ προκείμενος λέγει, σφαλλόμενος διὰ τὴν τοῦ σώματος, ὡς εἰκός, ἀσθένειαν. Τίς γάρ, φησίν, ἄνθρωπος ὤν, δύναται ἄμεμπτος εἶναι, ἢ ἐπαγγέλλεσθαι, ὅτι Δίκαιος ἔσομαι, ὡς σὺ σαυτὸν νομίζεις;

Στ. ιζ'-ιη'. «Ἀναγγελῶ δέ σοι, ἄκουέ μου· ἃ δὴ ἑώρακα ἀναγγελῶ σοι, ἃ σοφοὶ»[4] κ.τ.λ.

Διδύμου. Ἢ τάχα οὐ προθέσει ἀλαζονικῇ, ἀλλὰ τῷ νομίζειν αὐτὸν ἐν ἁμαρτίαις εἶναι, καὶ διὰ τοῦτο δεῖσθαι τῆς παρ' αὐτοῦ παραινέσεως. Καὶ ἔοικέ γε οὗτος, εἰ καὶ μὴ κατ' ἐπίγνωσιν θείαν,

---

1. Ἰὼβ 15,7. 2. Ἰὼβ 15,12-13. 3. Ἰὼβ 15,14. 4. Ἰὼβ 15,17-18.

ἀλλὰ τῷ θαυμάζειν τοὺς συνέσει ὑπερβάλλοντας, ὅμοιον λέγειν τῷ φάσκοντι ῥητῷ· «Τοῦ πιστοῦ ὅλος ὁ κόσμος τῶν χρημάτων, τοῦ δὲ ἀπίστου οὐδ' ὀβολός»[1]. Κἂν γὰρ πολυκτήμων ὑπάρχῃ ὁ ἄπιστος, οὐ δεσπότης ἀλλὰ δοῦλός ἐστι τῶν χρημάτων· τῷ γὰρ Μαμμωνᾷ δουλεύει. Τίς δὲ ὁ παλαιὸς λόγος, ὃν παρὰ τῶν ἀρχαίων φησὶ μεμαθηκέναι, ἐπάγει.

Στ. κη'. «Αὐλισθείη δὲ πόλεις ἐρήμους, εἰσέλθοι δὲ εἰς οἴκους ἀοικήτους· ἃ δὲ ἐκεῖνοι ἡτοίμασαν, ἄλλοι ἀποίσονται»[2].

Διδύμου. Τὴν παντελῆ ἐρημίαν τῶν ἀσεβῶν λέ**[1153]**γει, ὡς ἀντὶ πόλεων εὐθηνουμένων καὶ οἴκων, ἐρημίαν αὐτοὺς οἰκεῖν ὑπὸ πενίας. Ὁ τοιοῦτος γάρ, φησί, τῶν οἰκείων ἐκπεσών, καὶ πάσης τῆς προσούσης δυναστείας, τὰς ἐρήμους καταδιώξει· ἔθος δὲ τοῖς φεύγουσι, τοὺς τυχόντας τῶν τόπων πρὸς σωτηρίαν καταλαμβάνειν, ἐν οἷς γινόμενοι τὸν ἐν ποσὶ διαφεύγοιεν κίνδυνον. Οὐκοῦν ὁ ἀσεβὴς ἔσται ἐν τούτοις, τῆς ἐκ τοῦ πλούτου ἀλαζονείας ἀξίαν τὴν δίκην διδοὺς τῆς προσούσης εὐεξίας τὴν μεταβολήν, καὶ τὰ σὺν πολλῷ δὲ τῷ πόνῳ συλλεγέντα, εἰς ἀλλοτρίους μεταστήσεται. Εἶτα αὔξει τὴν κατὰ τοῦ ἀσεβοῦς τιμωρίαν, οὐ μόνον μὴ πλουτεῖν αὐτὸν ἀποφαινόμενος, ἀλλὰ καὶ τῶν ὑπαρχόντων ἐκπίπτειν διαβεβαιούμενος· ἐπάγει γάρ.

ΚΕΦΑΛΑΙΟΝ ΙΣΤ'

Στ. στ'. «Ἐὰν γὰρ λαλήσω, οὐκ ἀλγήσω τὸ τραῦμα; Ἐὰν δὲ καὶ σιωπήσω, τί ἔλαττον τρωθήσομαι;»[3].

Διδύμου. Τάχα καὶ τὴν γνησίαν αὐτοῦ περὶ τοὺς φίλους διάθεσιν ἐπιδείξασθαι θέλει· ὅτι Ἐμοὶ μέλει τῆς ὑμετέρας σωτηρίας· διὸ εἰ καὶ ἀλγῶ, χρῶμαι τῇ παραινέσει. Εἰ γὰρ καὶ ἄλλοι ἀλγοῦντες ἀρκοῦνται ταῖς καθ' ἑαυτοὺς ἀνίαις, ἀλλ' ἐμοί, φησίν, ἡ σωτηρία τῶν φίλων προκριτέα.

Στ. ιζ'. «Ἄδικον δὲ οὐδὲν ἦν ἐν χερσί μου, εὐχὴ δέ μου καθαρά»[4].

Διδύμου. Χείρονά μοι, φησί, τὴν ἀθυμίαν ἐμποιεῖ, καὶ μᾶλλόν με ἀνιᾷ, τὸ μηδὲν ἑαυτῷ συνειδέναι φαῦλον. Οὐ γὰρ γινώσκω τι, εἰ μὴ ὅτι ὀρθῷ λογισμῷ τὰς πρὸς Θεὸν ἐποιούμην ἱκεσίας· διὸ καὶ ξενίζομαι, ἐφ' οἷς ταῦτα ὑπομένω. Ἐπισήμηναι δέ, ὅτι καθαρὰ ἦν ἡ τοῦ δικαίου εὐχή, καὶ παντὸς πάθους ἀμιγής, μὴ ῥεμβασμοὺς ὑπομένουσα, μηδὲ ὑπὸ φροντίδων κατασπωμένη.

---

1. Παρμ. 17,6α. 2. Ἰὼβ 15,28. 3. Ἰὼβ 16,6. 4. Ἰὼβ 16,17.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'

Στ. γ'. «"Αρατέ με, ἐγὼ δὲ λαλήσω· εἶτ' οὐ καταγελάσετέ μου»[1].

Διδύμου. 'Αντὶ τοῦ, 'Ενέγκατέ μου τοὺς λόγους, βαστάσατέ με λέγοντα, λογιζόμενοι, ὅτι οὐχ ὑβριστικῶς χρῶμαι τῷ ἐλέγχῳ, ἀλλὰ πρὸς ἐπιστασίαν.

1. 'Ιὼβ 21,3.

ΕΚ ΤΩΝ ΔΙΔΥΜΟΥ

ΕΙΣ ΠΑΡΟΙΜΙΑΣ ΣΟΛΟΜΩΝΤΟΣ ΕΞΗΓΗΣΕΩΝ*

ΚΕΦΑΛΑΙΟΝ Α'

Παροιμία ἐστὶν οἷον, Γλυκὺς ἀπείρῳ πόλεμος, καί, Ῥανὶς ἐνδελεχοῦσα κοιλαίνει πέτραν.

Ἡ παροιμία εἴρηται· Ἐν ἀρχῇ γὰρ ἔτι τῶν τρίβων οὐσῶν ἀσήμων, τὰ νῦν προσαγορευόμενα μίλια παρὰ Ῥωμαίοις, τότε σημεῖα καλούμενα, οἱ παλαιοὶ κατά τινας τῆς ὁδοῦ τόπους ἐτίθεσαν, καὶ τούτοις ἐπέγραφόν τινα ζητήματα. Τοῦτο γὰρ ἐποίουν δυοῖν ἕνεκεν, τοῦ τε γνωρίζειν τὸν ὁδεύοντα τὸ ποσὸν τῆς ὁδοῦ, καὶ τοῦ, ἀναγινώσκοντα τὸ ἐπίγραμμα, καὶ περὶ τὴν τούτου σαφήνειαν γινόμενον, τοῦ καμάτου ἐπικουφίζεσθαι. Οἶμος γὰρ λέγεται ἡ ὁδός.

[1624] Στ. β'. Τὸ γνῶναι λόγους φρονήσεως[1], κυρίως ἐστὶ τῆς ἀρετῆς δηλονότι, ὥσπερ καὶ οἱ λοιποὶ ἑρμηνευταὶ σαφηνίζουσιν, ἐκδεδωκότες ὡς, οὐ φρονήσεως, ἀλλὰ συνέσεως λόγους. Ἢ λόγους φρονήσεώς φησι τοὺς σοφισματώδεις καὶ πανουργευμένους.

Στ. γ'. Ἐλέγχων ὁ λόγος τοὺς ἐπιμορφαζομένους τὴν δικαιοσύνην, καὶ λέγοντας ἔχειν αὐτὴν ὡς δεῖ, φησίν· Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε, εὐθείας κρίνατε, υἱοὶ τῶν ἀνθρώπων.

Στ. ς'. Ἀκούω τοῦ Θεοδοτίωνος ἑρμηνείαν, ἣν ἐξέδωκε καὶ Σύμμαχος, ὅτι πρόβλημα ἐκδεδώκασιν. Τί οὖν ἐστιν ὁ σκοτεινὸς λόγος; Ὁ συγκεχυμένος κατά τε λόγον καὶ διάνοιαν καὶ φράσιν, οἷον τὸ παρὰ τῷ προφήτῃ Ἡσαΐᾳ· «Οὐαὶ γῆς πλοίων, ἐπέκεινα ποταμῶν Αἰθιοπίας! Ὁ ἀποστέλλων ἐν θαλάσσῃ ὅμηρα, καὶ ἐπιστολὰς βιβλίνους ἐπάνω τοῦ ὕδατος»[2]. Οὐδὲν γὰρ τούτων οὔτε ἐν παραβολαῖς τὴν λέξιν σαφῆ ἔχει, οὔτε μὲν ἱστορίας διήγησιν φανεράν. Καὶ τοῦ μὲν αἰνίγματος ἔστι νοεῖν τὸ ῥητόν, τοῦ δὲ σκοτεινοῦ λόγου οὐδὲ τὸ ῥητόν. Σκοτεινὸς μὲν λόγος γενική ἐστι φωνή· ἡ δὲ παραβολή, ἰδική· σκοτεινὸς δέ, οὐ τὸν κατὰ στέρησιν φωτός, ἀλλὰ τὸν κεκρυμμένον, ὡς σκοτίζεσθαι τὸν ἀγνοοῦντα. Ῥήσεις δὲ τὰ καλλιεπῆ ἀποφθέγματα· αἴνιγμα δέ, λόγος μετ' ἐπικρύψεως σημαίνων τὸ ἀληθές· ὁποῖόν ἐστι τό, «Διάνοιξον, ὁ Λίβανος, τὰς πύλας σου, καὶ καταφαγείτω πῦρ τὰς κέδρους σου»[3].

Στ. ζ'. Ἀληθὴς γὰρ φόβος, ἡ κατὰ σεβασμὸν εὐλάβεια· σύνεσις δέ, ἀγαθή. Εἰς τόδε ὑποστικτέον. Οὐκ ἀρκεῖ γὰρ εἰς μακαριότητα τὸ εἰδῆ-

---

* Κατὰ τὴν ἔκδοσιν J.-P. Migne, Patrologiae Cursus Completus. Series Graeca τ. 39 σσ. 1621-1653.

1. Πρβλ. Παρμ. 1,2. 2. Ἡσ. 18,1-2. 3. Ζαχ. 11,1.

ναι τὸ ἀγαθόν, εἰ μὴ καὶ πράττοι τις αὐτό· εὐσέβεια δὲ εἰς Θεόν, ἀρχὴ συνέσεως.

Στ. η΄. Πατὴρ μὲν δικαίων, ὁ Θεός. Πᾶς γὰρ ὁ ποιῶν τὴν δικαιοσύνην ἐκ τοῦ Θεοῦ γεγένηται[1]. Μήτηρ δὲ ἡμῶν, ἡ Ἐκκλησία, ἧς νυμφίος ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός. Θεσμοὶ δέ, αἱ ἀποστολικαὶ διατάξεις.

Εἰ καὶ ἀναγωγὴν ἔχει τὰ προκείμενα, ἀλλ' ἐφαρμόζονται καὶ τοῖς κατὰ φύσιν γονεῦσιν, ὅταν θεοσεβεῖς ὄντες ἀνατρέφωσι τὰ τέκνα. Ὄντος δὲ ἀνδρὸς τοῦ διδασκάλου, τοῦ γεννήσαντος διὰ τοῦ Εὐαγγελίου[2] τοὺς παιδευομένους, σύζυγος τούτῳ καὶ μήτηρ τῶν τεχθέντων ἐστὶν ἡ Ἐκκλησία, μᾶλλον δὲ ἡ ἐκκλησιαστικὴ γνώμη καὶ πολιτεία. Ἦν τοίνυν ἐμοῦ, φησί, τοῦ παροιμιαστοῦ, νῦν ὡς καθηγητοῦ καὶ πατρός, νῦν δὲ σοφίας καὶ ἀρετῆς ἀντὶ μητρὸς κατακούσῃς, στεφθήσῃ χαρίτων στεφάνῳ, καὶ τὸν τράχηλον κοσμηθήσῃ κλοιῷ[3], ἐκ νοητοῦ χρυσοῦ καὶ κόσμου κατεσκευασμένῳ. Ὕλη γὰρ στεφάνου ὃν ἀναδεῖται ἡ τοῦ ἔσω ἀνθρώπου κεφαλή, ἡ τῶν ἀρετῶν περιοχή, χάριτες ὀνομαζόμεναι τυγχάνουσι. Συμφώνως τῷ στεφάνῳ, νοητῷ ὄντι, ἐκληπτέον καὶ τὸν χρυσοῦν κλοιὸν ἐπιβαλλόμενον τῷ τῆς ψυχῆς τραχήλῳ, τουτέστι τῷ ὑποτακτικῷ αὐτῆς.

Στ. θ΄. Κορυφὴν δὲ καὶ τράχηλον λέγει τὸν νοῦν· κλοιὸν δὲ χρύσεον[4], τὴν γνῶσιν καὶ τὸν νοητὸν τῆς ψυχῆς κόσμον· ἢ κλοιὸς χρύσεος, ἡ ὑποταγὴ τοῦ Θεοῦ, καὶ ἡ τῶν θείων λογίων περιοχή.

[1625] Στ. ι΄. Καὶ τὸ σὺν ἄλλοις μὲν ἁμαρτάνειν κόλασιν ἐπιφέρει· ἄνδρες γε μὴν ἀσεβεῖς[5], οἱ ἐν κακίᾳ τέλειοι.

Στ. ια΄. Κρύπτουσιν εἰς γῆν[6], οὓς ἂν πείσωσι τὰ ἐπίγεια φρονεῖν· ἄνδρα δὲ δίκαιον[7] νοήσεις τὸν οὐράνιον ἔχοντα φρόνημα. Δύναται δὲ ταῦτα νοεῖσθαι καὶ εἰς Χριστόν, καὶ εἰς τὸν τῶν Ἰουδαίων λαόν.

Τὸ ἱκανὸν ἡ Γραφὴ δηλοῖ διὰ τοῦ καταπιεῖν, ὡς ἐν τῷ· Ἵνα μὴ «τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ τοιοῦτος»[8]. Φασὶν οὖν, ὅτι Τὸν οὐράνιον ἔχοντα φρόνημα καθελόντες καὶ νικήσαντες ,εἰς ἑαυτοὺς μεταστήσωμεν, ὥστε τὰ ἐπίγεια φρονεῖν. Ζῶν δὲ καταπίεται[9] ὁ δόξαν ἔχων ὀρθὴν περὶ τῶν πρακτέων, καὶ ταύτην ἀποβαλών.

ΚΕΦΑΛΑΙΟΝ Β΄

Στ. ια΄. Βουλὴν δὲ λέγει τὴν προαίρεσιν, καθ' ἣν αἱρούμεθα τὰ πρακτέα ποιεῖν, ἢ καὶ μή· ἔννοιαν δὲ τὴν περὶ τὰ θεωρητά, ὥστε καταλιμπάνειν αὐτά, καὶ Θεῷ προσοικειοῦσθαι, τὰς ἐντολὰς αὐτοῦ ὅση δύναμις φυλάττεσθαι[10].

---

1. Πρβλ. Α΄ Ἰω. 2,29. 2. Πρβλ. Α΄ Κορ. 4,15. 3. Πρβλ. Παρμ. 1,9. 4. Πρβλ. Παρμ. 1,9. 5. Πρβλ. Παρμ. 1,10. 6. Πρβλ. Παρμ. 1,11. 7. Ἔνθ' ἀν. 8. Β΄ Κορ. 2,7. 9. Πρβλ. Παρμ. 1,12. 10. Πρβλ. Παρμ. 2,11.

ΚΕΦΑΛΑΙΟΝ Γ′

Στ. γ′. Ἐν ἕξει τὰς ἀρετὰς ἔχων, μὴ ἐπιπολαίως καταρραθυμῶν αὐτῶν, οὗτος ἔχει αὐτὰς γεγραμμένας ἐπὶ πλακὸς τῆς ἑαυτοῦ καρδίας[1], ἐπὶ τοῦ βάθους δηλαδὴ τῆς ἑαυτοῦ ψυχῆς, ἤτοι τῆς διηνεκοῦς ἐπιθυμήσεως, ἵνα ὁ ἐξ ἐναντίας μὴ παρατρέπῃ σε.

Στ. η′. Σῶμα τὸ ἄθροισμα τῶν δυνάμεων τῆς ψυχῆς λέγω· ὀστᾶ, αἱ στερεαὶ δυνάμεις αὐτῆς[2]· πάντα γὰρ τὰ ὀστᾶ ἡμῶν ἐροῦσι· Κύριε, Κύριε.

Στ. ις′. Δεξιὰ αὐτῆς, ἡ τῶν θείων ἐπιστήμη, ἐξ ὧν ἡ αἰώνιος ζωή· ἀριστερὰ δέ, ἡ τῶν ἀνθρωπίνων γνῶσις[3].

Στ. ιη′. Ἐνταῦθα πάλιν ξύλον ζωῆς[4] τὸν σταυρὸν ὀνομάζει. Τοῖς γὰρ εἰλικρινῶς ἐξηρτημένοις ἐν τῷ Χριστῷ ἡ διάφορος ἐκ τοῦ ξύλου ἀποστάζει ζωή· τοῖς δὲ ἐπερειδομένοις ταῖς κρηπῖσιν αὐτοῦ βεβαίωσις ὀχυρὰ πέπηγεν ἀκλινῶς, οἷα δὲ καὶ ἐπὶ Κύριον ἀσφαλῶς ἱδρυμένοις.— Εἰ δὲ ξύλον ζωῆς[5], ἡ σοφία τοῦ Θεοῦ· δικαίως κεκώλυται μεταλαβεῖν αὐτῆς ὁ Ἀδάμ. Εἰς γὰρ κακότεχνον ψυχὴν σοφία οὐκ εἰσελεύσεται· ἐπείπερ ἀπὸ καρπῶν δικαιοσύνης φύεται δένδρον ζωῆς. Μὴ εὐρηκὼς δέ τινι ὁμοιώσει τὸν ἐλπίζοντα ἐπὶ Κύριον, εἰς ἑαυτὸν μεταστρέφει τὸν λόγον, λέγων ὡς ἐπὶ Κύριον· Ὁ γὰρ ἐπερειδόμενος ἐπ᾽ αὐτῇ, ἅτε δὴ εἰς Θεὸν ἐλπίζων, ἐστὶν ἀσφαλής[6].

Στ. κ′. Ἁρμόττει τοῦτο καὶ νῦν τῷ Υἱῷ τοῦ Θεοῦ, σοφίᾳ καὶ φρονήσει ὄντι Θεοῦ. Ἀλλὰ καὶ ἡ ψυχὴ ἡ πιστὴ γῆ ἐστιν, ἑκατονταπλασίονα καρποφοροῦσα[7]· αὕτη δὲ ἐκ τῆς πιότητος τῆς σοφίας γίνεται σοφή, θεμελιοῦντος αὐτὴν ἐπ᾽ αὐτῇ τοῦ Θεοῦ καὶ Πατρός. Ἑδράζει γὰρ αὐτῇ τὴν εἰσαγωγὴν τῆς διδασκαλίας, πῆξιν ἀπὸ σοφίας ποιούμενος ἐν αὐτῇ, καὶ ἀεὶ προκόπτουσαν αὐτὴν ἀποδεικνύς· οὐρανὸν δὲ ἐργάζεται καθαρώτατον κτίσμα, ἀγγέλων καὶ τῶν νοερῶν οὐσιῶν οἰκητήριον. Λαβοῦσα δὲ αἴσθησιν τοῦ ὄντος, καὶ κατανοοῦσα τὴν τῶν πραγμάτων ἀκρίβειαν, οἷον τὸ πο[1628]λύβυθον τῶν τοῦ Θεοῦ κριμάτων, νέφη ταῦτα προσεῖπεν· ἢ νέφη τοὺς προφήτας ἐκάλεσε, δρόσον τὴν διδασκαλίαν.

Μὴ ἐκτὸς γένῃ τοῦ ποτίμου τῆς ζωῆς ὕδατος. Βουλὴν δὲ λέγει τὴν περὶ πρακτέα κίνησιν· ἔννοιαν, τὴν περὶ τὰ θεωρητικά· τράχηλον τὴν αὐτὴν ψυχὴν εἶπε, τὴν βαστάσασαν τὸν ζυγὸν τοῦ Κυρίου. Ὥσπερ δὲ ὁ τράχηλος τοὺς στηθοδέσμους περίκειται, οὕτως ἡ ψυχὴ τὰ τοῦ Θεοῦ γέρα κομιεῖται ἐν τῇ βασιλείᾳ, ὡς καὶ ἐν τῇδε τὰς ἐντολὰς αὐτοῦ.

Τῶν ἀσεβῶν καὶ τὰ ἐπίδοξα κεκατήραται· τῶν δὲ δικαίων καὶ τὰ εὐτελέστερα ηὐλόγηται. Οἶκον δὲ λέγει τῆς λογικῆς ψυχῆς τὰς δυνάμεις· ἐπαύλεις δέ, τὰς τοῦ θυμικοῦ καὶ τοῦ ἐπιθυμητικοῦ· ἐν αὐταῖς γὰρ τὰ ἄλογα διατρίβουσι πάθη.

---

1. Πρβλ. Β′ Κορ. 3,3. 2. Πρβλ. Παρμ. 3,8. 3. Πρβλ. Παρμ. 3,16. 4. Παρμ. 3,18. 5. Αὐτόθι. 6. Πρβλ. Παρμ. 3,18. 7. Πρβλ. Λουκ. 8,8.

ΚΕΦΑΛΑΙΟΝ Δ′

Στ. η′. Τιμὴ σοφίας, ἡ τήρησις τῶν ἐντολῶν· σοφία δὲ ὁ Χριστός[1], οὗ νύμφη ἡ διὰ τῶν ἀρετῶν τιμῶσα αὐτὸν ψυχή, ἥτις ὑπ' αὐτοῦ περιληφθήσεται[2].

Στ. κα′. Καθάπερ νηπίῳ τινὶ παιδίῳ ἔπαθλα ἀεὶ ταῖς προσοχαῖς τίθησι, καὶ διεγείρει ἔξω που διεπτοημένον. Πηγαὶ δὲ ζωῆς, αἱ ἀρεταί, ἀφ' ὧν τὸ ζῶν ὕδωρ[3], ἡ γνῶσις ἡ τοῦ Χριστοῦ. Τῷ κατὰ σοφίαν προκόπτοντι, πολλαὶ πηγαί, καὶ οὐ μία γίνεται· ἀλλὰ κατὰ τὸ πλῆθος τῶν ἀρετῶν. Τοῖς τὰς παραινέσεις, φησί, φυλάττουσι ταύτας, ζωὴ γίνονται[4]· αὗται τὸ ἆθλον.

Στ. κς′. Τὴν κατὰ τὸν βίον πορείαν ὀρθῶς βάδιζε, φησί. Πόδες εἰσὶ τῆς ψυχῆς αἱ μεταβατικαὶ ταύτης ὁρμαί· μεσότης γάρ ἐστιν ἡ ἀρετή[5].

ΚΕΦΑΛΑΙΟΝ Ε′

Στ. β′. Μὴ πρόσεχε ἀπατηλῇ διδασκαλίᾳ[6], διὰ τῆς χρηστολογίας δελεαζούσῃ, τουτέστιν αἱρέσει, καὶ τῇ εἰδωλολατρίᾳ, καὶ ματαίοις ῥήμασι.

Στ. γ′. Μέχρι τῆς ἀκοῆς, αὐτῶν τὸ καλόν. Τοιαύτη γὰρ ἡ ἀπάτη· τὸ μὲν ὀλέθριον κρύπτειν εἴωθε, προβάλλεται δὲ τὸ ἡδύ, ὥστε ἐλεῖν· ἦ γὰρ ἂν εὐθέως ἀπεπήδησαν. Ὁ δὲ Θεὸς οὐχ οὕτως· ἀλλὰ τὸ ἡδὺ ἀποκρύπτει, τὸ δὲ ἐπίπονον προτίθησι· Καὶ οὐκ εἶπεν, Ἀπορρεῖ, ἀλλά, Ἀποστάζει[7] ὡς μὴ προσκορῆ γενέσθαι τὴν πικρίαν, ὕστερον μέντοι πικρότερον χολῆς[8] οὐχ ὅσον τὸ ἡδύ, τοσοῦτον τὸ πικρόν· ἀλλὰ πολλῷ πλέον.

Στ. η′. Ὁδὸν εἶπεν ἐνταῦθα τὸν ἐπὶ τὴν ἀρετὴν ὁδεύοντα νοῦν· ἢ τάχα τὴν ἀρετὴν προστάσσει χωρίζειν ἡμᾶς ἀπὸ κακίας[9].

Στ. ια′. Τουτέστιν ἐν γήρᾳ· ἢ διὰ τοῦ κατατριβῆναι τὰς σάρκας[10], τὴν ἀκολασίαν δηλοῖ φθοράν τινα οὖσαν.

Στ. ιβ′, ιδ′. Εἰσάγει τὸν διαφθαρέντα κακίζοντα ἑαυτόν, ὡς μισήσαντα παιδείαν[11], καί φησιν· Ἀπολοίμην ἂν καὶ διεφθάρην, κατατρίψας τὰς σάρκας μου[12] ἐν ἀσωτίαις, καὶ τὴν ζωὴν αὐτὴν μικροῦ δεῖν προηκάμην. Διὸ φανερὸν ἐγένετο τὸ ἐπιτίμιόν μου ἐν μέσῳ Ἐκκλησίας καὶ Συναγωγῆς. Μετανενοηκότος γὰρ ἡ φωνή, καὶ μὴ γεγονότος ἐν ᾧ παρ' ὀλίγον γεγένηται[13]. Ὅμοιον καὶ τό, «Παρ' ὀλίγον ἐξεχύθη τὰ διαβή[1629]ματά μου»[14]. Ἀνανήψας γὰρ καὶ αἰσθηθείς, Ποῦ ἔστι, λέγει, τὸ παρὰ μικρόν; Πῶς οὖν ἔνι τὴν ἐκ τῆς φύσεως μανίαν παραμυθήσασθαι;

---

1. Πρβλ. Α′ Κορ. 1,24,30. 2. Πρβλ. Παρμ. 4,8. 3. Πρβλ. Ἰω. 4,10. 4. Πρβλ. Παρμ. 4,21-22. 5. Πρβλ. Παρμ. 4,26. 6. Πρβλ. Ἐφ. 4,14. Κολ. 2,8. 7. Παρμ. 5,3. 8. Παρμ. 5,4. 9. Πρβλ. Παρμ. 5,8. 10. Πρβλ. Παρμ. 5,11. 11. Πρβλ. Παρμ. 5,12. 12. Πρβλ. Παρμ. 5,11. 13. Πρβλ. Παρμ. 5,14. 14. Ψαλ. 72,2.

Στ. ιε′. Ἡ γνῶσις καὶ φρέαρ ἐστί, καὶ πηγή[1]· τοῖς μὲν προσερχομένοις ταῖς ἀρεταῖς φρέαρ ἔστι· τοῖς δὲ κατ᾽ αὐτὰς τελειωθεῖσι, πηγή. Λέγεται δὲ ἡ γνῶσις καὶ μήτηρ, καὶ γυνή, καὶ ἀδελφή· μήτηρ, ὅτι δι᾽ αὐτῆς ὑπὸ τοῦ διδασκάλου γεγεννήμεθα· γυνή, ὅτι συνοῦσα τίκτει ἀρετὰς καὶ ὀρθὰ δόγματα· ἀδελφή, ὅτι ἐξ ἑνὸς Θεοῦ γεγόναμεν. Καὶ εἶπα τὴν σοφίαν ἀδελφήν.

Στ. ις′, ιζ′. Ὅρα ὡς οὐ μόνον τῇ ἀφθονίᾳ τὴν εὐκολίαν ἐνδείκνυται, ἀλλὰ καὶ τῷ μηδένα κοινωνὸν ἔχειν τῆς ἀπολαύσεως· διπλασιάζει δὲ αὐτὸ καὶ κτῆσιν ἀποκαλεῖ· οἶδε γὰρ τὴν τοῦ πράγματος ἡδονήν.

ΚΕΦΑΛΑΙΟΝ ΣΤ′

Στ. η′. Κἂν τὴν φυσικὴν τῶν ἀλόγων ἐργασίαν μίμησαι· ἢ «ἴσθι», τουτέστι «πορεύου». Πολλοὶ γὰρ ἀγαθοεργοῦσιν ἀπὸ θεωρίας ἢ ἀκοῆς, καὶ οὐκ ἐξ ἐπιστήμης. Μελίσσας[2] λέγει προφήτας καὶ ἀποστόλους, ὧν οἱ πόνοι χρήσιμοι τοῖς τε μεγάλοις τὴν ἕξιν καὶ τοῖς βραχέσι· κηρὸν μὲν οὖν λέγει τὰ πράγματα· μέλι δέ, τὴν τούτων θεωρίαν. Ὥσπερ ὁδηγεῖ τὰς αἶγας ὁ κτῖλος, οὕτως ὁ ἐσσὴν τὰς μελίσσας. Καλὸν οὖν παρὰ πάντα τὸν βίον ἡ τάξις.

Στ. ιβ′. Ἄφρων ὁ ἄθεος[3], ὁ τὸ θεωρητικὸν ἀπολέσας· παράνομος δέ, ὁ τὸ πρακτικόν.

ΚΕΦΑΛΑΙΟΝ Ζ′

Στ. α′. Κατὰ κοινοῦ φύλαξον[4], ἵν᾽ ᾖ σοι, φησί, καὶ βιῶναι ζωὴν αἰώνιον[5], καὶ διορατικῷ γενέσθαι. Πολλῷ γὰρ τοῦ τῶν ὀμμάτων φωτὸς λαμπρότερον αἱ τῶν θείων ἐντολῶν τηρήσεις ἡμῖν ἀναλάμπουσιν.

Στ. γ′. Χείρ, ἡ ὁλοσχερὴς πρᾶξις· δάκτυλος δέ[6], ἡ μερικωτέρα. Πειθόμενος δέ μοι πλατεῖαν ἕξεις τὴν καρδίαν εἰς ὑποδοχὴν τῶν ἀρετῶν.

Στ. ιθ′. Συνοικεῖν ἀνδρὶ προσποιεῖται, ὡς κατὰ νόμον βιοῦσα· καὶ ἀναιρεῖ πάντα τὰ φοβερὰ καὶ κωλυτικά, τὴν ἀποδημίαν προβαλλομένη τοῦ συνοικοῦντος[7].

Στ. κζ′. Ὁ γὰρ οἶκος αὐτῆς ὁδοὶ ᾅδου, εἰς ταμεῖα θανάτου κατάγουσαι[8]. Οἱ γὰρ πειθόμενοι αὐτῇ, χοϊκοὶ γινόμενοι παρ᾽ αὐτῆς καὶ γήινοι, οὕτως ἀπολοῦνται. Τὸ δέ, «Ἐπὶ πέταυρον ᾅδου»[9], οἱ λοιποὶ ἐν βάθεσιν εἶπον.

ΚΕΦΑΛΑΙΟΝ Η′

Στ. κβ′. Πολλὰ σημαίνουσα, καθάπερ εἴπομεν, ἡ ἀρχή, νῦν τὸ

---

1. Πρβλ. Παρμ. 5,15. 2. Πρβλ. Παρμ. 6,8α. 3. Πρβλ. Ψαλ. 52,2. 4. Πρβλ. Παρμ. 7,1. 5. Πρβλ. Ἰω. 3,36. 6. Πρβλ. Παρμ. 7,3. 7. Πρβλ. Παρμ. 7,19. 8. Πρβλ. Παρμ. 7,27. 9. Παρμ. 9,18.

ἀΐδιον δηλοῖ, καὶ τὸ αἴτιον, καὶ τὸ ποιητικόν. Ἡ δὲ ἀρχὴ τινῶν ἐστιν ἀρχή, καὶ σημαίνει σχέσιν, ἀλλ' οὐκ οὐσίωσιν. Τὰ γὰρ πρός τι, τοιαῦτα· ὡς τὸ δεξιὸν καὶ ἀριστερόν. Οὐσία τοίνυν οὖσα ἡ τοῦ Θεοῦ σοφία, οὐκ ἀρχὴ τινῶν ἐστι· καὶ πρὸ κτίσεως γὰρ ἔχει τὸ εἶναι σοφία. Ἡνίκα δὲ σχέσιν τὴν πρὸς τὰ γενητὰ δέξεται, τότε ἀρχὴ γίνεται τῶν ὁδῶν τοῦ Θεοῦ ποιητικῶν καὶ προνοητικῶν, εἰς τὰ ἔργα ἃ **[1632]** τὴν ὕπαρξιν ἐκ τοῦ Δημιουργοῦ ἔχει μηδὲν αὐτῇ συνενεγκόντα πρὸς τὸ εἶναι σοφίαν· ἀλλ' ἡ σχέσις καθ' ἣν ἀρχὴ καὶ δημιουργὸς λέγεται, τότε ὑπέστη, ὅτε καὶ τὰ γενόμενα. Ἀρχὴ γὰρ οὐ προϋπάρχει ὧν ἔστιν ἀρχή· οὔτε ταῦτα μετ' ἐκείνην ὑπάρχειν λέγεται, εἰ τὴν οὐσίαν ἔχουσιν ἐν χρόνῳ τὰ κτίσματα. Οὖσα γὰρ ἀΐδιος ἡ σοφία οὐχ ὑπόκειται χρόνῳ. Σύζυγος οὖν ἡ ἀρχὴ τοῖς κτίσμασι. Προϋπάρχων τῆς κτίσεως, σοφία ὤν, ὁ Υἱὸς τοῦ Θεοῦ, ἐὰν λέγῃ· «Κύριος ἔκτισέ με»[1], μὴ οὐσίωσιν τὴν νόησιν ἔχῃ, ἀλλ' εἰς σχέσιν, τὴν πρὸς τὰ κτίσματα. Εἰς ἔργα γὰρ ἐκτίσθαι φησίν, ἐπὶ τῷ ἀρχὴ εἶναι τῶν ποιητικῶν καὶ προνοητικῶν ὁδῶν τοῦ Θεοῦ, τουτέστιν αἰτία, εἰσαγωγικῶς γε μὴν ἔτι εἰπεῖν. Ὁ Υἱὸς τοῦ Θεοῦ ἄνθρωπος γέγονεν, ἀναλαβὼν τὴν τοῦ δούλου μορφήν[2]· καὶ πρὸ αἰώνων ὢν καὶ ἀΐδιος, καθ' ὃ Θεὸς Λόγος ἐστίν, ἐκτίσθαι λέγεται ὅτι γέννησιν τὴν ἐκ Μαρίας ἔσχε, γενόμενος σάρξ[3]· ὡς ἂν οἱ θέλοντες κατὰ Θεὸν ὁδεύειν καὶ πρὸς Θεόν, χρῶνται διδασκάλῳ, ὑπογραμμὸν ἀρίστου βίου[4] καὶ διδασκαλίαν τοῖς ἑπομένοις παρέχοντα. Ὅτι δὲ τό, «ἔκτισεν» οὐ δηλοῖ πάντως οὐσίωσιν, δηλοῖ λέγων ὁ Δαβίδ· «Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός»[5]. Αἰτεῖ γὰρ οὐχ ὡς μὴ ἔχων, λαβεῖν, ἀλλ' ὡς ῥιπώσας αὐτήν, ἀναλαβεῖν αὖθις κεκαθαρμένην. Καὶ Παῦλος δὲ λέγων τοὺς δύο κτίζεσθαι εἰς ἕνα καινὸν ἄνθρωπον[6], οὐκ οὐσίωσιν ἀνθρώπων, ἀλλ' ἕνωσιν ἐξ ὁμονοίας δηλοῖ· ὥσπερ οἱ ἑρμηνεύσαντες «Ἐκτίσατό με» ἐξέδωκαν.

Στ. κγ'. Ἀντὶ τοῦ, Κατέβαλεν αἰτίαν τε καὶ κρηπῖδα τῶν κτισμάτων· κατὰ τό, «Πάντα ἐν αὐτῷ συνέστηκε, καὶ αὐτός ἐστι πρὸ πάντων»[7]. Καὶ αὐτὸς δέ φησιν ὁ Κύριος· «Ἐγώ εἰμι ἡ ἀρχὴ τῆς κτίσεως τοῦ Θεοῦ»[8]. Ὡς γὰρ θεμέλιος βουλόμενος εἶναι τῆς Ἐκκλησίας, ἄνθρωπος ὑπέμεινε γενέσθαι, ἵν' ἐπ' αὐτῷ ἱδρυνθῇ μὴ σαλευομένη· οὕτω καὶ τῇ κτίσει παρασχεῖν τὸ εἶναι βουλόμενος, κατ' αὐτὴν γέγονεν, τὴν προειρημένην σχέσιν εἰσάγων, γινόμενος τοῖς ἐσομένοις ἀρχὴ καὶ αἰτία· ἀλλ' εἰ καὶ κατὰ ταῦτα, φησίν, ἐκτίσθην, ἀλλὰ πρὸ πάντων γεννᾷ με Θεός[9], ὅπερ ἐστὶν Υἱόν.

Στ. κζ'. Θρόνον τὴν ἑαυτοῦ βασιλείαν, ἀνέμους δὲ τὰ νοερὰ πνεύματα λέγει· ἢ καθὼς καὶ Δαυίδ· «Ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων»[10]· τὸ κουφότερον αὐτοῦ τῆς οὐσίας καὶ ἀσώματον παραστῆσαι βουλόμενος.

---

1. Παρμ. 8,22. 2. Πρβλ. Φιλιπ. 2,7. 3. Πρβλ. Ἰω. 1,14. 4. Πρβλ. Α' Πέτρ. 2,21. 5. Ψαλ. 50,12. 6. Πρβλ. Ἐφ. 2,15. 7. Κολ. 1,17. 8. Πρβλ. Ἰω. 1,1. Ἀποκ. 3,14. 9. Πρβλ. Παρμ. 8,25. 10. Ψαλ. 103,3.

Στ. κθ′. Ὅρα διαιρουμένους τὰ ἔργα, τὴν σοφίαν καὶ τὸν Θεόν. Ὁ μὲν ἐποίει, φησίν, ἐγὼ δὲ ἥρμοζον. Ἰσχυρὰ δέ, πῶς; Οὐ δεόμενά τινος ὑποβάθρας· βουλήσει γὰρ μόνη κατέχεται τοῦ Θεοῦ.

Στ. λε′. Ἢ ὅτι ἅμα τῷ φανῆναι παρέχω ζωήν, ἢ ὅτι ἀποκαλύψει τινὶ συγκαταβαίνων πρὸς τὴν ἐκεί**[1633]**νου ἀσθένειαν, τότε ἐξέρχεται· ζωὴ γὰρ ὤν[1], καὶ ἔξω γενόμενος τοῖς δυναμένοις ἰδεῖν αὐτόν, ζωὴν δίδωσι· θέλησιν δὲ[2] ἢ ἀγάπην φησίν, ἢ ὅτι ἐποίησεν ἡμᾶς αὐτεξουσίους εἰς τὸ ἑτοίμους εἶναι πράττειν ἃ δεῖ.

ΚΕΦΑΛΑΙΟΝ Θ′

Στ. β′. Ἐκκλινάτω, ἵνα φρόνησιν λάβῃ· ῥώννυται γὰρ ὁ ἀτελὴς ὑπὸ τῶν τῆς σοφίας λόγων καὶ μυστηρίων.

Στ. ε′. Ἡ αὐτὴ τροφὴ καὶ κρέα ὀνομάζεται καὶ ἄρτος καὶ γάλα καὶ οἶνος[3]. Πλὴν οἱ ἄφρονες ὡς ἄρτου αὐτῶν μεταλαμβάνειν λέγονται καὶ ὡς οἴνου κεκερασμένου· εἰ δὲ τοῦτο, πῶς νοήσομεν· «Ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος»[4]; Ἄρτον δέ μοι νόει τὰς στερεὰς ἐντολὰς τοῦ Θεοῦ, καὶ οἶνον, τὴν ἐκ μελέτης τῶν θείων Γραφῶν ἐπίγνωσιν αὐτοῦ· ὡσαύτως δὲ καὶ τὸ θεῖον σῶμα καὶ τίμιον αἷμα αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ Ι′

Στ. ε′. Ἀκούει ὁ φυσικὸς νοήμων «Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα»[5]. Τὰς βιωτικὰς φροντίδας καῦμα καλεῖ· τοὺς ὑπ' αὐτοῦ δὲ ξηραινομένους καλεῖ χόρτον· ὁ δὲ Σωτὴρ διὰ τῆς παραβολῆς[6] τὰς θλίψεις δηλοῖ· τὰς κατὰ τοῦ λόγου δὲ καὶ τοὺς διωγμοὺς ἐκάλεσε καῦμα.

Στ. ιγ′. Ὁ σοφὸς ἐπιτιμητικῷ λόγῳ εἰς αἴσθησιν ἄγει τὸν βαρυκάρδιον[7].

ΚΕΦΑΛΑΙΟΝ ΙΑ′

Στ. ζ′. Ὁρᾷς ὅτι οὐ τὸ ἐπιθυμεῖν πονηρόν, ἀλλὰ τὸ τοιῶσδε ἐπιθυμεῖν, πονηρόν; Τῶν δὲ ἀσεβῶν καὶ ἐλπίδες πονηραί· πᾶν γὰρ ὃ ἐλπίσει, ἀπώλεια[8].

Στ. η′. Τό, «Ἀντ' αὐτοῦ»[9], οὐχ ὡς ὑποκειμένου τοῦ εὐσεβοῦς τῇ δίκῃ, ἀλλ' ἐπειδὴ ἡ παγὶς ἔστηκεν ἀπὸ τοῦ πονηροῦ κατὰ τοῦ δικαίου ὁ μὲν εὐσεβὴς ῥύεται ἐξ αὐτῆς παρὰ τοῦ Θεοῦ, ὁ δὲ ἀσεβὴς ἐγκαταλειφθεὶς παρὰ τῆς θείας προνοίας πίπτει ἐν αὐτῇ· ἢ ὅτι ἐπειδὴ ὁ δίκαιος ὑπόκειταί τισιν ὡς ἄνθρωπος ἁμαρτίαις, ἐλθὼν δὲ ὁ ἀσεβὴς καὶ κακοποιήσας τὸν δίκαιον, τῶν μὲν ἁμαρτιῶν καὶ τῶν μελλουσῶν κολάσεων

1. Πρβλ. Ἰω. 14,6. 2. Πρβλ. Παρμ. 8,35. 3. Πρβλ. Παρμ. 9,5. 4. Ψαλ. 77,25. 5. Ψαλ. 120,6. 6. Πρβλ. Ματθ. 13,3-22. 7. Πρβλ. Παρμ. 10,13. 8. Πρβλ. Παρμ. 11,7. 9. Παρμ. 11,8.

ἐρρύσατο αὐτόν, εἰς ἑαυτὸν δὲ τὰς τιμωρίας ὑπεδέξατο, παραδίδοται δὲ οὐχ ὑπό τινος ἄλλου, ἀλλ' ὑπὸ τῆς ἰδίας κακίας, ὡς προπαραδοὺς ἑαυτὸν εἰς ἀδόκιμον νοῦν[1].

Στ. κδ'. Οἱ συνάγοντες φθορὰν ἐλαττοῦνται τῶν ἀρετῶν[2]· ἢ οἱ λόγους συνάγοντες, καὶ μὴ μεταδιδόντες.

Στ. κθ'. Ὁ ἐφ' ἑκάστῳ τῶν ἐλαττωμάτων τοῦ ἰδίου οἴκου δυσχεραίνων, ἄοικος ἔσται· δουλεύσει δὲ ἄφρων φρονίμῳ[3].

Στ. λα'. Ἀσεβὴς τοίνυν, φησίν, ὁ τὸν Θεὸν μισῶν· ἁμαρτωλὸς δέ, ὁ περὶ τὰς πράξεις πονηρός· δίκαιον δὲ ἐνταῦθα τὸν πρακτικὸν μετὰ λόγου καὶ ἐπιστήμης λέγει[4]· πολλὴ γάρ ἐστιν ἡ τῆς δικαιοσύνης ἀκρίβεια.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'

[1636] Στ. β'. Τὸ κρεῖσσον, οὐ συγκριτικόν, ἀλλ' ἀντὶ τοῦ ἀγαθοῦ.

Στ. θ'. Ὁ πρακτικὸς καὶ ἰδιώτης, τοῦ ἐν λόγῳ καὶ κομψοῦ καὶ ἀπράκτου, τιμιώτερος.

Στ. ιβ'. Αἱ ῥίζαι τῶν δικαίων[5] οὐκ ἐξαρθήσονται, τουτέστιν αἱ ἀγαθαὶ ἕξεις.

Στ. ιζ'. Ὃ ἐὰν λέγῃ, φησί, πιστοῦται τοῖς ἔργοις· καὶ εἰ ἔργου ἐστὶ πιστότερον· ἢ ἀντὶ τοῦ, φανεράν, βεβασανισμένην, ἀνέλεγκτον, ἱκανὴν αὐτὴν ἐπιδεῖξαι· ἀδίκων δὲ μάρτυς[6], ὁ συνιστᾶν ἐπιχειρῶν ἃ ἂν ἄδικα πράττῃ· δόλιος δέ, ὡς οὐδὲν ἔχων εὐθές.

Στ. κε'. Ὁ μὲν τῶν κολάσεων λόγος ταράσσει τὸν ἄρτι φοιτῶντα τῷ πρακτικῷ βίῳ· εὐφραίνει δὲ ὁ τῶν ἐπαγγελιῶν. Ὁ γὰρ τέλειος δίκαιος οὐ φοβηθήσεται ἀπὸ ἀκοῆς πονηρᾶς[7], φόβον ἔχων Κυρίου τὸν ὑπεραίροντα πάντα.

Στ. κς'. Ὁ μὲν δίκαιος, εἰδὼς τὴν ἀνθρωπίνην ἀσθένειαν, συγγινώσκει, κἂν ἁμάρτημα ᾖ τὸ παρὰ τοῦ φίλου· ἢ ὅτι ἐπιγινώσκων ὅτι κατ' εἰκόνα Θεοῦ ἐστιν ὁ φίλος, σύμφωνος ἑαυτοῦ ἐστι μετριοφρονῶν, καὶ φυλάσσων ἑαυτόν, καὶ μηδὲν τῆς ἐχθρᾶς κακίας ἔχων, ἀστασιάστους ἔχει τοὺς λογισμούς.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'

Στ. β'. Ὁ μὲν γὰρ ἕξει τὸ τέλος τῆς ἀρετῆς, οἱ δὲ καρπὸν οὐχ ἕξουσιν ὥριμον· πτοήσει δ' ἑαυτόν, οὐχ εὑρίσκων συστῆναι τῇ ἑαυτοῦ ἁμαρτίᾳ.

Στ. ιδ'. Νόμος ὁ φυσικός, ἀφ' οὗ βρύει τὸ τῆς ζωῆς αἴτιον[8]· δικαίῳ γὰρ νόμος οὐ κεῖται[9]· τιμωρία δὲ ἐπὶ θάνατον τῷ παγιδευθέντι κακοῖς· ἡ πηγὴ ζωῆς, τὰ ἔργα τῶν ἐντολῶν. Δικαίοις τοῖς ἔθνεσιν ὁ τῶν ἐκ περιτομῆς πλοῦτος προσγενήσεται.

---

1. Πρβλ. Ρωμ. 1,28. 2. Πρβλ. Παρμ. 11,24. 3. Παρμ. 11,29. 4. Πρβλ. Παρμ. 11,31. 5. Πρβλ. Παρμ. 12,12. 6. Πρβλ. Παρμ. 12,17. 7. Ψαλ. 111,7. 8. Πρβλ. Παρμ. 13,14. 9. Α' Τιμ. 1,9.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ′

Στ. ι′. Ὁ νοῦς αἰσθανόμενος ἁμαρτίας, ὀδυνᾷ τὴν ψυχήν· οἰκίαι δὲ τῶν ἀσεβῶν, ἕξεις καὶ διαθέσεις· σκηναὶ δέ εἰσιν αἱ προαιρέσεις· ἔστι δὲ ὁδός, ἡ δοκεῖ ὀρθὴ εἶναι, ἡ τῶν ὄντων τὰ δοκοῦντα προκρίνουσα. Καρτερικῶς τὸ πρακτέον λογίζεται. Μερίδα σχήσουσιν, ἢ συμμερίσονται· ὁ θρασὺς γὰρ οὐκ ἂν εἴη δειλός.

Στ. κ′, κγ′. Τοῦτο ἐμοὶ δοκεῖ ὡς οὐκ ἐν τάξει παραινέσεως τέθεικεν, ἀλλὰ τὰ συμβάντα ἀπαγγέλλει· εἶτα διορθωτικῶς τὸ ἐπαγόμενον· τό, «Ὁ ἀτιμάζων πένητα ἁμαρτάνει»[1]· τὰ γὰρ αὐτόθι δῆλα κακά· οὐδὲ διορθοῦταί τις, οὐκ ἂν καταγνοίη τῶν τοιούτων· τίς δ' ἂν τοὺς ἄλλους ἐπαινέσειεν; Ὁ ὑπὲρ ἀρετῆς φροντίζων περιττεύει πράξει καὶ γνώσει. Καὶ γὰρ ὁ περὶ τῶν πρακτέων ἀεὶ σκοπῶν ἕξει τι πλέον· ὁ δὲ ἡδὺς καὶ ἀνάλγητος, ἤγουν ὁ τοὺς πόνους ἐκτρεπόμενος ἐν ἐνδείᾳ ἔσται τῶν ἀρετῶν[2].

ΚΕΦΑΛΑΙΟΝ ΙΣΤ′

Στ. ις′. Τό, νοσσιά, ποτὲ τὸν τόπον σημαίνει, ποτὲ **[1637]** δὲ τὰ ἐνοσσεύοντα ζῶα. Ἢ τοίνυν ὁ τόπος τῆς σοφίας, τὰ θεωρήματα ἐν οἷς οἰκεῖ, αἱρετώτερά ἐστι τῆς ψευδωνύμου γνώσεως· ἢ τὰ κυήματα τῆς σοφίας. Ὥσπερ γὰρ χρυσὸς ἀργύρου κρείσσων, οὕτω καὶ σοφία φρονήσεως[3]· ἡ μὲν γὰρ ἐν τῷ γινώσκειν ἐστίν, ἡ δὲ ἐν τῷ ἑρμηνεύειν τὰ γινωσκόμενα. Ἢ νοσσιὰς σοφίας, τὰς Ἐκκλησίας, ἢ τὰς τῶν ἁγίων ἐκεῖθεν μονάς· σοφία δὲ ὁ Χριστός[4].

Στ. ιζ′. Τὸ γὰρ ἀδιάστατον τῶν πράξεων ἔχουσαι, τὸ τῆς ζωῆς τῆς καταλλήλου μῆκος ἔχουσιν, ἀπὸ κακῶν ἐκκλίνουσαι[5], τουτέστι θανάτου.

Στ. κθ′. Ἐνταῦθα ἄνδρα παράνομον διάβολον καλεῖ, ὃς ἀποπειρᾶται τῶν ἀνθρώπων, γνῶναι θέλων τίνες εἰσὶν ἐξ αὐτῶν ὅμοιοι αὐτῷ καὶ θέλοντες παρανομεῖν· καὶ ἀπάγων αὐτοὺς εἰς ὁδοὺς ἤτοι εἰς πράξεις οὐκ ἀγαθάς[6]· ὁ αὐτὸς δέ ἐστιν ὁ στηρίζων τοὺς ὀφθαλμοὺς ἐφ' ἕκαστον τῶν ἀνθρώπων, καὶ νοῶν ἀκριβῶς πρὸς ποῖον πάθος ἐπιρρεπῶς τις ἔχει· καὶ γνοὺς ἐκ τῶν κινημάτων, ἱστᾷ αὐτοῦ παγίδας· καὶ συλλαβὼν ἀπάγει αὐτὸν εἰς πάντα τὰ κακά. Ὁρίζειν δὲ τοῖς χείλεσιν εἶπεν, διότι ταῖς πονηραῖς αὐτοῦ ὑποβολαῖς, ἔργοις τελειῶσαι σπουδάζει διὰ τῶν ἀνθρώπων πάντα τὰ αὐτῷ καταθύμια· οὗτος δέ ἐστιν ἡ κάμινος τῆς κακίας[7], ἡ φλέγουσα τὸν ὑποδεξάμενον τοῖς δελεάσμασιν αὐτοῦ εἰς πᾶσαν κακίαν.

Στ. λ′. Ὀφθαλμὸς θεωρῶν καλά, ἤτοι διακεκριμένος· τίνα δὲ τὰ καλά, ζητητέον· καὶ μὴ θεωρῶν χρυσόν; λυπεῖται· εἴτε σῶμα λαμπρόν,

---

1. Παρμ. 14,21. 2. Πρβλ. Παρμ. 14,23. 3. Πρβλ. Παρμ. 16,16. 4. Πρβλ. Α′ Κορ. 1,24,30. 5. Πρβλ. Παρμ. 16,17. 6. Πρβλ. Παρμ. 16,29. 7. Πρβλ. Παρμ. 16,30.

πάλιν κατατήκεται· ἀλλὰ τίνα ἐστὶ τὰ καλά, ἄκουσον· Τὸν οὐρανόν, τὴν γῆν, τὴν θάλασσαν καὶ τὴν κτίσιν πᾶσαν· ὥστε τὰ τοιαῦτα βλέπετε, οἷον τὴν ψυχὴν εὐφραίνει· ἐπεὶ τί ὄφελος τερφθῆναι μὲν τὸν ὀφθαλμόν, μηδὲν δὲ γενέσθαι πλέον, ἀλλὰ τὴν ψυχὴν διαφθαρῆναι;

Στ. λα΄. Τὰ πολλὰ τῆς κακίας αὐτοῦ ἀνωτέρω εἰπόντες, τοῖς εἰρημένοις τὰ λείποντα προσθήσομεν. Μετὰ τῶν ὑπερβολῶν αὐτοῦ πάντων λέγει καὶ ταῦτα τοῖς πειθομένοις αὐτῷ· Τοῦτο τὸ πρᾶγμα κατ' ἀνάγκην ἐστὶ (τὸ διορατικὸν ἀκονήσας εἰς τὸ κακόν), χρηστέον αὐτῷ. Ἡ ἡδονὴ φυσική ἐστι, χρηστέον αὐτῇ· ἐκ Θεοῦ τὰ χρήματα, ἀπολαυστέον αὐτῶν. Ὁπόταν δὲ εἰς πάντα καταπείσῃ τὸν ὑπήκοον αὐτοῦ, τότε ποιεῖ αὐτὸν ἐγκαυχᾶσθαι κατὰ διάνοιαν, ὡς δικαιοσύνας μεγάλας ποιῶν, καὶ ὅτι ἐν τοῖς γηραιοῖς ταῦτα ὑποτίθεται.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ΄

Στ. ς΄. Ὁ πιστὸς μὴ σπεύδων περὶ τὰ αἰσθητά, ὡς πάντα ἔχων ἐστίν[1]· ὁ δὲ περὶ ταῦτα σπεύδων, ὡς μηδὲν ἔχων ἐστίν· ἀγαπῶν γὰρ ἀργύριον, οὐ πλησθήσεται ἀργυρίου· ἢ καί, Ὁ πιστὸς ὄψεται τοὺς λόγους τοῦ κόσμου τούτου, ὡς χρήματα τοῦ νοῦ τροπικῶς εἰρημένους· ὁ δὲ ἄπιστος, οὐδὲ τοῦ τυχόντος ἅψεται πράγματος τῶν λόγων δι' ἀκαθαρσίαν ψυχῆς.

Στ. κη΄. Ἐνεός[2], ὁ τῇ σιωπῇ τὴν ἑαυτοῦ ἀμαθίαν, ἢ τὸ πάθος κρύπτων παρ' ἑαυτῷ ἢ τοῖς πέλας, δοκεῖ.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ΄

[1640] Στ. ζ΄. Οὐ πᾶσαν ἐκτελεῖ τὴν κακίαν (ἀδύνατον γὰρ), ἀλλὰ πράττει τὰ συνυπάρχειν δυνάμενα· ἔτι δὲ κακοποιῶν οὐκ ἐπαύσατο. Ἢ ἔννοιαν ἀγαθὴν[3] τὸν Χριστὸν λέγει· αὐτὸς γὰρ αὐτὴν ἐγγυᾷ· καὶ πᾶς δὲ ὁ ἀγαθὰ πράττων εὑρήσει αὐτόν· φρόνιμον γὰρ τὸν πᾶν ἔργον ἀγαθὸν ποιοῦντα λέγει.

Στ. κδ΄. Ὁ μὴ ὀρθῶς βιοὺς κρύπτει ἐν τῇ ψυχῇ τὰς χεῖρας ἀδίκως[4]· τὴν ἑαυτοῦ γῆν ἐργάσασθαι μὴ βουλόμενος, πῶς ἐμπλησθήσεται ἄρτων; Αἱ γὰρ πρακτικαὶ ἀρεταὶ χειρῶν ἐπέχουσι λόγον, τὸν ἄρτον ἡμῶν προσφέρουσαι τῷ στόματι τὸν ἀπ' οὐρανοῦ καταβάντα[5]. Οὐ δύναται τοίνυν οὗτος οὐδὲ τὴν ἀρχὴν ὠφεληθῆναι ὀκνηρὸς ὤν.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ΄

Στ. κα΄. Ἤγουν ἡ κρίσις καλύπτει τὴν ἀπολογίαν τῶν ἀσεβῶν. Ὑπερβάλλει γὰρ ὁ Θεὸς τοὺς εὖ ποιοῦντας ταῖς ἀμοιβαῖς.

---

1. Πρβλ. Παρμ. 17,6α. 2. Πρβλ. Παρμ. 17,28. 3. Πρβλ. Παρμ. 19,7. 4. Πρβλ. Παρμ. 19,24. 5. Πρβλ. Ἰω. 6,33.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ′

Στ. κς′. Μὴ δίδου σεαυτὸν εἰς τὸ ὑπερτίθεσθαι μετανοεῖν, αἰσχυνόμενός τινα[1]. Ἐὰν γὰρ ἀποθάνῃς, καὶ οὐκ ἔχῃς καιρὸν τοῦ μετανοῆσαι, οὐκέτι ἔξεις ἀνάπαυσιν.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ′

Στ. κγ′. Εἰσάγει δὲ παρ' ἑαυτῷ τὸν βάσκανον διάβολον, καὶ τρώγει τὸν ψωμὸν αὐτοῦ μετ' αὐτοῦ, ὁ μετὰ κενοδοξίας, ἢ ἀνθρωπαρεσκείας ποιῶν τι τῶν ἀγαθῶν ἔργων· ὁ γὰρ τοιοῦτος ἀπέχει τὸν μισθὸν αὐτοῦ. Καὶ γὰρ ὁ διάβολος φανεροῖ αὐτὰ τοῖς ἀνθρώποις, ἵνα διὰ τοῦ ἐπαίνου τοῦ πρὸς τὸν ἀνθρωπάρεσκον λοιμανῆται καὶ ἀποστερήσῃ τῶν αἰωνίων ἀγαθῶν.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ′

Στ. κ′. Οὐ γεννήσουσι πονηροὶ ἀρετὰς[2] καὶ δόγματα ὀρθὰ (ταῦτα γάρ ἐστι γεννήματα τῆς ψυχῆς), διὰ τὸ μὴ φοβεῖσθαι αὐτοὺς τὸν Κύριον· οἱ δὲ ὄντες ἐν φόβῳ Κυρίου ὅλην τὴν ἡμέραν ἔξουσιν ἔγγονα, καὶ ἡ ἐλπὶς αὐτῶν οὐκ ἀποστήσεται. Ἀκολουθεῖ δὲ ταῦτα τοῖς εἰρημένοις. Οἱ μὲν γὰρ ἐχθροί, φησί, πονηροὶ ὄντες, ἑτέρων ἐπέχαιρον πτώμασιν· ὁ δὲ μέμφῃ σύ, μὴ ζηλώσῃς. Τὸ γὰρ λαμπρὸν δῆθεν αὐτῶν καὶ ἀπατηλόν, μέχρι τούτου τοῦ βίου, καὶ σβέννυται τελευτῇ· πολλάκις δὲ καὶ ἔτι ζώντων διελεγχθέντων ἐσβέσθη.

ΚΕΦΑΛΑΙΟΝ Λ′

Στ. ζ′. Ὁ σοφὸς ταῦτα τῇ σοφίᾳ φησίν, ἢ ὁ τοῦ Χριστοῦ δοῦλος τῷ Κυρίῳ. Δύο δὲ φήσας ,περὶ πλειόνων αἰτεῖ· ἀλλὰ τὸ δοκοῦν πρῶτον προαιτητικόν ἐστι τοῦ τυχεῖν ὧν αἰτεῖ λέγοντος· Μή μου παρακούσῃς, ἀλλὰ δίδου τὴν χάριν[3]· ἐφ' ᾧ τὸ πρῶτον ἐπήγαγεν αἴτημα· Μάταιον λόγον, τὴν ψευδώνυμον μακράν μου ποίησον, ἵνα μὴ πλησθείς, ψευδὴς γένωμαι. Ὁ κόρος ὑπερηφανίαν ποιεῖ, καὶ τὸ δοκεῖν ὑπὲρ ἔλεγχον εἶναι· λόγῳ καὶ ἔργῳ ὡς ἀναμάρτητον. Τὸ γάρ, Τίς με ὁρᾷ[4], ἀντὶ τοῦ, Ἐλέγχει; φησίν· ἵνα μὴ πλησθεὶς σοφίας, ἀκατάληπτος εἶναι δόξω τοῖς ἄλλοις, ἢ καὶ ψεύστης δόξω τὰ ὑπὲρ τούτους λαλῶν.

Στ. ιε′. Ἡ βδέλλα τίκτεται μὲν ἐν τοῖς γλυκέσι τῶν **[1641]** ὑδάτων, σκωληκοειδὲς οὖσά τι ζῶον· λειοτάτη δέ ἐστι τῇ ἁφῇ, ἥτις τοῖς χανδὸν τοῦ ὕδατος μεταλαμβάνουσι, λεληθότως ὑπεισέρχεται τῇ λειότητι· εἶτα περιπλακεῖσα ἔνδον τινὶ τῶν μορίων, οὐ πρότερον ἀπορρήγνυται,

---

1. Πρβλ. Παρμ. 22,26. 2. Πρβλ. Παρμ. 24,20. 3. Πρβλ. Παρμ. 30,7. 4. Παρμ. 30,9.

ἕως ἂν τῇ ἐκπόσει τοῦ αἵματος ἀποκτείνῃ τὸν ἄνθρωπον· αἱμοπότης γάρ ἐστι, καὶ ἐντεῦθεν τρέφεται καὶ αὔξεται. Ταύτῃ νῦν εἴκασε τὸν διάβολον, ὅστις βίᾳ τῶν ἀνθρώπων κρατεῖν οὐ δυνάμενος· τρισὶ γὰρ κέχρηται[1] μάλιστα κατ' αὐτῶν ὁρμητηρίοις, ἥδων, θέλγων, ἀπατῶν, καὶ διὰ τοῦτο κατὰ μικρὸν λεληθότως αὐτοὺς ἀναιρῶν· πρῶτον μὲν γὰρ αὐτοὺς ταῖς τῆς ψευδοδοξίας ὁδοῖς ἐνάγει πρὸς ἀπώλειαν, ὅπερ δὴ καὶ ἅδην καλεῖ, τῷ τέλει τῆς δίκης δεικνὺς τῆς ἁμαρτίας τὸ μέγεθος· ἔπειτα περιβάλλων τῇ τῆς ἀκολασίας ἡδυπαθείᾳ, ὃ δὴ καὶ ἔρωτα καλεῖ γυναικῶν. Ἐπὶ τούτοις φιλαργυρίᾳ, ἤτοι πλεονεξίᾳ, ὅπερ δὴ καὶ γῆν οὐκ ἐμπιπλαμένην ὕδατος ἔφη· τοιαύτη γὰρ ἡ ψαμμώδης ἄπλητος. Ταῦτα τοίνυν εἰσὶ τὰ πάθη, ἅτινα ἐξεύρηται τῷ πονηρῷ πρὸς τὴν τῶν ἀνθρώπων ἀπώλειαν, ἅπερ οὕτως φιλεῖ καὶ στέργει, ὡς ἂν θυγατέρας ἰδίας. Τὸ τέταρτον δὲ καλεῖ τὴν τούτων τριβὴν καὶ συνήθειαν· οὐδὲ γὰρ ὁ πρὸς ἅπαξ ψευδοδοξήσας, ἢ πορνεύσας, ἢ ἐπιθυμήσας τοῦ πλείονος, εὐθὺς ὑπέπεσε τοῖς παθήμασιν, ἀλλ' ὁ τῇ συνηθείᾳ λοιπὸν καὶ τὴν αἴσθησιν ἡττηθείς· τοιούτους γὰρ ἂν εὕροις τοὺς ταῖς ψευδοδοξίαις ἐντεθαμμένους, οὐδέποτε κόρον λαμβάνοντας, ἀλλ' ἀεὶ προεπιτείνοντας τὰ πάθη, ὡς καὶ ἑτέρους ἐπὶ ταῦτα προτρέπεσθαι. Ὥσπερ οὖν καὶ ὕδωρ καὶ πῦρ τῇ χορηγίᾳ τῶν προσφόρων οὐ παύεται, οὐδὲ λέγει, Ἀρκεῖ, ἀλλὰ μᾶλλον ἐπαῦον γίνεται· τό τε ὕδωρ τῇ ἐπιρροῇ τοῦ ὕδατος οὐ λήγει, ἀλλ' αὔξεται· ἃ καὶ σύ, φησίν, ὦ παῖ, γινώσκων, ἀπέχου τούτων, ἵνα μὴ λάθῃς κατὰ βραχύ, καθάπερ βδέλλη λειοτάτῃ, τῇ ἡδονῇ τὸν βίον ἀποσυλώμενος.

Στ. ιθ', κ'. «Ἴχνη ἀετοῦ πετομένου»[2], ἡ τοῦ σοφοῦ ψυχή, ἥ, σοφὸς οὖσα, ἀδυνάτως ἔχει πρὸς τὸ γνῶναι ἀφ' ἑαυτῆς τὰ τοῦ νοητοῦ ἀετοῦ πετάσματα· περὶ οὗ γέγραπται· Ἀετὸς ὁ μέγας καὶ ὁ μακρὸς τῇ ἐκτάσει καὶ πλήρης ὀνύχων, οὐκ ἔχων ἴχνος τῆς παρουσίας τοῦ διαβόλου, εἰ καὶ προέπτη μοι πόθεν οὐκ οἶδα· ἐκκλίνοντος γὰρ ἐπ' ἐμοῦ τοῦ πονηροῦ, οὐκ ἐγίνωσκον, τῷ μὴ ἔχειν με πρὸς αὐτὸν πόθον. Τοιαύτη ὁδὸς μοιχαλίδος[3], ἡ νενοθευμένη διδασκαλία.

Στ. κβ'. Ὁ ἐξ ἐθνῶν λαός, δοῦλος ὢν τῆς ἁμαρτίας καὶ τοῦ διαβόλου τὸ πρότερον· οὕτως· Ἐπ' ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς[4]· καί, Ἄφρων πλησθῇ σιτίων[5] τῶν τῆς ζωῆς· καί, Μισητὴ γυνή[6], ὅ ἐστι πόρνη· πόρνη γὰρ ἦν ἡ ἐξ ἐθνῶν Ἐκκλησία, ὀπίσω θεῶν ἀλλοτρίων πορευομένη· καὶ οἰκέτις ἐκβάλῃ τὴν ἑαυτῆς κυρίαν[7], ἡ τῶν ἐθνῶν Ἐκκλησία τὴν Συναγωγὴν οὖσαν κυρίαν· ταύτης γὰρ ὁ νόμος καὶ οἱ προφῆται δέονται. — Τῆς διανοητικῆς ἐπισκέψεως δούλη ἡ κατὰ τὸ γράμμα, ἣν Ἰουδαῖοι μὲν ὡς δέσποιναν προετίμων· τὰ δὲ ἔθνη μεταλαμβάνοντα τὸ ῥητὸν εἰς τὸ πνευματικόν, τὴν ὡς δέσποιναν παρ' ἐκείνοις ἐξέβαλον, τὴν σωματικὴν τοῦ νόμου παρατήρησιν.

---

1. Πρβλ. Παρμ. 30,15. 2. Παρμ. 30,19. 3. Παρμ. 30,20. 4. Πρβλ. Δευτ. 32,21. 5. Παρμ. 30,22. 6. Παρμ. 30,23. 7. Ἔνθ' ἀν.

Στ. κε΄. Τὰ ἔθνη φησίν, οἷς οὐκ ἔστιν ἰσχύς[1], καὶ θησαυρίζουσιν ἑαυτοῖς δι᾽ ἔργων ἀγαθῶν τὴν αἰώνιον **[1644]** ζωήν. Καὶ οἱ χοιρογρύλλιοι[2]· εἶδος ἰχθύος, ἤτοι οἱ λαγωοὶ οἱ καλούμενοι οἴστροι, τὰ πρώην ἀσθενῆ ἔθνη[3], καταφυγόντα πρὸς τὸν Χριστόν· πέτρα γὰρ καταφυγὴ τοῖς χοιρογρυλλίοις[4], οἳ ἐποιήσαντο ἐν πέτραις. Καὶ σὺ οὖν, φησί, κἂν ἀσθενὲς ᾖς ζῶον, ἐπιλαβοῦ τῆς πέτρας τῆς ἀληθοῦς πίστεως, καὶ πρὸς αὐτὴν τὸν βίον ἀπεύθυνε. Πράξεσιν ἐρειδόμενος εἰς τὴν βασιλείαν εἰσέρχεται. Οὐκοῦν καὶ σύ, φησί, μὴ διὰ τὸ ἀσθενὲς τῆς πίστεως ἀπιστήσῃς τῇ τῶν οὐρανῶν βασιλείᾳ, ἀλλὰ πιστεύων τῇ περὶ αὐτῆς ὑποσχέσει, τὰ ταύτης ποιητικὰ μετέρχου προστάγματα. Λέων Χριστός· πάντα γὰρ τὰ λογικὰ πρὸς αὐτὸν κτήνη εἰσί· Μωϋσῆς γάρ φησιν· «Ἐγὼ δὲ ἄλογός εἰμι»[5]. Τὸ τὴν φυσικὴν ἐνέργειαν, ἀνεμποδίστως διαβαίνειν λέγεται.

Στ. λα΄. Ὁ ὑπὲρ ἁμαρτιῶν προσενεχθείς, καὶ ἐν ὕψει βαίνων, ἔχει ἐφεπομένην αὐτῷ τὴν ἀγέλην. «Ὅταν γὰρ ὑψωθῶ, φησί, πάντας ἑλκύσω πρὸς ἐμαυτόν»[6]. Ὁ ἀλεκτριὼν διδασκάλου πρόσωπον φέρει, ὃς τὸν λόγον σπείρων ἐν ταῖς ψυχαῖς, ἰσχυρῶς ἐστι προσαγγέλλων τὸ φῶς. «Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν»[7]. Οὗτος ἦν ὁ ἀπ᾽ ἀρχῆς διυπνίζων τὰς καρδίας τῶν ἀνθρώπων, καὶ τὴν ἡμέραν τῆς ἐνσάρκου αὐτοῦ παρουσίας διὰ πολλῶν προμηνύων· καὶ σκότος ἐκθλίβων, καὶ τὸ φῶς αἰώνιον πᾶσι φανερῶς ὑποδεικνύων. Ἐμπεριπατῶν ἐν θηλείαις εὐψύχως[8], τουτέστιν ἐν ταῖς Ἐκκλησίαις, εὐψύχως καὶ γενναίως, ὡς φησιν· «Ἰδοὺ ἐγὼ μεθ᾽ ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος»[9].

Στ. λβ΄. Ἢ καὶ ἐὰν εἰς τὸν νοῦν τῶν Γραφῶν καθιῇς σεαυτόν· ἤ, ἐὰν μὴ ἔχῃς μαθητικὸν οὖς, ἀλλ᾽ ἀντιλογητικὸς εἶ, ἀκούσῃ; «Εἰ δέ τις φιλόνεικος εἶ, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν»[10].

ΚΕΦΑΛΑΙΟΝ ΛΑ΄

Στ. γ΄. Ἡδοναῖς ἢ διδαχαῖς ἀλλοτρίαις τὸν σὸν πλοῦτον μὴ δώσεις. Μετὰ βουλῆς οἰνοπότει[11]. Τὸν τῆς ἀληθινῆς ἀμπέλου πίνων οἶνον, τὴν τῶν Γραφῶν ἑρμηνείαν, καὶ τὴν τῶν ὄντων θεωρίαν, μετὰ πολλῆς προσέρχου διακρίσεως τῇ τῆς διανοίας ἐπισκέψει.

Στ. ς΄. Νῦν λύπην εἶπε τὸν πόνον. Οἱ οὖν διὰ Θεὸν κοπιῶντες καὶ ὀδυνώμενοι, ἐπ᾽ ἂν μεθυσθῶσιν τῆς πρὸς τοῦ οἴκου Κυρίου πιότητος, τῶν ὀδυνῶν ἐπιλανθάνονται[12].

Στ. η΄. Τὴν προαίρεσίν σου ἔχε εἰς τὸ προσέχειν τοὺς λόγους μου, εἰρημένους ὑπὸ Θεοῦ.

---

1. Πρβλ. Παρμ. 30,25. 2. Παρμ. 30,26. 3. Πρβλ. Παρμ. 30,26. 4. Ψαλ. 103,18. 5. Ἐξ. 6,12. 6. Πρβλ. Ἰω. 12,32. 7. Ματθ. 3,2. 8. Πρβλ. Παρμ. 30,31. 9. Ματθ. 28,20. 10. Πρβλ. Α΄ Κορ. 11,16. 11. Παρμ. 31,4. 12. Πρβλ. Παρμ. 31,6-7.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ′

Στ. κγ′. Ἄνεμος βορέας[1], ὁ διάβολος, διεγείρων καὶ πειράζων τοὺς ἁγίους ὑψηλοὺς αὐτοὺς ὄντας, καὶ μὴ θέλων ἐργάζεσθαι, ἢ ἐγείρων λόγους κατὰ τῶν ἑαυτοῦ δογμάτων.

ΚΕΦΑΛΑΙΟΝ ΚΣΤ′

Στ. γ′. Ὥσπερ οὖν ταῦτα μεταφέρει μᾶλλον ἐπὶ τὸ εὖ ἔχον τὰ ζῶα, οὕτως ἡ ῥάβδος, τουτέστιν ἐπιτιμία, τὸ παράνομον ἔθνος ῥυθμίζει[2].

Στ. ζ′. Τῶν τοιούτων, φησί, περιαίρει μᾶλλον τὴν δυναστείαν, καὶ μήτε πρακτικὴν ἀρχὴν μήτε λογικὴν τούτοις ἐγχείριζε.

[1645] Στ. ιε′. Εἰ ἀπὸ καρπῶν δικαιοσύνης φύεται δένδρον ζωῆς, πᾶς ὁ κρύπτων τὴν δικαιοσύνην τῇ ἀδικίᾳ, ἥτις λέγεται χείρ, οὐ βρώσεται ἐκ τοῦ τῆς ζωῆς δένδρου.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ′

Στ. κγ′. Τῶν μαθητῶν σου, ἵνα μὴ πρὸς τὴν ἕξιν ἐπάγῃς τὴν διδασκαλίαν.

ΚΕΦΑΛΑΙΟΝ ΛΑ′

Στ. κβ′. Τὴν θεωρίαν τῶν γεγονότων, καὶ τὴν θεωρίαν τῆς ἁγίας Τριάδος, ἔνδυμα εἶναι λέγει νοῦ καθαροῦ, ἐκ βύσσου καὶ πορφύρας[3].

---

1. Παρμ. 25,23. 2. Παρμ. 26,3. 3. Πρβλ. Παρμ. 31,22.

ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΟΝ ΕΚΚΛΗΣΙΑΣΤΗΝ (Toura)

Α'*

12 Ῥήματα Ἐκκλησιαστοῦ υἱοῦ Δαυὶδ βασιλέως Ἰσραὴλ ἐν Ἰερουσαλήμ[1].

Ὁ Σολομὼν οὗτος ὁ ἐκκλησιάζων καὶ τοιαῦτα λέγων, ἃ ἁρμόζει ἐκκλησίᾳ εἰπεῖν, τοῦ «Δαυὶδ υἱός» ἐστιν. Γέγονε δὲ μετὰ τὸν Σαούλ, οὗ ἡ βασιλεία διεβλήθη καὶ περιεγράφη[2].

Τοῦ βασιλέως τούτου τοῦ «Δαυὶδ υἱός» ἐστιν ὁ Σολομὼν κατὰ ἀμφοτέρους τοὺς τρόπους. Διττῶς γὰρ υἱοί τινές εἰσίν τινων, «κατὰ σάρκα» καὶ διαδοχὴν καὶ κατὰ παίδευσιν. Παῦλος γοῦν λέγων ὅτι «διὰ τοῦ Εὐαγγελίου ἐγέννησα ὑμᾶς»[3], πατήρ εἰμι ὑμῶν, «κἂν γὰρ μυρίους ἔχητε παιδαγωγούς, ἀλλ' οὐ πολλοὺς πατέρας· διὰ γὰρ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα»[4].

14 Ὁ Δαυὶδ οὖν ἀμφοτέρως πατὴρ ἦν τοῦ Σολομῶνος· καὶ «κατὰ σάρκα»[5]— ἐξ αὐτοῦ γὰρ ἔσχεν καὶ διαδοχήν· «Δαυὶδ δὲ ἐγέννησεν τὸν Σολομών»[6]—, ἀλλὰ καὶ κατὰ παίδευσιν ἦν αὐτοῦ πατήρ· σοφὸς γάρ, εἰ καί τις ἄλλος, καὶ αὐτὸ τοῦτο θεόσοφος ἦν ὁ Δαυίδ. Λέγει γοῦν· «τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι»[7].

Καὶ εἴ τις λέγοι· θρασύτερον ἁπάντων λόγον, ἑαυτὸν ἐπαινῶν οὐ πάντως ἐστὶν τοιοῦτος, ἀκούω ὅτι καὶ ὁ Θεὸς λέγει· «εὗρον Δαυὶδ τὸν τοῦ Ἰεσσαί, ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου»[8]. Ὁ ποιητὴς δὲ τῶν θεληματων τοῦ Θεοῦ οἷον πασῶν τῶν ἀρετῶν σοφός, εἰ καί τις ἄλλος.

16 Καὶ αὐτῷ ὁ Θεὸς «τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας»[9] αὐτοῦ πεφανέρωκεν. Γέγονεν δὲ καὶ Σολομὼν σοφός[10], εἰ καί τις ἄλλος. Γέγονεν ἄρα ἐκ σοφοῦ σοφός, ὥσπερ καὶ ἄνθρωπος ἐξ ἀνθρώπου.

Καὶ κατὰ τοὺς δύο τοίνυν τρόπους τῆς γενέσεως «υἱὸς» ἦν ὁ Σολομὼν τοῦ «Δαυίδ».

Ἔστιν δὲ μάλιστα, ἐν οἷς ἐκκλησιάζει, προηγουμένως τοῦ «Δαυὶδ

---

* Ἐκ τῶν ἐν Toura τῆς Αἰγύπτου ἀνακαλυφθέντων ἀποσπασμάτων τοῦ Διδύμου. Kommentar zur Ecclesiastes Lage 1 des Toura Papyrus. In Verbindung mit Ludwig Koenen herausgegeben und übersetzt von Gerhard Binder und Leo Liesenborghs. Köln 1965.

Τὰ ἐντὸς λοξῶν ἀγκυλῶν παρατιθέμενα καὶ δὴ καὶ τὰ εἰς τὰς σελ. 182 καὶ 192-195 συνεπληρώθησαν καθ' ὑπόθεσιν ὑπὸ τῶν ἐκδωσάντων τὸν πάπυρον.

1. Ἐκκλ. 1,1. 2. Πρβλ. Α' Βασ. 15,26. 16,1. 3. Α' Κορ. 4,15. 4. Ἔνθ' ἀν. 5. Ρωμ. 1,3. 6. Ματθ. 1,6. 7. Ψαλ. 50,8. 8. Πράξ. 13,22. 9. Ψαλ. 50,8. 10. Πρβλ. Γ' Βασ. 2,46α.

υἱός», οὐ τοσοῦτον διὰ τὸ «κατὰ σάρκα»[1], ὅσον διὰ τὸ κατὰ τὴν παίδευσιν. Οἱ γὰρ υἱεῖς τῶν σοφῶν καὶ αὐτοὶ ὄντες σοφοὶ γεννῶσιν ἄλλους. Οὐ πάντως δὲ ὁ «κατὰ σάρκα»[2] τινὸς ὢν υἱὸς γίνεται καὶ αὐτὸς πατήρ.

Πολλοὶ γοῦν υἱοὶ γενόμενοι οὐκ ἀπεδείχθησαν πατέρες. Οἱ δὲ «κατὰ πνεῦμα»[3] υἱοὶ καὶ αὐτοὶ γίνονται πατέρες.

18 Ἃ λέγει οὖν, «ῥήματα τοῦ Ἐκκλησιαστοῦ»[4] Σολομῶνός εἰσιν. Κατὰ γὰρ διαφόρους ἐπινοίας ὁ Σολομὼν ἔχει τὰς ὀνομασίας. «Ἐκκλησιαστὴς» μέν, ὅτε τοιαῦτα λέγει, ἃ ἁρμόζει ἐκκλησίᾳ τουτέστιν πλήθει· οὐδὲν δὲ ἕτερόν ἐστιν ἐκκλησία ἢ πλῆθος. Κατὰ τοῦτο τὸ σημαινόμενον καὶ ὁ Θεὸς λέγει τῷ Μωϋσῇ· «ἐκκλησίασον τὸν λαὸν πρός με»[5]. Καὶ Ἰησοῦς τοίνυν, ὅταν λέγῃ τὰς παραβολὰς «τοῖς ἔξω»[6]· ὅτε οὐκ ἐκκλησιάζει, τότε «κατ' ἰδίαν τοῖς ἰδίοις»[7] λαλεῖ καὶ λέγει «τὸ μυστήριον» τοῦτο ἐμοὶ καὶ τοῖς ἐμοῦ[8].

20 Ἡ δὲ οὖν ἐνταῦθα «Ἐκκλησιαστής» ἐστιν — τὰ γὰρ μαθήματα σχεδὸν πάντα ταῦτα, ἃ δι' ὅλου τοῦ βιβλίου αὐτοῦ λέγει, πτωχοῖς τὴν διάνοιαν λέγει —, λέγει εἰς «πρόσκαιρα»[9] καὶ «μάταια»[10] λεληφότας καὶ μεγάλα αὐτὰ νομίζοντας εἶναι καὶ περιμάχητα.

Ἐν μὲν ταῖς Παροιμίαις — πρῶτον δὲ βιβλίον ἐπὶ τάξει τοῦτο τοῦ προκειμένου — ἠθικῶν νοημάτων ἐστὶν διδάσκαλος. Καὶ ἐπεὶ τὰ ἐξ ἑτοίμου νοήματα ταχὺ καταφρονεῖται, μετ' ἐπικρύψεως παροιμιωδῶς αὐτὰ λέγει. Λέγει γοῦν· «αἴσθησις δὲ ἀγαθὴ πᾶσιν τοῖς ποιοῦσιν αὐτήν»[11], καὶ «ἀρχὴ σοφίας φόβος Κυρίου»[12], «ἀκούσατε παῖδες παιδείαν πατρός»[13]. Αἱ Παροιμίαι οὖν ἠθικά ἐστιν.

22 Ἐν δὲ τῷ Ἄσματι τῶν Ἀσμάτων τὰ ὑπὲρ τὰ φυσικά, τὰ ὑπερκόσμια, τὰ ἀνάγοντα εἰς τὰ ὑπερκόσμια καὶ ὑπερουράνια λέγει. Καὶ διὰ τοῦτο ἐκεῖ οὐδὲν πρόσκειται τὸ δεικνύον αὐτὸν ἄνθρωπον· οὐκ εἴρηται «υἱὸς Δαυὶδ τοῦ βασιλέως τοῦ Ἰσραὴλ ἐν Ἱερουσαλήμ»[14], ὑπερκόσμιος γάρ ἐστιν ἡ λεγομένη παίδευσις ἐν τῷ Ἄσματι τῶν Ἀσμάτων.

Ἐπερ ( )· οὐκ ἦν περισσὴ ἡ προσθήκη;

Μὴ γάρ· ἐν τῷ αὐτῷ βιβλίῳ ἀμφότερα κεῖται. Ὁ Ἐκκλησιαστὴς φυσικὰ λέγει. Λέγω, διττή ἐστιν ἡ φύσις τῶν ὄντων· «ὁ Θεὸς» δὲ «ἐν αὐτῷ» ἐποίησεν «ὁρατὰ καὶ ἀόρατα»[15]. Καὶ ταῦτα τὰ «ὁρατὰ καὶ ἀόρατα»[16] διαστέλλων ἀφ' ἑαυτῶν καὶ φανερῶν αὐτὸς ὁ ἀπόστολος λέγει· «τὰ βλεπόμενα πρόσκαιρα, **24** τὰ δὲ μὴ βλεπόμενα αἰώνια»[17]. Καὶ τὰ «αἰώνια» οὖν τὰ τῷ Θεῷ ἐοικότα καὶ ἀνακείμενα πρὸς τὸν Θεόν· καὶ τὰ «πρόσκαιρα» ἔχει τινὰ λόγον σοφόν, καθ' ὃν γέγονεν.

---

1. Ρωμ. 1,3. 2. Ἔνθ' ἀν. 3. Ρωμ. 1,4. 4. Ἐκκλ. 1,1. 5. Δευτ. 4,10. 6. Μάρκ. 4,11. 7. Μάρκ. 4,34. 8. Πρβλ. Μάρκ. 4,11. 9. Πρβλ. Β' Κορ. 4,18. 10. Πρβλ. Πράξ. 14,15. Α' Κορ. 3,20. 11. Πρβλ. Παρμ. 1,7. 12. Ἔνθ' ἀν. 13. Πρβλ. Παρμ. 1,8. 14. Πρβλ. Ἐκκλ. 1,1. 15. Πρβλ. Κολ. 1,16. 16. Ἔνθ' ἀν. 17. Β' Κορ. 4,18.

Καὶ αὐτὰ γὰρ τὰ αἰσθητὰ καὶ «ὁρατὰ»[1] λόγῳ τινὶ σοφῷ γέγονεν. Ἀμφοτέρων οὖν χρήζομεν διδασκαλίᾳ.

Τὸ πλεῖον μέρος ἐν τῷ Ἐκκλησιαστῇ περὶ τῶν αἰσθητῶν καὶ ὁρωμένων οὐ μόνον κτισμάτων ἀλλὰ καὶ ἐπιτηδευμάτων λέγεται.

Ἐν δὲ τῷ Ἅσματι τῶν Ἀσμάτων πάντα νοητά εἰσιν, ἐφοπτικά, ὑπερουράνια.

Οὐδείς γοῦν, οὐδὲ οἱ ἄγαν πτωχοὶ τὴν διάνοιαν, ἐπὶ ῥητοῦ λαμβάνουσιν τὸ Ἅσμα τῶν Ἀσμάτων. Μόνος ὁ Σέρας ὁ Ἀριανὸς οὕτως αὐτὸ ἤθελεν ἑρμηνεύειν, ὃς τὴν θυγατέρα τοῦ Φαραὼ ταύτην ἔλεγεν «νύμφην»[2] εἶναι ὑμνουμένην ἐν τῷ βιβλίῳ. Καὶ ἐξετάξαμεν αὐτὸν πολλάκις ῥητὰ προφέροντες, **26** ἃ ἐπὶ ῥητοῦ οὐ δύναται ληφθῆναι. Ὅταν γὰρ λέγῃ ὅτι «δύο μαστοί σου ὡς δύο νεβροὶ δορκάδος νεμόμενοι ἐν τοῖς κρίνοις, ἕως οὗ διαπνεύσῃ ἡ ἡμέρα καὶ κινηθῶσιν αἱ σκιαί»[3], ποῖον κάλλος ἔχουσιν οἱ «μαστοί», ὅταν τούτοις παραβάλλονται; Καὶ ἐπεὶ ἁπαξαπλῶς «νεβροῖς δορκάδος» παραβάλλονται, διὰ τοῦτο λέγει· «νεμόμενοι[ς] ἐν τοῖς κρίνοις»[4]· ἄλλως γάρ εἰσιν, ὅταν «νέμωνται ἐν τοῖς κρίνοις».

Καὶ πολλά γέ ἐστι νοητὰ — ἐνταῦθα οὖν τὰ ὑπεραναβεβηκότα τὰ φυσικά, τὰ αἰώνια, ἃ δεῖ σκοπεῖν τοὺς «τὰ ἄνω»[5] βλέποντας, τοὺς «θησαυρίζοντας ἐν οὐρανοῖς»[6].

Ἐπερ ( )· ἐνταῦθα περὶ τῶν αἰσθητῶν μετ' αἰνιγμοῦ λέγει;

Βούλεται διδάξαι ὅτι καὶ τὰ αἰσθητὰ ὑπὸ προνοίας τοῦ Θεοῦ διοικεῖται καὶ ὅτι τὰ ἐπιτηδεύματα πάντα τὰ περὶ τὰ ἀνθρώπινα «μάταια», μᾶλλον δὲ οὐχ ὥστε **28** παντάπασιν ἐκβληθῆναι, ἀλλ' ἐν συνκρίσει τῶν ὑπερκοσμίων βραχέα εἰσὶν ταῦτα. Ἀμφότερα γὰρ καὶ «τὰ βλεπόμενα» καὶ «τὰ μὴ βλεπόμενα»[7] «Θεοῦ ποιήματά»[8] εἰσιν· συνκρινόμενα δὲ «τὰ βλεπόμενα» πρὸς «τὰ μὴ βλεπόμενα»[9] δόξαιεν ἂν «ματαιότης»[10] εἶναι.

Ἐπερ ( )· ὡς πρὸς τοὺς προσερχομένους «τοῖς ὁρατοῖς»[11];

Ναί· πρὸς τοὺς μεγάλα ταῦτα ἡγουμένους εἶναι καὶ μηδὲν πλέον. Καὶ ἵνα ἀποδείξω ἄλλῃ λέξει χρησάμενος — διηγεῖσθαι δεῖ οὕτως τὴν νόησιν· οἱ λέγοντες «φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν»[12] μόνα τὰ «πρόσκαιρα» λελήφασιν, «οἱ ἀγαπῶντες τὸν κόσμον καὶ τὰ ἐν τῷ κόσμῳ»[13], μὴ λογιζόμενοι ὅτι «ὁ κόσμος παράγεται καὶ ἡ ἐπιθυμία αὐτοῦ»[14]· ἐπὶ «ματαίοις» ἔχουσι τὴν γνώμην.

30 Εἰ μέντοι συνκρίνηται τὰ ὁρώμενα τοῖς [τοῖς] «ἀοράτοις»[15], κατὰ σύνκρισιν τὸ μηδὲν φαίνονται, οὐχ ἁπλῶς τὸ μηδέν.

Καὶ ἔχω γε ἀπὸ τῆς Γραφῆς τοιαῦτα δεῖξαι. Ὁ ἅγιος ἐν ο' καὶ β'

---

1. Πρβλ. Κολ. 1,16. 2. Πρβλ. Ἅσμ. 4,8. 3. Ἅσμ. 4,5-6. 4. Ἅσμ. 4,5. 5. Κολ. 3,1,2. 6. Πρβλ. Ματθ. 6,20. 7. Β' Κορ. 4,18. 8. Πρβλ. Ἐφ. 2,10. 9. Β' Κορ. 4,18. 10. Ἐκκλ. 1,2. 11. Πρβλ. Κολ. 1,16. 12. Ἡσ. 22,13. Α' Κορ. 15,32. 13. Πρβλ. Α' Ἰω. 2,15. 14. Α' Ἰω. 2,17. 15. Πρβλ. Κολ. 1,16.

ψαλμῷ πολλὰ εἰρηκώς, εἶτα δείξας ὅτι κατέγνω τῶν λεχθέντων ὑπὸ τῶν φαύλων, καὶ αὐτὸς ..... γέγονεν πρὸς τὴν θεωρίαν τούτων, λέγει· «κτηνώδης ἐγενόμην παρὰ σ⟨ο⟩ῦ»[1]. Οὐ καθάπαξ γέγονεν, ἀλλὰ «παρὰ σ⟨ο⟩ῦ». Καὶ πάλιν Μωϋσῆς· «ἐγὼ δὲ ἄλογός εἰμι»[2], ὡς πρὸς σέ, τὸν λόγον τὸν ἀληθινόν· οὐδὲ γὰρ «ἄλογον» γενόμενον παιδευτὴν καὶ στρατηγὸν καὶ νομοθέτην ἐξελέγετο. Τρόπον τινὰ καὶ τὸ «ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος»[3] ταύτην ὑποβάλλει τὴν διάνοιαν, καὶ ὁ Ἀβραὰμ ἔτι «ἠρξάμην λαλῆσαι πρὸς τὸν Κύριον· ἐγὼ δέ εἰμι γῆ καὶ σποδός»[4].

32 Ἐπερ( )· «ῥήματα Ἐκκλησιαστοῦ»[5] ἐκ προσώπου τοῦ συνγραφέως;

Κυρίως μὲν ἐπὶ τῶν «θεοπνεύστων γραφῶν»[6] συνγραφεύς ἐστιν τὸ πνεῦμα τὸ ὑποβαλὸν αὐτὸ λαληθῆναι, ὑπηρετεῖται δὲ ὑπό τινος σοφοῦ· οὐδὲ γὰρ τὸ πνεῦμα ἀοράτως ἐχάραξεν τὰ γράμματα καὶ τὰς λέξεις ἔθηκεν, ἀλλ' ἐνβάλλει ψυχῇ τινι ταῦτα. Καὶ ἤτοι αὐτός ἐστιν ὁ γράφων αὐτὰ ὁ Σολομὼν ἢ τῶν σοφῶν τινες ἔγραψαν αὐτά. Καὶ τάχα μᾶλλον τούτῳ ἀρέσκομεν, ἵνα μὴ δόξῃ τις περὶ αὐτοῦ λέγειν τὸν λέγοντα ταῦτα.

«Ῥήματα» οὖν, ἀντὶ τοῦ λόγοι, «Ἐκκλησιαστοῦ»[7] εἰσιν.

Πολλαχῶς γὰρ τὰ ῥήματα δια...ων λαμβάνονται. Ὡς ἔστιν, ὅτε

34 ... ⟨πολ⟩λῶν λόγ⟨ων⟩ ἐ⟨πακούσαντες⟩ ..... ⟨λ⟩έ⟨γουσιν⟩ ..... ⟨οὐδ⟩ὲ⟨ν⟩ πρὸς λόγον δι⟨αιροῦσι⟩ν. Τὸ ῥῆμα λέγομεν τὴν βραχυλ⟨ογίαν⟩ ..... μα..... την δε ....[ε]..... ..ης .....ν .....αι λόγος, ὅταν ⟨π⟩άλιν λέ⟨γῃ⟩ ῥῆμα .....ει εἰς τὸν εἰ⟨πό⟩ν⟨τα⟩· «δ⟨ώσε⟩ι κύριος ῥῆμα τοῖς εὐαγγελιζομένοις»[8], ... ⟨λ⟩όγο⟨ν⟩..... δ⟨έχον⟩τ⟨αι⟩ ουδ... περὶ ..... ⟨οἷο⟩μα⟨ι⟩ εἰπεῖν· κύριος «ἐγένετο πρὸς τὸν Ἰηρεμίαν»[9]· ...υ ..... νεκ... ..... αὐτόν.

36 Καὶ δύναται ἐκ παραλλήλου, ὅτι ἀπὸ τῶν βραχειῶν ἄρχεται ὁ μελετῶν τελείου λόγου πειραθῆναι, ἀντὶ τοῦ Ἐκκλησιαστοῦ λόγοι «ῥήματα Ἐκκλησιαστοῦ»[10].

Ἐν Ἐκκλησιαστοῦ μὲν κατὰ τὴν ἐπίνοιαν τοῦ Ἐκκλησιαστοῦ.

Ὡς ἔστιν γνῶναι «κατὰ σάρκα»[11] Χριστὸν καὶ μηκέτι «κατὰ σάρκα»[12],— ἐὰν αὐτὸς μάλιστα ᾖ[ν] ὁ Ἐκκλησιαστὴς ὁ νῦν, λέγει τὰς παραβολὰς τοῖς πολλοῖς «τοῖς ἔξω»[13] ὀχλεύουσιν, «ἐκκλησιαστής» ἐστιν· εἰ δὲ «ἐπιλύει» τὰς παραβολὰς ἔνδον «τοῖς μαθηταῖς»[14] εἰσωτερικῷ λόγῳ, οὐκέτι ἐκκλησιαστής ἐστιν, ἀλλὰ Σολομὼν τὸ Ἆσμα τῶν Ἀσμάτων ᾄδων, τοὺς ὑπερκοσμίους λόγους, τοὺς ἀνάγοντας εἰς «βασιλείαν οὐρανῶν»[15].

38 Ῥήματα Ἐκκλησιαστοῦ.

---

1. Πρβλ. Ψαλ. 72,22. 2. Ἐξ. 6,12. 3. Ψαλ. 21,7. 4. Γεν. 18,27. 5. Ἐκκλ. 1,1. 6. Πρβλ. Β' Τιμ. 3,16. 7. Ἐκκλ. 1,1. 8. Ψαλ. 67,12. 9. Πρβλ. Ἱερ. 1,1. 10. Ἐκκλ. 1,1. 11. Ρωμ. 1,3. 12. Αὐτόθι. 13. Μάρκ. 4,11. 14. Πρβλ. Μάρκ. 4,34. 15. Πρβλ. Ματθ. 13,11.

Εἶπον ὅτι διττῶς λέγεται «τοῦ Δαυὶδ υἱὸς»[1] καὶ κατὰ παίδευσιν καὶ κατὰ γένος. Καὶ οὐχ ἡ υἱὸς αὐτοῦ ἐστιν λέγει ταῦτα, ἀλλ' ἡ υἱὸς σοφοῦ σοφός, ἐπεὶ ἠδύνατο καὶ ὁ Ἀβεσσαλὼν εἰπεῖν ταῦτα γεγονὼς μὲν καὶ αἰσθητὸς βασιλεὺς καὶ ἀπὸ τούτου.

Αἰσθητικοῦ δὲ Ἰσραὴλ τοῦ ἔχοντος νοῦν ὁρῶντα Θεὸν βασιλεύς ἐστιν, οὐδὲ νοητοῦ Ἰσραὴλ βασιλεύς ἐστιν. Καὶ οὐκ ἐν τῷ τυχόντι τόπῳ, ἀλλ' «ἐν τῇ Ἱερουσαλὴμ»[2] βασιλεύς· βασιλεύσει δὲ καὶ ἐν τῇ ἀνωτέρῳ, τῇ πνευματικῇ, τῇ ὁρώσῃ τὴν εἰρήνην πόλει.

Καὶ τοῦτο δὲ πρὸς τοῖς εἰρημένοις ἔτι λεχθήτω, ἐπεὶ πολλάκις τινὲς ψευδογραφοῦσι βιβλία καὶ καταχρῶνται προσηγορίαις.

40 Ὁ Κλήμης γοῦν πολλὰ λέγει· ἐργωδῶς βιβλία ψευδεπίγραφα παρέστησεν διὰ πολλῶν. Πολλὰ γὰρ καὶ ἀναγνοὺς καὶ μνημονεύων ὁ ἀνὴρ καὶ ἐπιστάμενος ἔδειξεν ὅτι προσέθηκαν βιβλίοις ἀλλοτρίοις τινὲς ἀλλόκο[τ]τά τινα. Ἔνιοι δὲ καὶ ὅλους λόγους συντάξαντες ἀνέγραψαν. Διὰ τοῦτο γοῦν καὶ ὁ ἡμέτερος λόγος ἀπαγορεύει τὴν ἀνάγνωσιν τῶν ἀποκρύφων, ἐπεὶ πολλὰ ἐψευδογραφήθη. Καὶ γράψας τις ἐπέγραψεν αὐτὸ Εὐαγγέλιον εἰ τύχοι κατὰ Θωμᾶν ἢ κατὰ Πέτρον.

Καὶ καλόν τις ἀρχαῖος ἐπίσκοπος εἶπεν ἐκκλησιαστικός· διὰ τοῦτο, φησίν, κωλύομεν τὴν ἔντευξιν τῶν ἀποκρύφων διὰ τοὺς μὴ δυναμένους διαστέλλειν τὰ ἐν αὐτοῖς καταμιγέντα ὑπὸ ἐθ⟨ν⟩ικῶν. Καὶ λέγει καθόλου λόγον πρὸς τοὺς φιλονείκους καὶ λέγοντας ὅτι δεῖ αὐτὰ ἀναγιγνώσκειν, καὶ λέγει· εἰ μὲν τὰ αὐτὰ λέγουσιν τοῖς δημοσιευομένοις, ἔχομεν ἀναντιρρήτως τὰ δημοσιευόμενα καὶ οὐ **42** προσδιαλαμβάνομεν αὐτοῖς τὰ δυνάμενα ἀντίρρησιν ἔχειν. Εἰ δὲ τῷ ὄντι οὐ τὰ αὐτὰ τοῖς δημοσιευομένοις λέγουσιν, παραιτητέα αὐτὰ ἡγούμεθα.

Διὰ τὴν δυναμένην οὖν ἐκ ψευδεπιγραφίας ἀπάτην γενέσθαι, κεῖται καὶ τὸ γένος καὶ ἡ ἀρχὴ καὶ τὸ ἔθνος καὶ ἡ πόλις· συνδραμεῖν δὲ ἅμα πάντα ἀδύνατόν ἐστιν.

Ὁ Σολομὼν οὗτος ὁ Ἐκκλησιαστής, ἢ «Ἐκκλησιαστής» ἐστιν, «ῥήματα» προσφέρει «υἱὸς» ὢν «τοῦ Δαυὶδ βασιλέως Ἰσραὴλ ἐν Ἱερουσαλήμ»[3].

Κατάλληλα τούτῳ τῷ βασιλεῖ .... περὶ τῆς φύσεως εἰπεῖν, ἵνα τῷ ἔχοντι νοῦν ὁρῶντα ὁμιλῶν ἀναβιβάσῃ ἄλλους ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ νοητά.

44 Τῶν γὰρ Θεοῦ ποιημάτων τὰ μὲν «ὁρατά», τὰ δὲ «ἀόρατα»[4]. Καὶ τὰ μὲν «ὁρατὰ» «πρόσκαιρά» ἐστιν καὶ «βλεπόμενα», τὰ δὲ «ἀόρατα» «αἰώνια» τυγχάνει[5].

Ἐνταῦθα οὖν περὶ τῶν «ὁρατῶν» καὶ «προσκαίρων» ποιεῖται προηγουμένως τὸν λόγον· δι' ὃ καὶ «ματαιότητα ματαιοτήτων»[6] αὐτὰ ὠνόμασεν, οὐ καθ' αὑτὰ λοιδορῶν αὐτά, ἀλλὰ παραθέσει τῶν νοητῶν

---

1. Πρβλ. Ἐκκλ. 1,1. 2. Ἔνθ' ἀν. 3. Ἔνθ' ἀν. 4. Πρβλ. Κολ. 1,16. 5. Πρβλ. Β' Κορ. 4,18. 6. Πρβλ. Ἐκκλ. 1,2.

καὶ ὑπερκοσμίων. Πολλάκις γοῦν καὶ εἰσαχθείς τις εἰς παίδευσιν καὶ ἐν τοῖς εἰσαγωγικοῖς ἀναστραφεὶς λόγοις καὶ ἐνεργήσας, ὡς ἐνδέχεται, καὶ προκόψας πολὺ ἐν αὐτοῖς, ὅταν εἰς τὴν ἀνωτέρω γένηται σοφίαν, λέγει 'οὐδὲν ἤδειν πρότερον'. Καὶ τὸ οὐδὲν ἐν συνκρίσει τῶν μειζόνων λέγεται.

Ἐὰν οὖν περὶ τῶν ὁρατῶν δημιουργημάτων λέγῃ, τῆς διακοσμήσεως τοῦ κόσμου, «ματαιότητα ματαιοτήτων»[1] αὐτὰ λέγει ὡς πρὸς τὴν νοητὴν οὐσίαν, ὡς πρὸς τὸν Θεόν, **46** ὡς πρὸς τοὺς «ἀγγέλους», τὰς «ἀρχάς», τὰς «ἐξουσίας»[2] κἂν λέγηται ἥλιος ὁρατός, ὡς πρὸς τὸν «τῆς δικαιοσύνης»[3] «ματαιότης» καὶ οὐδέν ἐστιν· καὶ ἐὰν λέγηται πέτρα αἰσθητὸς ποτίσασα τὸν τῶν Ἰουδαίων λαὸν ἐν τῇ ἐρήμῳ[4] ὡς πρὸς τὴν «πνευματικὴν πέτραν»[5], αὕτη δέ ἐστιν οὐδέν, «ματαιότης» ἐστίν.

Οὐ λοιδοροῖ οὖν τὴν κτίσιν.

Ἐπερ( )· περὶ τῆς διακοσμήσεως ταύτης;

Οὐ πάντως μὲν περὶ τούτου· οὐδὲ γὰρ ταῦτα τὰ πάντα ἐστίν, ἀλλὰ καὶ τὰ δι' αὐτῶν δηλούμενα. Ἐὰν καὶ περὶ τῆς διακοσμήσεως μόνης ἐκλαβεῖν θέλωμεν τὸ «εἶδεν ὁ Θεὸς πάντα ὅσα ἐποίησεν, καὶ ἰδοὺ καλὰ λίαν»[6], οὐκ ἀφῄρηνται τῆς ἐλαττώσεως τὰ συνκρίσει μειζόνων λεγό- **48** μενα ὑποδεέστερα καὶ «μάταια»· καὶ λέγω γε ὡς πρὸς τὰ [προς τα] νοητὰ καὶ ἀόρατα ποιήματα ἡ κτίσις ἡ τοῦ Θεοῦ ἡ ὁρατὴ εὐτελής ἐστιν· αὐτὴ δὲ καθ' ἑαυτὴν μεγάλη ἐστίν· «ἐκ μεγέθους» γοῦν «καλλονῆς καὶ κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖται»[7].

Οὕτω πολλάκις εἰσὶν ἐπιστῆμαι διὰ συμβόλων δεικνύμεναι· καὶ αὐτά γε τὰ σύμβολα καθ' ἑαυτὰ μεγάλα ἐστίν, παρατιθέμενα δὲ τοῖς Θεοῦ ῥήμασιν τοῖς διὰ υἱῶν δηλουμένοις φαίνονται βραχύτατα εἶναι. Καὶ εἰ πᾶς λόγος βραχύτερός ἐστιν τοῦ Θεοῦ ῥήματος τοῦ διὰ Υἱοῦ δηλουμένου, ἀλλ' οὐκ ἤδη ὅτι βραχύς ἐστιν· ὡς πρὸς ἐκεῖνο καθάπαξ ἐστὶν βραχύς. Κἂν τοίνυν «καλὰ λίαν»[8] ᾖ[ν] τὰ φαινόμενα ἐν τῇ διακοσμήσει, ἁπλῶς πρὸς τὰ ὑπερκόσμια τὸ οὐδέν εἰσιν. Καὶ ἵνα ἐξ ἀποστολικοῦ λάβω· ὁ «ποτιζόμενος γάλα» διὰ τὸ «νήπιος» εἶναι «ἐν Χριστῷ» καὶ «σάρκινος»[9], λαμβάνει τι μετὰ τὸ «γάλα» τοῦτο.

50 Ἐπερ( )· ὡς πρὸς τίνας οὖν ὁ λόγος, τοὺς μεγάλα τὰ μηδὲν νομίζοντας ἢ πρὸς τοὺς ἀναβεβηκότας;

Τοὺς ἐκκλησιαζομένους· ἐν τοῖς ἐκκλησιαζομένοις δέ εἰσιν αὐτὰ ταῦτα τὰ εἰσαγόμενα παιδευόμενοι, καὶ ἄλλοι παιδευόμενοι αὐτά, ἵνα δι' αὐτῶν προβῶσιν ἐπὶ τὰ μείζονα.

⟨Ἐπερ( )·⟩ οὐκ ἐρεῖς ἐν ἑκάστῳ τόπῳ προβλήματος εἶναι καὶ ἀρχομένους καὶ τελειωθέντας;

---

1. Πρβλ. Ἐκκλ. 1,2. 2. Πρβλ. Ρωμ. 8,38. Ἐφ. 1,21. 3. Πρβλ. Μαλ. 3,20. 4. Πρβλ. Ψαλ. 77,15. 5. Πρβλ. Α' Κορ. 10,4. 6. Γεν. 1,31. 7. Πρβλ. Σ. Σολ. 13,5. 8. Γεν. 1,31. 9. Πρβλ. Α' Κορ. 3,1-3.

Εἰσὶν δὲ ἀρχόμενοι, εἰσὶν δὲ καὶ οὕτω τελειωθέντες, ὡς εἰς τὸ δεύτερον λοιπὸν ἔχειν μεταβῆναι· τοὺς μὲν οὖν διδάσκει καταφρονεῖν τῶν «ματαίων», τοὺς δὲ παιδεύει δι' αὐτῶν προβαίνειν καὶ ἐπὶ τὰ μείζω σπεύδειν, ὥστε ἂν εἰπεῖν «σκοπούντων ἡμῶν οὐ τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα»[1]. Πλὴν ἀμφότερα ὁ τοιοῦτος σκοπεῖ.

52 Ὅταν διάφορα — μείζονα καὶ ἐλάττονα — τῷ αὐτῷ προσώπῳ λέγηται, δοκεῖ ἀντικείμενα εἶναι.

Οὐ δύναται γοῦν ἅμα καὶ κατὰ τὸν αὐτὸν καιρὸν ἀμφοτέρων ἐν ἐπιστήμῃ εἶναι. Ὅταν δὲ πρὸς πλῆθος λέγῃ, Παῦλος γοῦν γράφει Κορινθίοις ὅλῃ τῇ ἐκκλησίᾳ· «εὐχαριστῶ ὅτι ἐν παντὶ ἐπλουτίσθητε ἐν αὐτῷ παντὶ λόγῳ καὶ πάσῃ γνώσει»[2]. Οὐ λέγει· «γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα»[3]. Οἱ «γάλα» ποτιζόμενοι μὴ δυνάμενοι «βρῶμα» δέξασθαι, ὅτι «οὔπω δύνασθε»[4], οὐχ οἱ αὐτοί εἰσιν, οἷς λέγει ὅτι «εὐχαριστῶ ὅτι ἐν παντὶ ἐπλουτίσθητε»[5], ἐπεὶ ἀντικείμενά ἐστιν.

Εἶτα πάλιν ἀποδεχόμενος ἐπὶ τελειότητι «Θεοῦ σοφίαν»[6] λέγειν, τοῖς τοιούτοις λέγει· «ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία καὶ τοιαύτη πορνεία, ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν»[7]· **54** καὶ ἔτι διαβάλλει ὡς ἀγνοοῦντας τὸν περὶ τῆς ἀναστάσεως λόγον καὶ τὴν θεωρίαν τῶν πνευματικῶν νοημάτων[8].

Εἰ πρὸς ἕνα οὖν καὶ τὸν αὐτὸν κατὰ τὸν αὐτὸν χρόνον ἐλέγετο, μαχόμενα ἦν, ⟨ἃ ἂν⟩ φανῇ πλήθει ἀπαγγελλόμενα.

Οὐκ ἔχει μὲν οὕτω καὶ τὰ ἐνταῦθα λεγόμενα ὑπὸ τοῦ Ἐκκλησιαστοῦ τῇ ἐκκλησίᾳ, οὐδὲ πάντα τὰ ἀπαγγελλόμενα ἐν τῷ βιβλίῳ τούτῳ ἑνὶ καὶ τῷ αὐτῷ προσώπῳ ἐφαρμόσαι δεῖ, ἀλλὰ ὅλῳ πλήθει ἐκκλησίας· πλὴν καὶ οἱ ὑπεραναβεβηκότες διὰ τῶν αἰσθητῶν παιδεύονται καὶ διὰ τοῦτο «Ἐκκλησιαστοῦ» δέονται.

56 ⟨Ἐπερ( )·⟩ οὐ λέγεις τοὺς «μαθητὰς» Ἰησοῦ ἐν τοῖς [εν τοις] «ὄχλοις» «τοῖς ἔξω» παρεῖναι, ὅτι αἱ παραβολαὶ ἐλέγοντο;[9]

Μὴ ὡσαύτως ἐκινήθησαν· ἀμέλει γοῦν εἰς τὴν «πνευματικὴν» Ἰησοῦ εἰσβαλόντες «οἰκίαν»[10] καὶ τῶν εἰσωτερικῶν κατακούσαντες. Λοιπὸν ερω..... περὶ τῶν παραβολῶν ἔγνωσαν ὅτι ἄλλο τι παρὰ τὴν λέξιν σημαίνεται ἀπὸ τούτου. Ἔνιοι δὲ τάχα ἐκινήθησαν μόνον, ἄλλοι δὲ καὶ κατέμειναν ἐν τῇ ἱστορίᾳ.

Περὶ ἑνὸς οὖν καὶ τοῦ αὐτοῦ προσώπου, ἐὰν λέγῃ ταῦτα, μαχόμενά εἰσιν καὶ ἐναντία· ἐν δὲ πλήθει οἷον πόλεως ἢ ἐκκλησίας ἢ δήμου οὐκ εἰσὶν μαχόμενα. Καὶ αὐτοῦ τοῦ ἀποστόλου φωνὴν λαβέ· «τοῖς ἀνόμοις», λέγει, «γέγονα ἄνομος, τοῖς Ἰουδαίοις Ἰουδαῖος, τοῖς πᾶσιν γέγονα πάντα»[11]. Μὴ ἑκάστῳ κατὰ τὴν αὐτὴν ὥραν «πάντα».

---

1. Β' Κορ. 4,18. 2. Α' Κορ. 1,4-5. 3. Α' Κορ. 3,2. 4. Πρβλ. ἔνθ' ἀν. 5. Α' Κορ. 1,4-5. 6. Α' Κορ. 2,7. 7. Α' Κορ. 5,1. 8. Πρβλ. Α' Κορ. 12,1. 15,12. 9. Πρβλ. Ματθ. 13,34-35. Μάρκ. 4,11. 10. Πρβλ. Α' Πέτρ. 2,5. 11. Πρβλ. Α' Κορ. 9,20-22.

58 «Μ α τ α ι ό τ η ς μ α τ α ι ο τ ή τ ω ν»[1] εἶπεν ὁ 'Εκκλησιαστής.

Οὐ λέγει ὅτι εἶπεν ὁ Σολομών, ἀλλ' «ὁ 'Εκκλησιαστής». Οὐχ ὅτι ἕτερος καὶ ἕτερός ἐστιν τῇ ὑποστάσει, ἀλλὰ τῇ ἐπινοίᾳ· ἢ «'Εκκλησιαστής» ἐστιν, ταῦτα λελάληκεν.

'Επερ( )· ἤρκει; τὸ «ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης»[2];

Τοῦτο λέγει· τῶν «ματαίων» ἐστὶν διαφορά· τὰ μὲν ἐπιτεταμένως ἐστὶν τοιαῦτα, τὰ δὲ οὐχ οὕτως.

Καὶ ἄκουε τοῦ παραδείγματος· οἱ τῶν «ματαίων» ἀρχὴν παιδεύσεως λαμβάνοντες ..μ.....δε.....βαινων .πο τῶν αἰσθητῶν πάντες ἀντίληψιν ἔχομεν ...ιν δε α..... .....ουν ....**60**φιαι οὐκ ἐκβαίνουσαι τὰ αἰσθητὰ κακ. .μ..... ..ε ....ο. ματαιοτήτων ..... ἐπιτεταμένη ματαιότης «ματαιότητός» ἐστιν «ματαιότης», ὡς ἐὰν λέγῃς ἐπιστήμη ἐπιστημῶν, ἀρετὴ ἀρετῶν.

Εἰ καὶ διαφορὰν ἔχει ἡ «ματαιότης» τὴν ῥηθεῖσαν, ὡς ἄρτι, πεῖραν λαμβάνουσιν τῶν ἐναντίων καὶ προκεκοφότων ἐν αὐτοῖς, πλὴν «τὰ πάντα ματαιότης»[3] ἐστίν.

'Επερ( )· περὶ τοῦ αὐτοῦ;

Περὶ ἀμφοτέρων, τῶν τε ἁπλῶς ματαίων καὶ τῶν «ματαιοτήτων» ὄντων «ματαιοτήτων». Καὶ τὰ ἐπιτεταμένα ἐν τῷ μάταια εἶναι καὶ τὰ ἧττονα μάταια «πάντα» μ‹άτ›αιά εἰσιν πρὸς αὐτὴν τὴν ἀλήθειαν.

62 Τὸ ἀρτίτοκον βρέφος καὶ τὸ παιδίον καὶ τὸ μειράκιον ἀτελῆ εἰσιν, πλὴν πρὸς τὸν βούπαιδα ἀτελῆ εἰσιν, πλὴν «πάντα» ἀτελῆ εἰσιν ὡς πρὸς τὸν ἄνδρα.

'Εστιν σκοπὸς παιδεύσεως τὸ «λαλῆσαι σοφίαν ἐν τοῖς τελείοις»[4]. «Μάταιά» ἐστιν τῷ εἰρημένῳ τρόπῳ τὸ παιδεύειν τοὺς «'Ιουδαίους», «ἵνα κερδήσῃ»[5] αὐτοὺς ὁ παιδεύων, καὶ τὸ «ὑπὸ νόμον» γίνεσθαι, ἢ «ἄνομος» γίνεσθαι[6]. Ταῦτα διαφορὰν πολλὴν ἔχει πρὸς ἑαυτά. «Πάντα» δὲ — ὡς πρὸς τὴν ὀρθὴν παίδευσιν, καθ' ἣν δύναταί τις «πάντα ἄνθρωπον παραστῆσαι τέλειον τῷ Χριστῷ»[7] — «τοῖς πᾶσιν γέγονεν»[8]. Οὗτος «τέλειός» ἐστιν πρὸς αὐτούς. Πάντες οἱ ἄλλοι παιδευταὶ ἀτελεῖς εἰσιν.

Κἂν ὁ αὐτὸς οὖν ὅλα ἔχῃ, ἄλλον ἄλλῃ ἐπινοίᾳ λαμβάνομεν.

64 'Επερ( )· οὐκ ἔλεγεν «ματαιότητα ματαιοτήτων»[9] τὰ «ὁρατὰ» καὶ αἰσθητά[10];

Μὴ ὡσαύτως ὁρᾷ τὸν ἥλιον ὁ ἰδιώτης καὶ ὁ μαθηματικός. Καὶ τὸ μαθηματικῶς ἰδεῖν τὸν ἥλιον καὶ τὸ κατὰ φυσιολογίαν πολὺ ὑποβέβηκεν «τοῦ Θεοῦ τοῦ ἀοράτου»[11] καὶ τῆς γνώσεως τῆς παρὰ Θεοῦ.

---

1. 'Εκκλ. 1,2. 2. 'Ενθ' ἀν. 3. 'Ενθ' ἀν. 4. Πρβλ. Α' Κορ. 2,6. 5. Πρβλ. Α' Κορ. 9,20. 6. Πρβλ. Α' Κορ. 9,20-21. 7. Πρβλ. Κολ. 1,28. 8. Πρβλ. Α' Κορ. 9,22. 9. Πρβλ. 'Εκκλ. 1,2. 10. Πρβλ. Κολ. 1,16. 11. Κολ. 1,16.

Καὶ θεώρει, «διότι τὸ γνωστὸν τοῦ Θεοῦ φανερόν ἐστιν»[1]. Ὁ τὴν «δύναμιν» τοῦ Θεοῦ τὴν «ἀΐδιον» καὶ τὴν «θειότητα» ἐκ τῶν «νοουμένων»[2] καταλαμβάνων ὁμοίως τὰ ὁρώμενα καὶ αὐτὸ τὸ παραδεικνύμενον ἐξ αὐτῶν — λέγω δὴ τὴν θείαν «δύναμιν» — ἐκδέχεται.

66 Ἡ σπουδὴ ἡ περὶ τὰ «μάταιά» ἐστιν τὸ οὕτω ζῆν καὶ οὕτω πολιτεύεσθαι, ὡς ἐν τοῖς ὁρωμένοις ἀναστρεφόμενον καὶ ἐν τῷ ὁρᾶν τὸν ἥλιον· ὡς πρὸς τὸ καθαρᾷ καρδίᾳ τὸν Θεὸν ὁρᾶν[3], «μάταιά» εἰσιν.

Καὶ ἵνα ἀπὸ τῶν Γραφῶν εἴπω· νενομοθέτηται περιτομή· καὶ οὐ πάντες ἴσασιν τὴν ἔννοιαν τῆς ῥητῆς περιτομῆς· ἄλλοι γὰρ ἄλλως αὐτὴν ἐκλαμβάνουσιν καὶ αἰτίᾳ διαφόρῳ· πλὴν ἡ ταύτης θεωρία καὶ κατάλημψις ὡς πρὸς τὴν «ἐν καρδίᾳ περιτομὴ⟨ν⟩»[4] «ματαιότης» ἐστίν. Ἡ γὰρ «ἐν καρδίᾳ περιτομή»[5], αὕτη ἡ καθαρότης, ἐκείνη οὔ.

⟨Ἐπερ( )·⟩ διὰ τί γίνεται;

Ἡ δὲ αἰσθητή, οἷως ἐὰν γένηται, διὰ τὴν πρωτότυπον γίνεται. Καὶ ἡ μὲν διδασκαλίας ἕνεκα, ἐκείνη δὲ ἕνεκα τοῦ ἰδεῖν αὐτὴν καὶ κατ' αὐτὴν πεποιῶσθαι.

68 Τίς περισσεία τῷ ἀνθρώπῳ ἐν παντὶ μόχθῳ, ᾧ μοχθεῖ ὑπὸ τὸν ἥλιον[6];

Καὶ ἔλεγον ὅτι ἐπιστήσας τῇ αἰσθητῇ διακοσμήσει καὶ τοῖς σπουδαζομένοις καὶ ἐπιτηδευομένοις τοῖς ἀνθρώποις· νῦν οὖν περὶ τῶν σπουδαζομένων τοῖς ἀνθρώποις λέγει ἐπιτηδευμάτων.

Καὶ λέγει ὅτι τί πλέον ἔχει ὁ «μοχθῶν ὑπὸ τὸν ἥλιον»[7]; Μὴ γὰρ ὁ σπεύδων συναγαγεῖν πλοῦτον ἐκ τοῦ συναγαγεῖν πλοῦτον πλέον τι ἔχει· ἢ ἄνθρωπός ἐστιν, μένει θνητός, δεχόμενος νόσους, ὑποκείμενος πάθεσιν.

Καὶ φανερά ἐστιν ταῦτα καὶ ἐξ αὐτῆς τῆς αἰσθήσεως ὅτι οὐδὲν πλέον ἔχουσιν οἱ πλουτοῦντες τῶν ἐπαινουμένων κατὰ τὰ φυσικά. Μὴ γὰρ πολυχρονιώτεροι γίνονται[8]. **70** Οἱ πλούσιοι καὶ οἱ πένητες ἐν ταὐτοῖς εἰσιν, ταχέως παρερχόμενοι τὸν βίον καὶ ἐπιμένοντες οὐ πολὺν χρόνον.

«Ἐν παντὶ» οὖν «ᾧ μοχθεῖ ὁ ἄνθρωπος ὑπὸ τὸν ἥλιον»[9] οὐδὲν πλέον ἔχει, οὐ γίνεται αὐτῷ προσθήκη φύσεως.

Ὁ δὲ «μοχθῶν» καὶ σπουδάζων περὶ ἐκεῖνα τὰ ἀνάγοντα εἰς τὰ «αἰώνια», εἰς τὰ «μὴ βλεπόμενα»[10], πλέον τι ἔχει· ἐξ ἀνθρώπου γίνεται Θεὸς καὶ ἐξ ὀλιγώρου καρτερὸς καὶ ἐκ δειλοῦ ἀνδρεῖος.

Ἐπερ( )· οὐδὲν οὖν ἔχει πλέον ὁ «μοχθῶν»;

Καὶ αὐτὸς «ὑπὸ τὸν ἥλιόν»[11] ἐστιν ταύτην ἔχων τὴν ζωήν. Οἱ δὲ «ἐν οὐρανοῖς» ἔχοντες «τὸ πολίτευμα»[12] ὑπὲρ τὸν ἥλιον τὸν αἰσθητὸν

---

1. Ρωμ. 1,19. 2. Πρβλ. Ρωμ. 1,20. 3. Πρβλ. Ματθ. 5,8. 4. Πρβλ. Ρωμ. 2,29. 5. Ἔνθ' ἀν. 6. Ἐκκλ. 1,3. 7. Πρβλ. Ἐκκλ. 1,3. 8. Πρβλ. Ἐπιστ. Ἱερ. 46. 9. Πρβλ. Ἐκκλ. 1,3. 10. Πρβλ. Α' Κορ. 4,18. 11. Ἐκκλ. 1,3. 12. Φιλιπ. 3,20.

γεγένηνται· ἐπεὶ ἀποστραφέντες τὰ «πρόσκαιρα» καὶ ἐν τοῖς «αἰωνίοις»[1] γεγενημένοι τοῖς μὴ φαινομένοις, ὑπὲρ τὸν ἥλιόν εἰσιν.

72 Οὐ λέγω ὑπὲρ τὸν ἥλιον τοῦτον, ὅτι μείζονές εἰσιν, ἀλλὰ ἄνω τὴν ζωὴν ἔχουσιν.

Ὁ ἀὴρ «ὑπὸ τὸν ἥλιόν»[2] ἐστιν καὶ ἡ γῆ. Οἱ κατὰ τὴν γῆν τοίνυν καὶ τὸν ἀέρα ζῶντες καὶ βιοῦντες «ὑπὸ τὸν ἥλιόν»[3] εἰσιν.

Οὐ γὰρ μαίνομαι, ὡς τινες λέγουσιν, ὅτι ὁ ἄνθρωπος μείζων ἐστὶν τοῦ ἡλίου. Τοῦτο λέγουσιν, ὅτι δοῦλος, φησίν, ἐστιν τοῦ ἀνθρώπου. Οὐ πάντως δὲ ὁ δουλεύων ἐλάττω⟨ν⟩ ἐστὶν ἐκείνου, ᾧ δουλεύει[4]. Παῦλος δὲ γράφει ὅτι «ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ Χριστόν»[5]· μὴ γάρ, εἰ δοῦλοί εἰσιν τῶν παιδευομένων οἱ παιδευταί, ἐλάττους αὐτῶν εἰσιν. Ἀγαθῇ προαιρέσει τοῦτο πράττουσιν· «τῇ ἀγάπῃ δουλεύουσιν ἀλλήλοις»[6] οἱ ἅγιοι.

74 ⟨Γενεὰ πορεύεται καὶ γενεὰ ἔρχεται,⟩ καὶ ἡ γῆ εἰς τὸν αἰῶνα ἕστηκεν[7].

Τοῦτο λέγει· οὐδεὶς τῶν «μοχθούντων ὑπὸ τὸν ἥλιον»[8] περισσόν τι ἔχει, ὥστε παραμεῖναι μέχρι τῆς «συντελείας τοῦ κόσμου»[9]. Ἐκ διαδοχῆς ὑφίστανται οἱ ἄνθρωποι· τῶν δὲ Θεοῦ δημιουργημάτων ταῦτα [δε] ⟨μὲν⟩ συνεχῆ εἰσιν καὶ ἀδιάστατα, τὰ δὲ διεστηκότα καὶ ἐκ διαδοχῆς ἔχοντα τὴν ὕπαρξιν· οἷον ὁ ἥλιος, ἀφ' οὗ γέγονεν καὶ ἐς ὅσον θέλει αὐτὸν ὁ Θεός, ὁ αὐτός ἐστιν.

Ἐὰν δὲ λέγω πάλιν τὸν ἄνθρωπον ἀεὶ μένειν, οὐχ ἕνα καὶ τὸν αὐτὸν λέγω, ἀλλ' ὅλην τὴν διαδοχήν. Οὕτω καὶ περὶ τῶν ἄλλων θνητῶν ζῴων καὶ φυτῶν· ἡ πρώτη «γενεὰ πορεύεται» εἰς θάνατον, ἄλλη «ἔρχεται»[10] γεννωμένη.

76 Ἀλλ' «ἡ γῆ εἰς τὸν αἰῶνα ἕστηκεν»[11]. «Εἰς τὸν αἰῶνα» δὲ τοῦτον λέγει, περὶ οὗ λέγεται· «συντέλεια τοῦ αἰῶνος»[12].

Κατὰ ἀναγωγὴν δὲ λέγομεν τοῦτο· πολλαχοῦ τῶν θείων παιδευμάτων ἑτέρως λέγεται ἡ «γενεά». Ὡς τὸ «γενεὰ σκολιὰ καὶ διεστραμμένη»[13]· λέγει δὲ τὴν Ἰουδαϊκήν. Καὶ «ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη»[14], ἡ ἀπὸ τῶν ἐθνῶν. Λέγει οὖν ὅτι ἡ παλαιὰ ἡ Ἰουδαϊκὴ «πορεύεται», «ἔρχεται» δὲ ἀντ' αὐτῆς ⟨ἡ τῶν εἰς Χριστὸν πιστευσάντων»[15]· αὕτη⟩ τῆς «γῆς», καθ' ἣν διατρίβουσιν ἡ ἀπελθοῦσα καὶ ἡ ἐρχομένη, «εἰς τὸν αἰῶνα» μένει. Ἔστιν δὲ αὕτη ἡ «θεόπνευστος γραφή»[16].

78 Ἐπερ( )· τί οὖν πρὸς τὸ «τίς περισσεία ἐν παντὶ μόχθῳ»[17]; Εἰς ἄλλο θεώρημα ἑρμηνευθέν, ἐὰν πρὸς τὴν ἱστορίαν αὐτὸ λαμ-

---

1. Πρβλ. Β' Κορ. 4,18. 2. Ἐκκλ. 1,3. 3. Ἔνθ' ἀν. 4. Πρβλ. Γεν. 25,23. Ρωμ. 9,12. 5. Πρβλ. Β' Κορ. 4,5. 6. Πρβλ. Γαλ. 5,13. 7. Ἐκκλ. 1,4. 8. Πρβλ. Ἐκκλ. 1,3. 9. Πρβλ. Ματθ. 13,49. 10. Ἐκκλ. 1,4. 11. Ἔνθ' ἀν. 12. Πρβλ. Ματθ. 13,39. 13. Δευτ. 32,5. Πρβλ. Φιλιπ. 2,15. 14. Ψαλ. 21,31. 15. Πρβλ. Γαλ. 2,15-16. 16. Πρβλ. Β' Τιμ. 3,16. 17. Ἐκκλ. 1,3.

βάνῃς, τοῦτο λέγει ὅτι, ἐπεὶ «γενεὰ πορεύεται», καὶ «γενεὰ ἔρχεται»[1]· «πορεύεται» δὲ ἡ θανάτῳ φθειρομένη, «ἔρχεται» δὲ ἡ γεννωμένη· οὐδὲν πλέον ἕξει ὁ ἄνθρωπος ἐκ τοῦ «μοχθεῖν», ἢ ἀπέρχεται ἢ ἔρχεται.

Καὶ ἡ γῆ εἰς τὸν αἰῶνα ἕστηκεν[2].

Τοῦτο λέγει ὅτι ἡ «γῆ» αὕτη, ἐφ' ἣν διατρίβουσιν αἱ διαδοχαὶ τῶν γενομένων, μένει «μέχρι τῆς συντελείας»[3], «ἕως ἂν παρέλθῃ» μετὰ τοῦ «οὐρανοῦ»[4]· «εἰς τὸν αἰῶνα» τοῦ αἰῶνος «ἕστηκεν»[5] τοῦτον· καὶ εἰ «συντέλεια» γίνεται, καὶ περιγράφεται ὁ αἰών.

80 Καὶ ἀνατέλλει ὁ ἥλιος καὶ δύνει ὁ ἥλιος ⟨καὶ εἰς τὸν τόπον αὐτοῦ ἕλκει⟩[6].

Ἔλεγον ὅτι διχῶς ἐκλαμβάνεται τὰ «μάταια» καὶ ἡ «ματαιότης τῆς ματαιότητος»[7], ἅπαξ μὲν ἐπὶ τῆς διακοσμήσεως τῆς αἰσθητῆς, ἑτέρως δὲ ἐπὶ τῶν ἐπιτηδευμάτων τῶν ἀνθρωπίνων.

Εἶπεν τὰ περὶ τῶν ἐπιτηδευμάτων λέγων ὅτι οὐδὲν «περισσείας» ἔχει ὁ «μοχθῶν ὑπὸ τὸν ἥλιον»[8], ἀλλὰ τοῖς αὐτοῖς ὑπόκειται, οἷς καὶ ὁ μὴ μοχθῶν.

Λοιπὸν περὶ τῆς ὁρωμένης κτίσεως λέγει, ⟨περὶ⟩ ἧς καὶ ὁ ἀπόστολος λέγει· «τὰ βλεπόμενα πρόσκαιρα»[9]· καὶ λέγει· «ὁ ἥλιος ἀνατέλλει καὶ δύνει»[10], καὶ οὐδὲν πλέον.

Πάλιν ἑξῆς τοῦτο γίνεται· καὶ «ἐπὶ κύκλους αὐτοῦ ἐπιστρέφει»[11], «κυκλοῖ πρὸς βορρᾶν»[12], ἔρχεται εἰς «νότον»[13] καὶ «κυκλοῖ κυκλῶν τὸ πνεῦμα»[14] καὶ «ἐπὶ κύκλους αὐτοῦ ἐπιστρέφει»[15].

82 «Πνεῦμα»[16] δὲ νῦν λέγει ἤτοι τὴν ὡσανεὶ ψυχὴν τοῦ ἡλίου ἢ αὐτὸν τὸν ἥλιον.

Λοιπὸν ἄκουε· τινὲς τῶν ἐπιπολαιοτέρων ἀνθρώπων καὶ μὴ φυσιολογούντων μηδὲ τὰ αἰσθητὰ ποιησάντων μηδὲ τὰ ἀνθρώπινα πράγματα οἴονται ὅτι οὐ κατὰ περιστροφὴν κυκλικὴν ὁ ἥλιος ἀνύει τὴν πορείαν ἑαυτοῦ, ἀλλὰ οὕτω λέγουσιν· ἔνθεν, λέγει, ἔρχεται καὶ ἀνακάμπτει καὶ ὑπάγει «εἰς τὸν τόπον»[17]. Ὧδε λέγει ὅτι «ἐπὶ κύκλους αὐτοῦ»[18] πορεύεται.

Ἐν τῷ Ἔσδρᾳ δὲ τοῦτο ἔτι σαφέστερον τὸ θεώρημα φυσικὸν ὂν ἀποδείκνυται· «μεγάλη ἡ γῆ καὶ ὑψηλὸς ὁ οὐρανὸς καὶ ταχὺς τῷ δρόμῳ ὁ ἥλιος, καὶ στρέφεται ἐν τῷ κύκλῳ τοῦ οὐρανοῦ καὶ πάλιν ἀνατρέχει εἰς τὸν ἑαυτοῦ τόπον ἐν μιᾷ ἡμέρᾳ»[19].

Τοῦτο λέγει οὖν· εἰ καὶ ἔχει τι περικαλλὲς τὸ θεώρημα τοῦτο φυσικὸν ὂν τὸ κατὰ τὸν ἥλιον, ἀλλὰ καὶ αὐτό, ἐπεὶ **84** αἰσθητόν ἐστιν καὶ τῆς

---

1. Ἐκκλ. 1,4. 2. Ἕνθ' ἀν. 3. Πρβλ. Ματθ. 28,20. 4. Πρβλ. Ματθ. 5,18. 5. Ἐκκλ. 1,4. 6. Ἐκκλ. 1,5. 7. Πρβλ. Ἐκκλ. 1,2. 8. Πρβλ. Ἐκκλ. 1,3. 9. Β' Κορ. 4,18. 10. Ἐκκλ. 1,5. 11. Ἐκκλ. 1,6. 12. Ἕνθ' ἀν. 13. Ἕνθ' ἀν. 14. Ἕνθ' ἀν. 15. Ἕνθ' ἀν. 16. Ἐκκλ. 1,6. 17. Ἐκκλ. 1,5. 18. Ἐκκλ. 1,6. 19. Α' Ἔσδρ. 4,34.

ὧδε διακοσμήσεως, «ματαιότης ματαιοτήτων»[1] ἐστὶν ὡς πρὸς τὴν ἄνω διακόσμησιν, ὡς πρὸς τὸν «ἥλιον τῆς δικαιοσύνης»[2].

Ὁ «ἥλιος τῆς δικαιοσύνης»[3] ἀνατέλλει ἐν ψυχῇ· ἡ ἀρχὴ δὲ τῆς ἀνατολῆς αὐτοῦ εἰσαγωγικώτερά ἐστιν καὶ φωτισμὸς εἰσαγωγικώτερος. Ὅταν δὲ στραφῇ περὶ ὅλην τὴν ψυχὴν καὶ ὅλην αὐτὴν φωτίσῃ ὡς μηδὲν λοιπὸν ἔξω φωτὸς εἶναι, τότε γέγονεν ἐν τελείῳ φωτισμῷ. «Δύνει»[4] γὰρ πολλάκις, ἵνα αὖθις «ἀνατείλῃ»[5]· κατὰ γὰρ προκοπὴν δύσις γίνεται καὶ ἀνατολή. Καὶ ἥνωται ἡ δύσις καὶ ἡ ἀνατολὴ σχέσει λαμβανομένη· ὁ πρότερος μὲν πρὸς τὸν προλαβόντα φωτισμὸν δύσις ἐστίν, ἀνατολὴ δὲ πρὸς τὸν ἀρχόμενον.

86 Ἀνατέλλων αὐτὸς ἐκεῖ ἐκπορεύεται πρὸς νότον καὶ κυκλοῖ πρὸς βορρᾶν[6].

Τὰ κλίματα λέγει, ἃ περιέρχεται. Ἀπὸ τῶν ἀνέμων τὰ κλίματα σημαίνεται. Ἀμέλει γοῦν οἱ μετροῦντες τὴν γῆν λέγουσιν ὅτι καὶ ἐπὶ βορρᾶ τόδε.

Τοῦτο οὖν λέγει ὅτι καὶ τὸ δυτικὸν καὶ τὸ μεσημβρινὸν καὶ τὸ ἑσπερινὸν κλῖμα διαπορεύεται, καὶ οὕτως ἔρχεται «εἰς τὸν τόπον»[7] τὸν ἑαυτοῦ κυκλικῶς φερόμενος. Καὶ τάχα «πνεῦμα»[8] αὐτὸν ὠνόμασεν, διὰ τὴν ὀξύτητα τοῦ δρόμου· οὐδὲν δὲ ὀξύτερον πνεύματός ἐστιν.

88 Κυκλοῖ κυκλῶν πορεύεται τὸ πνεῦμα[9].

Εἶπον δὲ ὅτι τὸ «πνεῦμα» ἢ διὰ τὴν ταχυτῆτα τῆς φορᾶς ἢ διὰ τὸ ἔχειν καὶ τὸν ἥλιόν τι οἱονεὶ νοῦν καὶ ψυχήν· καὶ τοῦτο σημαίνει διὰ τῆς τοῦ «πνεύματος» προσηγορίας.

90 Καὶ ἐπὶ κύκλους αὐτοῦ ἐπιστρέφει τὸ πνεῦμα[10].

«Ἐπὶ τοὺς ἑαυτοῦ κύκλους» «πορεύεται τὸ πνεῦμα»[11], ἐπεὶ καθ' ἑκάστην ἡμέραν ἕνα ποιεῖται «κύκλον». Πολλαί εἰσιν ἡμέραι τοῦ ἐνιαυτοῦ, πολλοί εἰσιν οἱ «κύκλοι». Ἀμέλει γοῦν ἀεὶ εἷς ὁ περιερχόμενος τὸν οὐρανὸν καὶ στρεφόμενος ἐν τῷ «κύκλῳ» αὐτοῦ τεταγμένῳ τὰς αὐτὰς ἐτησίους ὥρας ποιεῖ· μὴ γάρ εἰσιν μείζους καὶ ἐλάττονες. Κἂν γὰρ λέγωμεν ὅτι τὸ ἔαρ τοῦτο χειμερίζει ἢ μεθοπωρίζει τὸ θέρος, εἰς τὴν τοῦ ἀέρος σκοποῦμεν φύσιν· ἐπιτεταγμένως τοὺς αὐτοὺς ποιεῖ δρόμους, τὰς αὐτὰς ἡμέρας καὶ τοὺς αὐτοὺς μῆνας.

92 Πάντες οἱ χείμαρροι πορεύονται εἰς τὴν θάλασσαν, καὶ ἡ θάλασσα οὐκ ἔσται ἐμπιμπλαμένη· ⟨εἰς τόπον, οὗ οἱ χείμαρροι

---

1. Ἐκκλ. 1,2. 2. Μαλ. 3,20. 3. Ἔνθ' ἀν. 4. Ἐκκλ. 1,5. 5. Ἔνθ' ἀν. 6. Ἐκκλ. 1,6. 7. Ἐκκλ. 1,5. 8. Ἐκκλ. 1,6. 9. Ἔνθ' ἀν. 10. Ἔνθ' ἀν. 11. Πρβλ. ἔνθ' ἀν.

πορεύονται, ἐκεῖ αὐτοὶ ἐπιστρέφουσιν τοῦ πορευθῆναι)[1].

Καὶ τοῦτο πάλιν πρότερον καθ' ἱστορίαν ἐκδεκτέον. Οἱ «χείμαρροι» οὐκ εἰσὶν αὐτογενεῖς ποταμοί, οὐκ ἀπὸ πηγῆς ἔχονται τὴν ἀρχὴν ἀλλὰ ἀπὸ ὑετῶν. Πάντες οὖν οὗτοι ῥέουσιν «εἰς τὴν θάλασσαν» καὶ ἡ θάλασσα οὐ πλέον τι ὕδωρ φαίνεται ἔχουσα παρὰ τὸ ῥεῦμα τῶν «χειμάρρων».

Παρέμιξεν οὖν ὡς κατὰ τὴν ἱστορίαν βιαιόν τι, ἵνα καὶ ἀναγωγὴν λάβῃ ὁ λόγος. Καὶ οὐ ψιλὸν τοῦτο τέθηκεν, ἀλλ' ὅτι «οἱ χείμαρροι» «εἰς τόπον», ὅποθεν ὁρμῶνται, πάλιν ἀνακάμπτουσιν, ὅπερ οὐ γίνεται κατὰ ἱστορίαν.

94 Ὅμως δέ, ἐπεὶ καὶ τῷ ῥητῷ ὡς οἷόν τέ ἐστιν δεῖ συναγορεύειν, κατὰ τὸ ἐνδεχόμενον εἰδῶμεν ὡς ἐπὶ ἱστορίας.

Καὶ τοῦτο δὲ ἱστέον, ὅτι ἡ καθόλου πρότασις οὐκ ..... καθόλου λαμβάνεται, ἀλλ' ἐνίοτε ἐπὶ τῶν ὡς ἐπὶ πλεῖον.

Ὅταν γὰρ λέγῃ ὁ ἀπόστολος· «οἱ γὰρ πάντες τὰ ἑαυτῶν ζητοῦσιν»[2], μὴ «πάντας» ἀνθρώπους λέγει· Τιμόθεος μὴ τὰ ἑαυτοῦ ἐζήτει, Τίτος, Λουκᾶς, οἱ ἀπόστολοι οἱ ἄλλοι. Τὸ καθόλου οὖν ὧδε ἀντὶ τοῦ οἱ πλεῖστοι.

Καὶ πολλά γέ ἐστιν τοιαῦτα ἐν τῇ Γραφῇ φερόμενα· ὡς ἐὰν λέγῃ· «πάντες ἐξέκλιναν»[3]· ὅλως αὐτὸς ὁ Δαυίδ· οὐκ ἦν ἐκκλίνας Νάθαν δὲ ὁ προφήτης ἐν ταῖς ἡμέραις αὐτοῦ ὤν.

Καὶ ἐνταῦθα οὖν δύναται. Κἂν μὴ «πάντες εἰς τὴν θάλασσαν»[4] ῥέωσιν ἀλλ' ἐν τῇ ξηρᾷ ἔνιοι ἀναλίσκονται, τοὺς πλείστους λέγει.

96 Τούτων οὖν τῶν «χειμάρρων» ῥεόντων τὸν ἴδιον ὄμβρον «εἰς τὴν θάλασσαν» οὐκ αὔξεται ἡ «θάλασσα», «οὐκ ἐμπίμπλαται»[5]· πάλιν γὰρ δέχεται.

Εἶτα ἄλλο λέγει· «εἰς τόπον», φησίν, «οὗ οἱ χείμαρ[μ]⟨ρ⟩οι πορεύονται, ἐκεῖ αὐτοὶ [αυτοι] ἐπιστρέψουσιν»[6].

Οὐ δύνανται δὲ «ἐπιστρέφειν»· ἐξ ὀρῶν γὰρ φέρονται καὶ μίσγονται «εἰς τὴν θάλασσαν». Πῶς οὖν «ἐπιστρέφουσιν»;

Κατὰ τὸ δυνατὸν οὖν συναγορεύσομεν καὶ ἐν ταύτῃ τῇ λέξει τῷ ῥητῷ.

Ἐπεὶ γὰρ γίνονται ἀναθυμιάσεις ἐκ τῆς θαλάσσης καὶ συνίστανται ὄμβροι καὶ ὑετοί, δύναται οὕτω λέγειν ὅτι, εἰ καὶ ῥέουσιν «οἱ χείμαρροι εἰς τὴν θάλασσαν», καὶ αὐτὴ «οὐκ ἐμπίμπλαται»[7], ἀλλὰ τότε ἀναθυμιάσεις γίνονται ἀπ' αὐτῆς· ὑγρότης τρόπον τινὰ οἱ «χείμαρροι» εἰσιν οἱ ἀναπορευόμενοι.

Βίαιον οὖν ἐστιν τὸ τοῦ ῥητοῦ.

98 Λοιπὸν οὖν ἑτέρως αὐτὸ ἐκλάβωμεν.

---

1. Ἐκκλ. 1,7. 2. Φιλιπ. 2,21. 3. Ψαλ. 13,3. Ρωμ. 3,12. 4. Ἐκκλ. 1,7. 5. Πρβλ. Ἐκκλ. 1,7. 6. Ἐκκλ. 1,7. 7. Πρβλ. Ἐκκλ. 1,7.

Πάντες οἱ καταφερόμενοι ὕψοθεν «εἰς τὴν θάλασσαν» φέρονται.

Ἡ «θάλασσα» δὲ πολλάκις ὁ τῶν ἀνθρώπων βίος ὠνομάσθη διὰ τὴν ἁλμυρίδα καὶ κ.....ν καὶ ζάλην τὴν οὖσαν ἐν αὐτῷ.

Δοκοῦντες οὖν γλυκεῖς εἶναι[1] καὶ διὰ τοῦτο «χείμαρροι» προσαγορευόμενοι· ὅταν εἰς τὰ κάτω βρίσωσιν, «εἰς τὴν θάλασσαν πορεύονται»[2]. Καὶ «οὐκ ἐνπίμπλαται ἡ θάλασσα»[3] ἀποδεχομένη τοὺς καταπίπτοντας, **100** ὅ⟨τι, ἐὰν κάτω⟩ γ[ε]ίνων⟨ται αὐτοί,— ὅ⟩τε «ἐπιστρέφ⟨ουσιν», τ⟩ότε ⟨ο⟩ὐ μέν⟨ουσ⟩ιν ἐκ⟨ε⟩ῖ —, οὐκ ἐκθαλατ-τοῦ⟨νται⟩.

⟨Ἐπεὶ δὲ⟩ πνευματικά ἐσ⟨τιν⟩ τὰ λεγόμενα, ⟨λοιπὸν⟩ καὶ ἐξ ⟨ἄ⟩λλης γραφῆς ἄκουε· «οἱ καταβαίνοντες», φησίν, «εἰς τὴν θάλασσαν ἐν πλοίοις καὶ ποιοῦντες ἐργασίαν ἐν ὕδασιν πολλοῖς αὐτοὶ εἶδοσαν τὰ ἔργα Κυρίου καὶ τὰ θαυμάσια αὐτοῦ ἐν τῷ βυθῷ»[4].

«Καταβαίνοντας εἰς τὴν θάλασσαν» λέγει ψυχάς· «ἐν πλοίοις», τοῖς σώμασιν· καὶ «ποιοῦσιν ἐργασίαν» ἐν τῷ ἅλατι τοῦ ὕδατος τούτου· οὐδὲ γὰρ καταγίνονται, οὐ βυθίζονται.

102 Κἂν γένωνται γοῦν «ἐν τῷ βυθῷ», «τὰ ἔργα καὶ θαυμάσια τοῦ Κυρίου»[5] κἀκεῖ θεωροῦσιν. Καὶ ὥσπερ «ἀναβαίνει» τις τῇ διανοίᾳ «εἰς οὐρανόν»[6], ὅταν τὰ ἐκεῖ περιαθ[λ]⟨ρ⟩ῇ καὶ σκοπῇ, οὕτω κάτεισίν τις εἰς τὸν «βυθὸν» ταύτης τῆς «θαλάττης», ὅταν τὴν φύσιν αὐτῆς διερευνᾶται καὶ «τὰ κρίματα αὐτοῦ»[7], καθ' ἣν τινες καταφέρονται.

Καὶ οἱ μὲν καταπίπτουσιν, οἱ δὲ κατίασιν προαιρετικῶς, ἵνα καὶ τοῖς βυθίσουσιν βοηθήσωσιν. Οὗτοι οὖν εἰσιν οἱ «χείμαρροι» οἱ «ἐπιστρέφοντες εἰς τὸν τόπον»[8] ἐκεῖνον, ἀφ' οὗ ὡρμήθησαν συνκαταβαίνοντες.

Ἐπερ( )· ἵνα ὁτὲ μὲν λέγουσιν ψεκτῶς, ὁτὲ δὲ κατιέναι ἐπαινετῶς;

Ναί, ἐπαινετῶς τότε «ἐπιστρέφουσιν εἰς τὸν τόπον»[9] τὸν ἴδιον. **104** Π..ον γὰρ .....μαρ....ν ἔξω τοῦ οἰκείου τόπου ἐστίν;— ὁ τόπος δέ ἐστιν τοῦ λο....υ τὸ εὖ πράττειν, τὸ διὰ ἔργων καλὰ ἐνεργεῖν. Ὅταν οὖν ἐκπέσῃ τῆς τοιαύτης καταστάσεως, ἔξεδρος γέγονεν τοῦ οἰκείου τόπου. Ὅταν δὲ ἀνακάμψῃ, εἰς τὴν ἀρχαίαν ἔρχεται κατάστασιν.

Ἐπερ( )· ἔχομεν τὸν «χείμαρρον» καὶ ἐπαινετῶς καὶ ψεκτῶς;

Ναί, ἔχεις γοῦν· «περιέσχον με ὠδῖνες θανάτου καὶ χείμαρροι ἀνομίας ἐξετάραξάν με»[10]. Λέγεται γοῦν καὶ ἐνικῶς «χείμαρρος» ἀντὶ πειρασμοῦ· «χείμαρρον διῆλθεν ἡ ψυχὴ ἡμῶν»[11].

Καὶ ἔτι ἐν τῷ Ἄσματι τῶν Ἀσμάτων λέγει· «κατέβην ἐν γενήμασι τοῦ χειμάρρου ἰδεῖν εἰ ἤνθησεν ἡ ἄμπελος, εἰ ἤνθησαν αἱ ῥόαι»[12]. Ἐπαινετός ἐστιν· καρπὸν γὰρ ἔχει γένημα. Ἔτι δὲ καί· «ἤνθησαν αἱ ῥόαι, ἤνθησεν ὁ κυπρισμός»[13].

---

1. Πρβλ. Παρμ. 27,7. 2. Ἐκκλ. 1,7. 3. Πρβλ. ἔνθ' ἀν. 4. Ψαλ. 106,23-24. 5. Πρβλ. Ψαλ. 106,24. 6. Πρβλ. Ψαλ. 106,26. Ρωμ. 10,6. 7. Ρωμ. 11,3. 8. Πρβλ. Ἐκκλ. 1,7. 9. Ἐκκλ. 1,7. 10. Ψαλ. 17,5. Πρβλ. Β' Βασ. 22,5-6. 11. Ψαλ. 123,4. 12. Ἆσμ. 6,11. 13. Ἆσμ. 7,13.

106 Καὶ τελεστὶ λέγει ἡ νύμφη πρὸς τὸν νυμφίον· «ἐκεῖ δώσω τοὺς μαστούς μου σοί»[1], ὅταν ἐν ταύτῃ τῇ «καρποφόρῳ γῇ»[2].....

Οἱ «μαστοὶ» δὲ πολλάκις ἀντὶ τοῦ ἡγεμονικοῦ καὶ τοῦ στήθους λαμβάνονται. Διὰ τοῦτο γὰρ καὶ τῷ ἱερεῖ τὸ «στηθύνιον» δέδοται καὶ ὁ «βραχίων»[3]. Καὶ σημαίνει μὲν ὁ «βραχίων» τὴν ἰσχύν, τὸ δὲ «στῆθος» τὴν διάνοιαν. Ἐκεῖ γὰρ τὸ ἡγεμονικὸν ...αι ὡς πολλοῖς ἔδοξεν· διὰ τοῦτο καὶ ὁ Ἰωάννης «ἐπὶ τὸ στῆθος τοῦ Ἰησοῦ»[4] ἀνακλιθεὶς τὰ θεῖα μυστήρια ἐκεῖθεν αὐτὰ ηὗρεν.

Ἔστιν ἐπαινετὸς οὖν ὁ λόγος.

Εἰς τόπον, οὗ οἱ χείμαρροι πορεύονται, ἐκεῖ αὐτοὶ ἐπιστρέφουσιν τοῦ πορευθῆναι[5].

..... καὶ ....σιον ὁρμὴν τὴν ἐπὶ τῆς ε..... ..ης λαμβάνει· τὸ γὰρ «πορεύεσθαι» ..... σημαίνει.

108 ⟨Πάντες ο⟩ἱ λόγοι ἔγκοποι[6] ⟨· οὐ δυνήσεται ἀνὴρ τοῦ λαλεῖν⟩.

«Πᾶς λόγος ἔ⟨γκοπ⟩ός»[7] ἐστιν.

Οὐ θετέον ἐ⟨στίν, ὅτι τὰ ὑπὸ σοφῶν ἀπ⟩αγγελλόμενα, ⟨ὡς εἶπ⟩έν τις — ⟨δῆλον δὲ ὅ⟩τι Λεύκιππος .... — «ἔν⟨κοπα πάντα». Ὅτε σοφοὶ δὲ⟩ ψ⟨υχ⟩ὰς ἐγείρουσιν «ἐ⟨γκόπ⟩οις ⟨λό⟩γο⟨ις», τότε⟩ θετέον ἐ⟨στὶν ὅτι «πᾶς⟩ λό⟨γος ἔγκοπος»⟩[8].

110 ⟨Το⟩ὺς ...οντας ἄξιόν τι λέγει. Οὗτοι ⟨οὖ⟩ν ⟨οἱ «λόγοι»⟩ «ἐνκοποί» εἰ⟨σιν⟩. Ἐπ⟨ε⟩ὶ γὰρ ὑ⟨πὸ σοφοῦ τινος καὶ οὐχ ὑπὸ τῶν οὔ⟩ποτε φρονίμων προηνέχθη⟨σαν⟩, ἔχουσίν τι βαθύ, ἔχουσιν ⟨«κόπον»⟩.

⟨Τοιοῦτοι «λόγοι»⟩ ε⟨ἰσὶ⟩ν ἢ μετ' αἰνιγμοῦ[ς] ἀπαγγελλόμεν⟨οι ἢ⟩ παροιμιωδῶς ἢ τρόπῳ π⟨αραβολῆς ἢ ἁπαξ⟩απλ⟨ῶ⟩ς σκοτ⟨ε⟩ινῷ λόγῳ, καὶ «πάντες ἔνκοπ⟨οί⟩»[9] εἰσιν.

112 Καὶ οἱ παρ' Ἕ⟨λλ⟩ησιν οὖν ⟨«λόγοι» ἔχουσιν⟩ πολὺν «κόπον», πολλοὶ κάμνουσιν περὶ αὐτούς· πολλῷ πλέον οἱ «ἐρευνῶντες» τὰς ἡμετέρας «γραφὰς»[10] κάμνουσιν.

Καὶ συνελόντι φάναι· πᾶν τὸ ἀγαθὸν καὶ καλὸν σὺν πόνῳ κτᾶται καὶ ἱδρῶτι.

Ἐπεὶ οὖν καὶ οἱ ἄλλοι «λόγοι» ποτὲ προσποιοῦνται καλοὶ εἶναι, ὅταν τεχνικῶς καὶ πιθανῶς ὦσιν κεκτημένοι, καὶ οὗτοι «ἔνκοποί» εἰσιν.

«Οὐ δυνήσεται» οὖν ἄρχειν «τοῦ λαλεῖν»[11], ἐὰν μὴ κάμῃ περὶ αὐτῶν. Προχείρως οὐ δύναται αὐτοὺς εἰπεῖν, ἵνα τὸ λαλεῖν τὸ ἀληθῶς λαλεῖν λέγωμεν. Πολλάκις γοῦν τοῖς ἀδολέσχουσιν λέγομεν ὅτι οὐδὲν λέγεις, οὐδὲν λαλεῖς.

114 Ἐπερ( )· τὸ «ἔνκοπον» ἐν τῇ Γραφῇ κεῖται;

---

1. Ἆσμ. 6,11. 7,13. 2. Πρβλ. Ψαλ. 106,34. 3. Πρβλ. Ἐξ. 29,26-27. 4. Ἰω. 13,25. 5. Ἐκκλ. 1,7. 6. Ἐκκλ. 1,8. 7. Πρβλ. ἔνθ' ἀν. 8. Ἔνθ' ἀν. 9. Ἐκκλ. 1,8. 10. Πρβλ. Ἰω. 5,39. 11. Ἐκκλ, 1,8.

Ναί· λέγει γοῦν ὁ Ἰώβ· «εἰς κόπον ἐποιήσατε ψυχήν μου καὶ καθαιρεῖτέ με λόγοις»[1]· οὕτως τὸ «ἔνκοπον» ὧδε ἐκ λόγων πάλιν ἀναντιρρητικῶς γέγονεν.

Οὐ δυνήσεται ἀνὴρ τοῦ λαλεῖν[2].

Οὐχ ὡς δεῖ αὐτοὺς λέγει.

Τοῦτο δὲ κυρίως ἐστὶν λαλεῖν τὸ τὰ πράγματα ἀπαγγέλλειν, αὐτίκα γοῦν τοῖς μὴ λέγουσιν ὡς δεῖ τὰ πράγματα, λέγουσιν οὐδὲν ἀληθείας καίπερ μυρία εἰρηκόσιν.

116 Παράδοξός τις γνώμη φέρεται Προδίκου ὅτι 'οὐκ ἔστιν ἀντιλέγειν '... λέγει, τοῦτο παρὰ τὴν γνώμην καὶ τὴν δόξαν τῶν πάντων ἐστίν· πάντες γὰρ ἀντιλέγουσιν καὶ ἐν τοῖς βιωτικοῖς καὶ ἐν τοῖς φρονουμένοις.

Δογματικῶς λέγει ἐκεῖνος ὅτι 'οὐκ ἔστιν ἀντιλέγειν'.

Εἰ γὰρ ἀντιλέγουσιν, ἀμφότεροι λέγουσιν· ἀδύνατον δέ ἐστιν ἀμφοτέρους λέγειν εἰς τὸ αὐτὸ πρᾶγμα. Λέγει γὰρ ὅτι μόνος ὁ ἀληθεύων καὶ ὡς ἔχει τὰ πράγματα ἀγγέλων αὐτὰ οὗτος λέγει. Ὁ δὲ ἐναντιούμενος αὐτῷ οὐ λέγει τὸ πρᾶγμα, οὐκ ἀληθεύει.

Παράδοξος .. λέγεται ἡ γνώμη, ἐπεὶ παρὰ τὴν τῶν πάντων δόξαν ἐστίν· πάντες ἀντι..... ..... ἀντιλογίας.

118 ⟨Καὶ οὐκ ἐμπλησθή⟩σεταί ὁ ὀφθαλμὸς τοῦ ὁρᾶν[3].

Καὶ τοῦτο πάλ[ε]ιν βούλεται δεῖξαι «μάται⟨ο⟩ν», ὡς .... ντες οὐκ ἐπιτρέπουσιν, ⟨ἕως⟩ ἂν ⟨τ⟩έλ⟨ε⟩ιός τις ᾖ[ν].

Καὶ «ἀνήρ» ἐστιν «λ⟨α⟩λεῖν ⟨οὐ δυνάμενος»⟩.

Ἡ περὶ λόγους σπουδή, ἕω⟨ς⟩ Κύριός τι ἀποκαλύψ⟨ε⟩ι[4], ἕως αὐτὸς φανερώσει τι,— ὁ ⟨δὲ «ἀνὴρ» λόγ⟩ου⟨ς ποιούμ⟩ενος νομίζοι ὅτι, κἂ⟨ν κοπιᾷ⟩ περὶ λόγους, κατορθοῖ αὐτούς—, «μά⟨ται⟩όν» ἐσ⟨τιν. Λέγει γάρ· «ἐὰν μὴ Κύριος⟩ οἰκοδομήσῃ οἶκον, ⟨εἰς μάτην ἐ⟩κοπίασαν· ἐὰν μὴ φυλάξῃ ⟨πόλιν⟩, εἰς ⟨μάτην ἠγρύπνησεν ὁ φ⟩υλάσσων»[5].

120 Οὐκοῦν ⟨ματαίως ἐκοπί⟩ων περὶ λόγους, ἐὰν μὴ Θεὸς φανερώ⟨σ⟩ῃ. Καὶ ⟨ἕως ..... αὐτ⟩ῷ ἀποκαλύψ⟨ει, «εἰς μάτ⟩η⟨ν» ὁ⟩ «ἀνὴρ» λαλεῖ.

Καὶ ἄλλο λέγ⟨ε⟩ι «μάταιο⟨ν»· «ὁ ὀφθαλμὸς οὐκ ἐμπλήσε⟩ται»[6]· ὁρῶν ἀεὶ θέλει ⟨πλέον ὁρᾶν· ἀ⟩εὶ ἐνεργῶν καὶ μηδέποτε τέλο⟨ς ἔχων «εἰς μάτην» ὁρᾷ⟩.

.... ⟨π⟩αραδειγμ⟨α⟩ ....ανων ... ⟨κ⟩αταskευὴν ο..... ....κια.....αφος ν..... ....οτ....καφος· εἰσὶν δὲ ⟨μάτ⟩αια ....ν ὁ ὀρχο⟨ύ⟩με-

---

1. Πρβλ. Ἰώβ 19,2. 2. Ἐκκλ. 1,8. 3. Ἔνθ' ἀν. 4. Πρβλ. Ματθ. 11,27. Λουκ. 10,22. 5. Ψαλ. 126,1. 6. Πρβλ. Ἐκκλ. 4,8.

νος ε..... .....αι ἔχει τὴν ἐνέργ⟨ε⟩ιαν παῦσαι ...ν ο.... .... πάντα τέλος ἐστὶν ..... α....ς.

122 Ἐπεὶ τοίνυν καὶ ὁ «ὀφθαλμ⟨ὸς⟩ ἀεὶ ⟨βλέπων «οὐκ ἐμπ⟩λη-ροῦται», καὶ τοῦτο «μάταιόν» ⟨ἐστιν⟩.

⟨Καὶ⟩ ἐπ⟨ε⟩ὶ τὰ περὶ τῶν «χειμάρρων» ⟨ἀλ⟩ληγ⟨ορικῶς ..... οὕτω⟩ ῥητέον [καὶ] περὶ τούτου. Λ⟨έγεται δὲ ὀφθαλμ⟩μὸς ψυχῆς ὁ νοῦς αὐτῆς. Ὅτα⟨ν οὖν⟩ ἐκ⟨ε⟩ῖνα ..... ⟨μὴ ὁ⟩ Θεὸς φανεροῖ, ματαίω⟨ς βλέπει· οὐδέ⟩ποτε πληροῦται τῶν ⟨ὁρ⟩ατῶν[1].

1. Πρβλ. Κολ. 1,16.

ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΟΝ ΕΚΚΛΗΣΙΑΣΤΗΝ (Toura)

Β'*

26 Καὶ γλυκὺ τὸ φῶς καὶ ἀγαθὸν τοῖς ὀφθαλμοῖς τοῦ βλέπειν σὺν τὸν ἥλιον[1].

Οὐκ ὑπὸ φωτὸς δηλοῦται. Καὶ τὸ μὴ ὁρατὸν αὐτ⟨ὸ⟩ ἑαυτὸ φανεροῖ. Τοῦτο μέντοι Μωϋσῆς θεασάμενος καὶ εἰ⟨δ⟩ὼς ἄκρως ἔλεγεν· «ἐμφάνισόν μοι σεαυτὸν»[2]— οὐκ ἄλλος δὲ δύναταί μοι ἐμφανίσαι —, ὡς εἴ τις τῷ ἡλίῳ ἔλεγεν· «ἐμφάνισόν μοι σεαυτόν»[3]. Ἄλλο γὰρ οὐδὲν δύναταί σε δεῖξαι. Οὕτω καὶ ὁ Σωτὴρ ἐν εὐαγγελίοις ἔλεγεν· «ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με· ὁ δὲ ἀγαπῶν με ἀγαπηθήσεται ὑπὸ τοῦ Πατρός μου, καὶ ἐμφανίσω αὐτῷ [ἑαυτῷ] ἐμαυτόν»[4]. Πάλιν «ἐμφανίζω», οὐκ ἄλλος με **28** δείκνυσιν. Ἀλλὰ λέγεις ὅτι ὁ Υἱὸς δείκνυσιν τὸν Πατέρα. Ἀλλὰ σκόπει ὅτι ἡ αὐτή ἐστιν Πατρὸς καὶ Υἱοῦ οὐσία· ὥσπερ γὰρ ὁ Πατὴρ δείκνυται ὑπὸ τοῦ Υἱοῦ, οὕτω καὶ ὁ Υἱὸς ὑπὸ τοῦ Πατρός· «ὁ ἑωρακώς ἐμέ», φησίν, «ἑώρακεν τὸν Πατέρα»[5]. Καὶ ὅρα ὅτι ἀποκαλύπτει ὁ Υἱὸς τὸν Πατέρα, ἀποκαλύπτει δὲ καὶ ὁ Πατὴρ τὸν Υἱόν. Παῦλος γοῦν λέγει ὡς «εὐδόκησεν ὁ Θεὸς[6] ἀποκαλύψαι τὸν Υἱὸν αὐτοῦ ἐν ἐμοὶ»[7] καὶ ὁ Πέτρος ἐμακαρίσθη «ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψεν»[8] αὐτῷ τὸν Υἱόν, ἀλλ' ὁ γεννήσας αὐτοῦ, οὐράνιος Πατήρ.

Καὶ ἐὰν ἔτη πολλὰ ζήσεται ὁ ἄνθρωπος, ἐν πᾶσιν οὖν εὐφρανθήσεται καὶ μνησθήσεται τὰς ἡμέρας τοῦ σκότους, ὅτι πολλαὶ ἔσονται[9].

Κἂν μυρία ἔτη ζήσῃ ὁ ἄνθρωπος, ἦ[ν] δὲ ἄνθρωπος φυλάττων τὸ «κατ' εἰκόνα καὶ ὁμοίωσιν»[10], καὶ οὕτω⟨ς⟩ **30** ὁ ἄνθρωπος ὡς εὐθὺς γέγονεν[11] ὥστε εἰδέναι τὴν εὐθύτητα τοῦ φωτὸς καὶ τὸ «πρωΐ σπείρειν» καὶ τὸ «ἑσπέρας μὴ ἀφιέναι τῇ χειρὶ μηδέν»[12], εὐφρανθήσεται.

Κἂν πολλὰ ἔτη ζήσεται, εὐφρανθήσεται[13].

«Ἔτη» δὲ «πολλὰ» γίνεται ἐκ περιόδου τοῦ «ἡλίου τῆς δικαιοσύνης»[14]. Ὡς γὰρ ὁ αἰσθητὸς ἥλιος περιοδεύων κύκλων τινὰς ἔτη καὶ

---

* Ἐκ τῶν ἐν Toura τῆς Αἰγύπτου ἀνακαλυφθέντων ἀποσπασμάτων τοῦ Διδύμου. Kommentar zum Ecclesiastes Lage 22 und 23 herausgegeben von Leo Liesenborghs, Köln 1965.

1. Ἐκκλ. 11,7. 2. Ἐξ. 33,13. 3. Αὐτόθι. 4. Ἰω. 14,21. 5. Ἰω. 14,9. 6. Πρβλ. Γαλ. 1,15. 7. Γαλ. 1,16. 8. Ματθ. 16,17. 9. Ἐκκλ. 11,8. 10. Γεν. 1,26. 11. Πρβλ. Ἐκκλ. 7,29. 12. Πρβλ. Ἐκκλ. 11,6. 13. Ἐκκλ. 11,8. 14. Πρβλ. Μαλ. 3,20.

ἐνιαυτοὺς κατασκευάζει, οὕτω καὶ «τὸ φῶς τὸ ἀληθινόν»[1]. Περὶ τούτων οὖν λέγει ὁ ἅγιος ὁ φωτισθεὶς ὑπ' αὐτοῦ· «ἔτη αἰώνια ἐμνήσθην καὶ ἐμελέτησα»[2]. Εἰ πρόσκαιρά ἐστιν πάντα τὰ καθ' ἡμᾶς[3], πῶς «αἰώνια ἔτη» ῥητέα ταῦτα τὰ παρ' ἡμῖν γινόμενα; Καὶ ἔτι· «ἐμνήσθην ἡμερῶν αἰωνίων[4], σύνετε γενεὰς γενεῶν»[5]. Ἐξ «αἰωνίων ἡμερῶν» κατασκευάζεται **32** τὰ «αἰώνια ἔτη».

«Κἂν πολλὰ» οὖν «ἔτη ζήσῃ ὁ ἄνθρωπος, εὐφρανθήσεται ἐν αὐτοῖς»[6], ἐὰν οὕτως ὡς ἄνθρωπος ἐνεργῇ, ἐὰν μὴ «συνπαραβληθεὶς» γέννηται, «κτηνώδης»[7], ἐὰν μὴ «ἵππος θηλυμανής»[8], «μὴ συνετὸς» κατὰ τὴν ἡμίονον[9].

Ἐπερ( )· τὸ «καὶ ἐάν»[10];

Ἐπεὶ οὐ πάντες ζῶσιν ταῦτα τὰ ἔτη· ἀλλ' οὐδὲ κατὰ φύσιν ὁ ζῶν ζῇ· ἀλλὰ ἐὰν θελήσῃ, ζῇ· κἂν τοῦτο οὖν ὑπαρχθῇ, «εὐφρανθήσεται»[11] ἐν πάσαις ταῖς ἡμέραις.

Ἐπὶ τοῦ ῥητοῦ οὖν οὐκ ἀναφέρεται τὸ ἀληθές· οὐκ, ἐὰν μυρία τις ἔτη ζήσῃ, «ἐν πᾶσιν αὐτοῖς εὐφρανθήσεται»[12], εἰ μὴ ἄρα οὕτως εἴποις· ὁ σοφὸς οὐκ ἐπὶ τοῖς ἡδέσιν **34** μόνοις χαίρει, ἀλλὰ καὶ ἐπὶ τοῖς ἀηδέσιν γενναίως αὐτὰ φέρων· «εὐλογήσω» γοῦν «τὸν Κύριον ἐν παντὶ καιρῷ»[13], λέγει, κἂν ἀηδῇ ᾖ[ν] τὰ περιεστηκότα, κἂν ἀνιαρὰ ᾖ[ν]· ὥσπερ ὁ Ἰὼβ ἐν παντὶ καιρῷ εὐφραίνετο.

Καὶ μνησθήσεται τὰς ἡμέρας τοῦ σκότους, ὅτι πολλαὶ ἔσονται[14].

Ὡς ἐπὶ τὸ πλεῖστον ὁ ἐν κακίᾳ ὢν οὐ μνημονεύει τῶν αἰωνίων φώτων, ὁ δὲ ἐν ἀρετῇ ὢν οἶδεν καὶ τὴν κακίαν καὶ μνημονεύει αὐτῆς· οὕτω γοῦν ἐκκλίνει ἀπ' αὐτῆς[15] ..... κ..... .....εχρ. .ρ. παρόντος ζῆν ἐνεργοῦσιν, ἀλλ' οἱ κακοὶ παραδίδονται καὶ μετὰ ταῦτα τῷ σκότῳ[16] καὶ τοῖς ἄλλοις ἀηδέσιν, ταῖς τιμωρίαις πάσαις. Ὁ μνημονεύων οὖν οὐ πειραθήσεται αὐτῶν.

36 Ἑτέρως δὲ τὸ μνημονεύειν λαμβάνομεν· λαμβάνομεν δὲ καὶ τὴν χρῆσιν πολλάκις μνήμην καὶ τὸ μὴ χρᾶσθαι ⟨λήθην⟩ [μνημην]· ὅταν γὰρ λέγῃ περὶ τῶν δικαίων τῶν τὰς θείας ἐπαγγελίας ἀπολαμβανόντων ὅτι «ἐπιλήσονται τῆς θλίψεως αὐτῶν τῆς πρώτης»[17], ἀντὶ τοῦ οὐ πειραθήσονται αὐτῆς· ἔτι «οὐδὲ ἐπέλθῃ αὐτῶν ἔτι ἐπὶ τὴν καρδίαν»[18]. Διὰ τί; «ἔσται γὰρ ὁ οὐρανὸς καινὸς καὶ ἡ γῆ καινή»[19]. Μεταστοιχειωθέντος τοῦ κόσμου καὶ τῶν ἐπαγγελιῶν ἀποδοθησομένων, οὐκέτι μνήμη ἔσται θλιβεροῦ. Καὶ οὕτως εἰώθαμεν λέγειν· ὅταν μεταβολὴ γένηται,

---

1. Ἰω. 1,9. 2. Ψαλ. 76,6. 3. Πρβλ. Β' Κορ. 4,18. 4. Πρβλ. Ἡσ. 63,11. 5. Πρβλ. Δευτ. 32,7. 6. Ἐκκλ. 11,8. 7. Πρβλ. Ψαλ. 48,13,21. 72,22. 8. Πρβλ. Ἱερ. 5,8. 9. Πρβλ. Ψαλ. 31,9. 10. Ἐκκλ. 11,8. 11. Ἔνθ' ἀν. 12. Ἔνθ' ἀν. 13. Ψαλ. 33,2. 14. Ἐκκλ. 11,8. 15. Πρβλ. Παρμ. 14,16. 16. Πρβλ, Ἰὼβ 24,14, 17. Πρβλ. Ἡσ. 65,16. 18. Ἡσ. 65,17. 19. Ἔνθ' ἀν.

λέγομεν λήθην τῶν προτέρων λαμβάνειν[1], κἂν ἀγαθὰ κἂν μὴ ἀγαθὰ ὦσιν. Λέγεται γοῦν· «ἐν ἡμέρᾳ ἀγαθῇ ἀμνηστία κακῶν»[2]. Μὴ γὰρ τοῦτο λέγει ὅτι ὁ 38 πειραθεὶς ἡμερῶν ἀγαθῶν καὶ φωτεινῶν ἐπελάθετο ὅτι πεπείραται κακῶν, ἀλλ' οὐκέτι οὕτω μνημονεύει αὐτῶν κατὰ πεῖραν.

5 Πᾶν τὸ ἐρχόμενον ματαιότης. Εὐφραίνου, νεανία, ἐν νεότητί σου, καὶ ἀγαθυνάτω σε ἡ καρδία σου ἐν ἡμέραις νεότητός σου, καὶ περιπάτει ἐν ὁδοῖς ἄμωμος καὶ ἐν ὁράσει ὀφθαλμῶν σου[3].

10 «Τὸ ἐρχόμενον» οὐκ ἔστιν αἰώνιον· πρόσκαιρά εἰσιν πρὸς ταῦτα τὰ βλεπόμενα τὰ ὁρατὰ δημιουργήματα· οὐ βλεπόμενα δὲ καὶ αἰώνια, ἃ σπουδάζουσιν ἔχειν οἱ ἅγιοι λέγοντες· «σκοπούντων ἡμῶν οὐ τὰ βλεπόμενα· τὰ γὰρ βλεπόμενα πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια»[4]. Εἰ αἰώνιά εἰσιν, οὐκ εἰσὶν μέλλοντα.

15 **40** Κἄν ποτε μέλλουσαν εἴπῃς ἀρετὴν ἢ γνῶσιν, παρ' ἡμᾶς τοῦτο γίνεται· εἰ μὴ γὰρ ἐγεγόνειμεν ἐν κακίᾳ ἢ ἐν ἀγνοίᾳ, οὐκ εἴχαμεν μέλλοντα φωτισμὸν ἢ μέλλουσαν ἁγαθοσύνην. Τῇ φύσει οὖν τὰ θεῖα ἔξω εἰσὶν τοῦ μέλλειν· ἀεὶ γὰρ ὄντα. Καὶ μέμνημαι ὅτι κέχρημαι τοιούτῳ παραδείγματί ποτε· ὁ μεταν..... ..ε.... ε.ει....ς
20 πάρεστιν δέ· ὧδε μέλλει. Καὶ ἐχρησάμην τοιούτῳ παραδείγματι ὅτι ἡμέρας οὔσης ἐν οἴκῳ τις θύραν κατακλείσας φραξάτω πᾶσαν ὀπήν, οὐ πάρεστιν αὐτῷ τὸ φῶς· πάρεστιν δέ.

Ἐὰν οὖν ἀνοίξῃ τὰς θυρίδας, ἐὰν τὴν ἄγνοιαν ἀποβάλῃ, εὑρίσκει παρὸν τὸ φῶς· ὥστε οὐ μέλλον ἐστίν.

25 **42** «Τὸ ἐρχόμενον»[5] οὖν πᾶν τοιοῦτόν ἐστιν· μάταιόν ἐστιν, τῆς τῶν ματαίων φύσεως. Μάταιον γὰρ οὐ λοιδορούμενον, εἰ μὴ ἐκ συγκρίσεως τῶν ὑπεραναβεβηκότων. Τοιαῦτα μὲν ἐλέχθη ἐν ἀρχῇ τοῦ βιβλίου· τότε δὲ παραδείγμασιν τοιούτοις ἐχρώμεθα ὅτι δᾷδα καὶ λαμπὰς φωτίζει· ὡς πρὸς τὸν ἥλιον δὲ καὶ τὸ φῶς ἐκεῖνο τὸ ἡλιακὸν ματαία ἐστὶν αὕτη, οὐ ψεγομένη ἀλλ' ὑποδεεστέρα.
30

Ἀμέλει γοῦν τινες θέλουσιν περὶ τῆς ἀρετῆς φρονεῖν, ἃ καὶ περὶ τῆς κακίας διανοοῦνται· εἴρηται γὰρ περὶ τῆς κακίας ὅτι «οὐδὲ ἦν ἐξ ἀρχῆς, οὐδὲ εἰς τὸν αἰῶνα ἔσται»[6]. Περὶ μὲν γὰρ τῆς εἰδωλολατρίας καὶ πορνείας εἴρηται, συνεκδοχικῶς δὲ **44** περὶ πάσης κακίας τοῦτο
35 ἐκλαμβάνεται καὶ λέγεται ὅτι ἡ «ἀδικία ἐψεύσατο ἑαυτήν»[7]. Τὸ «ψεύσασθαι» δέ, ὡς λέγομεν γῆν ἐψεῦσθαι, ὡς σῖτον, ὡς ἄμπελον[8]. Καὶ λέγουσίν τινες οἱ περὶ τὴν συνσποράν τῆς ψυχῆς ἔχοντες ὅτι ἡ ἀρετὴ τοιαύτη ἐστίν· οὐκ ὑφέστηκεν ἄνευ τοῦ ἐνεργοῦντος. Ψεῦδος

---

1. Πρβλ. Β' Πέτρ. 1,9. 2. Σ. Σειρ. 11,25. 3. Ἐκκλ. 11,8-9. 4. Β' Κορ. 4,18. 5. Ἐκκλ. 11,7. 6. Σ. Σολ. 14,13. 7. Ψαλ. 26,12. 8. Πρβλ. Ὡσ. 9,2.

δέ ἐστιν τοῦτο· ἐν τῷ Θεῷ γὰρ ἔστιν κἀκεῖθεν αὐτὴν ἀρυόμεθα· κἂν ἡμεῖς οὖν ἀποστῶμεν, ἔστιν ἐν Θεῷ τὸ ἀγαθόν. Τὸ δὲ κακὸν ἐὰν μὴ ἐνεργῇ τις, οὐκέτι ἔστιν.

Καὶ περὶ αὐτοῦ γοῦν τοῦ ἀρχεκάκου τοῦ μετὰ ἄρθρου ὀνομαζομένου πάντα τὰ κακὰ λέγεται· ⟨λέγεται⟩ γὰρ καὶ **46** ὁ πονηρὸς καὶ ὁ ἐχθρὸς καὶ ὁ θάνατος καὶ ὁ ἁμαρτωλός. Λέγεται γοῦν «σύντριψον τὸν βραχίονα τοῦ ἁμαρτωλοῦ καὶ πονηροῦ»[1], σύντριψον αὐτοῦ τὸ ἔργον «βραχίονα» ὀνομαζόμενον. Εἶτα εὐθέως λέγει· «ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ, καὶ οὐ μὴ εὑρεθῇ δι' αὐτήν»[2]· δι' ἑαυτὴν οὐκ εὑρίσκεται· οὐκ ἔστιν γὰρ τῶν ὑφεστηκότων, συμβεβηκός ἐστιν, δυνάμενον ἀποβληθῆναι· οὐκ ἔστιν ἀχώριστον συμβεβηκός, οὐδὲν δὲ τῶν ἀχωρίστων ἐπιγίνεται, ἐπεὶ οὐδὲ ἀποβάλλεται ο.δ.....ω οὐδὲν πολλάκις ἐπιγενόμενον.

Καὶ κάκωσις τί;

Μένει ἀχώριστον· πλὴν οὐκ ἀεὶ ἦν ἀχώριστον, ἀλλὰ ἀφ' οὗ ἐβεβαιώθη, ἀφ' οὗ ἕξιν ἔσχεν παράμονον.

48 Εὐφραίνου οὖν, νεανίσκε, ἐν νεότητί σου[3].

Λοιπὸν πρὸς τὸν νεανίσκον ἀπογίνεται. Ἐὰν δὲ ἐπὶ νεανίσκον, μὴ χαρακτῆρας περιβλεπώμεθα σώματος· αἱ ἐντολαὶ γὰρ καὶ αἱ ἀπαγορεύσεις καὶ αἱ προτροπαὶ ἀπαρεμφάτως γίνονται· «οὐ φονεύσεις»[4]. Καὶ λέγουσιν εἰς ἄλλας διαλέξεις τὰς προστάξεις ἑτέρως γίνεσθαι πρὸς θηλείας, ἑτέρως πρὸς ἄρρενας, παρ' Ἑβραίοις καὶ παρ' Αἰγυπτίοις· παρ' ἡμῖν δὲ οὐ παρενφαίνει τὸ πρόσωπον. Ἐὰν λέγω ὅτι «εὐφραίνου»[5], οὐκ ἄλλως τῇ θηλείᾳ λέγεται καὶ ἄλλως τῷ ἀνδρί. Οὕτω καὶ τὸ «νεανίσκε»[6] λέγω καὶ συνήθειαν λέγω τῆς χρήσεως τῶν τοιούτων. Ἐάν τις ἅμα ἀνδρῶν καὶ γυναικῶν μνημονεύῃ, εἰς τὸ ἀρρενικὸν συνπεραίνει τὸν λόγον· λέγομεν ὅτι πάρεισιν ἄνδρες καὶ γυναῖκες ἀκροασόμενοι, οὐκ ἀκροασ⟨ό⟩μεναι· **50** ὕβριν γὰρ φέρει τὸ συναπενεχθῆναι τὸν ἄνδρα τῇ γυναικί, τὴν δὲ γυναῖκα τῷ ἀνδρὶ ἀποδοθῆναι μᾶλλον ἔπαινον φέρει· Καὶ ἔτι προηγεῖται ἡ ἐντρέχεια τοῦ ἀνδρὸς τῆς γυναικός. Καὶ ἔτι, ἐὰν ᾖ αὐτὴ γυνὴ σύνζυγος τῷ ἀνδρί, «ἓν σῶμά»[7] εἰσιν, καὶ οὐκ ἀποδίδοται εἰς τὸ σῶμα τῆς γυναικὸς ὁ ἀνὴρ ἀλλ' ἡ γυνὴ εἰς τὸ τοῦ ἀνδρός· «κεφαλὴ» γὰρ αὐτῆς ἐστιν[8]. Ἐὰν οὖν λέγῃ· «εὐφραίνου νεανίσκε»[9], εἰς ἡλικίαν σκοποῦμεν· συναποδίδοται γὰρ καὶ ἡ γυνὴ.

Καὶ ἐπὶ ῥητοῦ δὲ δύναταί τις εἰπεῖν τοῦτο ὅτι· ὦ νεανίσκε, ὅτε ἀρχὴν ἔλαβες τοῦ εἰδέναι ἐφ' οἷς εὐφρανθῆναι δεῖ, «εὐφραίνου»[10]·

---

1. Ψαλ. 9,36. 2. Ἔνθ' ἀν. 3. Ἐκκλ. 11,9. 4. Ἐξ. 20,15. 5. Ἐκκλ. 11,9. 6. Ἔνθ' ἀν. 7. Α' Κορ. 6,16, 8. Πρβλ. Α' Κορ. 11,3. 9. Ἐκκλ. 11,9. 10. Ἔνθ' ἀν.

μὴ ποτὲ τοῦτο ποίει, ποτὲ δὲ οὐ μή. Ὡς ἐὰν λέγω τῷ σωφρονοῦντι σωφρόνει, οὐ λέγω ὅτι ποτὲ ποίει, **52** ποτὲ δὲ μή, καὶ «δικαίως τὸ δίκαιον δίωκε»[1]. Εἶπον δὲ πολλάκις ὅτι τὸ ἀποπαύεσθαι τῶν ἐπαινετῶν ψόγον φέρει.

Καὶ πρὸς ἀναγωγὴν δὲ πολλῷ πλέον· εἰσὶν γὰρ «νεανίσκοι» ⟨καὶ⟩ ἰσχυροὶ γινόμενοι [και] τοῦ ἔχειν τὸν τοῦ Θεοῦ λόγον καὶ δυνατοὶ γινόμενοι κατὰ τοῦ πονηροῦ. Γράφει γοῦν ὁ Ἰωάννης καὶ λέγει ὅτι «ἔγραψα ὑμῖν, νεανίσκοι, ὅτι ἰσχυροί ἐστε καὶ ὁ λόγος τοῦ Θεοῦ ἐν ὑμῖν μένει καὶ νενικήκατε»[2]. Καὶ οὐ δήπου μιᾷ ἡλικίᾳ γράφει σωματικῇ, ἀλλὰ τῇ νεαζούσῃ ψυχῇ τῇ «ἐνδυσαμένῃ τὸν νέον ἄνθρωπον»[3]. Περὶ οὗ νεανίσκου λέγεται· «νεανίσκος μετὰ ὁσίου, καὶ εὐθεῖα ἡ ὁδὸς αὐτοῦ»[4]. Ἐὰν γὰρ «μετὰ ὁσίου» τῆς ἀρετῆς ὑπάρχῃ, οὗτος «εὐθεῖαν» ἔχει «τὴν ὁδόν», οὐκ ἔχει «καμπύλην»[5] ὁδόν, οἵαν εἶχον πρὸς οὓς ὁ λόγος «ὦ οἱ ἐγκαταλείποντες ὁδοὺς εὐθείας»[6], ὧν αἱ ὁδοὶ «τραχεῖαι»[7] καὶ «καμπύλαι».

54 Καὶ ἀγαθυνάτω σε ἡ καρδία ἐν ἡμέραις νεότητός σου[8].

Ἡ καρδία σου ἀγαθυνάτω σε, μὴ τὰ ἔξω. Πολλάκις ἐλέχθη ἡμῖν περὶ διαφορᾶς εὐδαιμονίας καὶ μακαριότητος ὅτι τίθενταί τινες εὐδαιμονίαν τὴν συνπληρουμένην ἐκ τῶν τριῶν γενῶν τῶν ἀγαθῶν. Οὐκ ἀγαθύνει δὲ ὁ πλοῦτος, ἀγαθὸν ἀληθῶς οὐ ποιεῖ οὐδὲ τὸ ὑγιαίνειν τῷ σώματι οὐδὲ τὸ ἀξίωμα καὶ δοξάριον ἔχειν· ἔχειν δὲ ψυχῆς ἀρετὴν εὐφραίνει.

Τοῦτο οὖν ἐστιν «ἡ καρδία σου ἀγαθυνάτω σε»[9]· μὴ τὰ ἐκτός, μὴ τὰ περὶ σῶμα· μὴ ἐπὶ τούτοις μέγα φρόνει καὶ ταῦτα θηρᾶν σπεῦδε.

Καὶ περιπάτει ἐν ὁδοῖς ἄμωμος[10].

Βάδιζε, ἃς εἶπον «εὐθείας» ἀρτίως «ὁδούς»[11]. Αἱ ἀρεταὶ δὲ καὶ αἱ κατ' αὐτὰς **56** ἐνέργειαι καὶ αἱ θεωρίαι τῆς ἀληθείας «ὁδοὶ ἀγαθαὶ καὶ εὐθεῖαί»[12] εἰσιν. Αὐτίκα γοῦν πρὸς τὸν Ἐλύμαν τὸν μάγον τὸν διαστρέψαντα τὸν ἀνθύπατον ὁ Παῦλος λέγει· «οὐ παύῃ διαστρέφων τὰς ὁδοὺς Κυρίου τὰς εὐθείας;»[13] οὐχ ὅτι διαστρέφονται ἐκεῖναι, ἀλλ' ὅσον ἦκεν εἰς ἐκεῖνον διαστρέφει αὐτάς. Ὡς εἴ τις νέον ἀναπείθοι λέγων ὅτι οὐ δεῖ σωφρονεῖν, καὶ ψόγους φέρ⟨ο⟩ι τῆς σωφροσύνης· μὴ γὰρ ψεκτὴν αὐτὴν ποιεῖ. Τινὲς γοῦν συναγορεύουσιν τῇ ἀδικίᾳ· οἱ δὲ ταύτῃ συναγορεύοντες διαβάλλουσιν τὴν δικαιοσύνην.

«Ἀγαθυνέτω σε» οὖν «καρδία σου»[14], μὴ τὰ τυχηρά, μὴ τὰ σωμα-

---

1. Πρβλ. Δευτ. 16,20. Β' Τιμ. 2,22. 2. Α' Ἰω. 2,14. 3. Πρβλ. Κολ. 3,10. 4. Παρμ. 20,11. 5. Πρβλ. Παρμ. 2,15. 6. Παρμ. 2,13. 7. Πρβλ. Βαρ. 4,26. 8. Ἐκκλ. 11,9. 9. Ἔνθ' ἀν. 10. Ἔνθ' ἀν. 11. Πρβλ. Παρμ. 20,11. 12. Πρβλ. Α' Βασ. 12,23. 13. Πράξ. 13,10. 14. Ἐκκλ. 11,9.

τικά. Τότε δὲ «ἀμώμους ὁδοὺς» ἕξεις ὡς καὶ μακαρισμοῦ τυχεῖν· «μακάριοι» γὰρ «οἱ ἄμωμοι ἐν ὁδῷ»[1] καὶ **58** «πορευόμενος ἄμωμος καὶ ἐργαζόμενος δικαιοσύνην»[2]. Καὶ θεώρει ὅτι τὸ «περιπατεῖν» οὐ μάτην κεῖται· ἠδύνατο γὰρ εἰπεῖν καὶ «στῆθι»[3] ἄμωμος καὶ «κάθου»[4] ἄμωμος· προκοπὴν δὲ ὁ περίπατος σημαίνει.

«Περιπάτει» οὖν «ἄμωμος»[5], ἀρξάμενος ἄνυε τὴν ὁδὸν μετὰ τοῦ ἀμώμου. Τοιοῦτόν ἐστιν καὶ τὸ παρὰ Παύλῳ γραφόμενον· «ἐν καινότητι ζωῆς περι[ε]πατήσομεν»[6]. Ἵνα προκόπτωμεν ἐν τῇ καινότητι τῆς ζωῆς, ἱμάτιον μὲν τῆς παλαιᾶς ζωῆς τὸν παλαιὸν ἄνθρωπον ἀποδυσάμενοι[7] ἐνδυσόμεθα τὸν νέον[8]. Καινὴν ζωὴν ἔχωμεν, προκόπτωμεν ἐν αὐτῇ, μὴ ἀπογευσάμενοι ἀπ' αὐτῆς ἀναχαιτίσομεν.

60 Καὶ ἐν ὁράσει ὀφθαλμῶν σου[9].

Ἑκατέρως πάλιν λαβέ· ὅταν «ἀγαθύνῃ σε ἡ καρδία σου»[10], καὶ τοὺς ὀφθαλμοὺς ἔχεις καλῶς ὁρῶντας.

Καὶ ἐπὶ ῥητοῦ· οὐ περιεργάζῃ κάλλος ἀλλότριον, ἀποστρέφεις τὸν ὀφθαλμὸν ἀπὸ γυναικὸς πόρνης, οὐχ ὁρᾷς γυναῖκα πρὸς ἐπιθυμίαν αἰσχράν[11], ἔχεις δὲ ἄμωμον τὴν ὅρασιν τῶν ὀφθαλμῶν.

Ἐὰν δὲ καὶ τοὺς τῆς διανοίας λάβῃς «τοὺς πεφωτισμένους ὀφθαλμοὺς καρδίας»[12] καλουμένους, πολλῷ πλέον τὸ ἄμωμον συνίσταται.

Καὶ γνῶθι ὅτι ἐπὶ πᾶσιν τούτοις ἄξει σε ὁ Θεὸς ἐν κρίσει, καὶ ἀπόστησον θυμὸν ἀπὸ καρδίας σου καὶ παράγαγε πονηρίαν ἀπὸ σαρκός σου[13].

62 Ποίει ἃ προστάττω σοι μετὰ τοῦ εἰδέναι «ὅτι ἐν πᾶσιν τούτοις ὁ Θεὸς ἄξει σε εἰς κρίσιν»[14]. Ἡ κρίσις φαύλοις κόλασιν ἐπιμετρεῖ, τοῖς δὲ σπουδαίοις ἐπαγγελίαν καὶ ἀγαθά. Ἐπεὶ οὐκ ἀμισθὶ καταλύεις, ἐὰν πορευθῇς «ἄμωμος ἐν ταῖς ὁδοῖς» σου καὶ «εὐφρανθῇς ἐν ἡμέραις νεότητός σου»[15]. Σπούδαζε· «ἄξει» γὰρ «ὁ Θεός σε εἰς κρίσιν»[16] περὶ τούτων. Εἰ ἦν φαῦλα, περὶ ὧν ἡ κρίσις αὐτῷ ἐγίνετο, κόλασις ἦν προσδοκητέα· ἐπειδὴ δὲ ἀγαθά ἐστιν — ἐπιτηδεύματα γὰρ καὶ πράξεις αἱ «ὁδοί» εἰσιν καὶ θεῖαι νοήσεις —, ἐὰν οὕτως ἄμωμος βαδίσῃς, οὐκ ἀμισθὶ καταλύεις· «ἄγει σε» γὰρ «ὁ Θεὸς ἐν τούτοις εἰς κρίσιν»[17].

Καὶ ἀπόστησον θυμὸν ἀπὸ καρδίας σου[18].

Ὁ θυμὸς οὐκ ἔστιν ἀρετὴ καρδίας ἀλλὰ τοῦ θυμοειδοῦς. Τοῦτο

---

1. Ψαλ. 118,1. 2. Ψαλ. 14,2. 3. Πρβλ. Δευτ. 5,31. 4. Πρβλ. Ψαλ. 109,1. 5. Ἐκκλ. 11,9. 6. Ρωμ. 6,4. 7. Κολ. 3,9. Πρβλ. Ἐφ. 4,22. 8. Πρβλ. Κολ. 3,9. Ἐφ. 4,24. 9. Ἐκκλ. 11,9. 10. Πρβλ. Ἐκκλ. 1,9. 11. Πρβλ. Ματθ. 5,28. 12. Ἐφ. 1,18. 13. Ἐκκλ. 11,9-10. 14. Ἐκκλ. 11,9. 15. Πρβλ. ἔνθ' ἀν. 16· Ἐκκλ. 11,9. 17. Πρβλ. ἔνθ' ἀν. 18. Ἐκκλ. 11,10.

οὖν λέγει· μὴ τῷ λογιστικῷ σου καὶ τῷ νῷ καταχρῶ εἰς 64 θυμόν, ἀλλά, κἄν ποτε παραστῇ αὕτη ἡ κίνησις ἐν τῷ θυμοειδεῖ, τῇ καρδίᾳ σου κώλυε· οὕτω ἀφίσταται «ἀπὸ τῆς καρδίας σου»[1], οὐ ψαύων αὐτῆς.

Τριδύναμός ἐστιν ἡ ψυχή, ὡς πολλοὶ εἰρήκασιν. Καὶ ἔχει οὕτω τὸ πρᾶγμα· αἰσθήσεις ἔχομεν διαφόρους καὶ ὥσπερ οὐκ ἔστιν ἀκοῇ ὁρᾶν οὐδὲ τῇ νοήσει ἅπτεσθαι ἢ ὀσφραίνεσθαι, οὕτω φαινόμεθα κατὰ τὸν ἔσω ἄνθρωπον. Καὶ αὐτὴν τὴν ψυχὴν ἔχοντες δύναμιν θυμικὴν ἔχομέν ⟨τ⟩ε καὶ λογιστικὴν καὶ ἐπιθυμητικήν. Πόθεν δέ; ὅτι ἑτέρα ἐστὶν ἡ λογιστικὴ τῆς θυμικῆς καὶ ἐπιθυμητικῆς ἐκ τῶν ἀλόγων ζῴων θεώρησον· ἔχουσιν θυμικὴν δύναμιν καὶ θυμὸν τὰ ἄλογα ζῷα καὶ ἐπιθυμητικὴν καὶ ἐπιθυμίαν, λογισμὸν 66 δὲ οὐκ ἔχουσιν. Μὴ ἔχοντα γὰρ λογισμὸν δηλονότι οὐκ ἔχουσιν λογιστικόν, οὐκ ἔχουσιν νοῦν.

Σημαίνεται δὲ ὁ νοῦς τῷ ὀνόματι τῆς καρδίας συνεχῶς ἐν τῇ Γραφῇ. Τοῦτο οὖν λέγει ὅτι κἄν ποτε θυμωθῇς, μὴ μεταγάγῃς τὸν θυμὸν εἰς τὴν καρδίαν, ἵνα μὴ διάθεσις γένηται ὁ θυμός. Κἂν ἐπιθυμίαν σχῇς ἄφνω γενομένη⟨ν⟩ ἐν τῷ ἐπιθυμητικῷ, μὴ μετενέγκῃς αὐτὴν εἰς τὸν νοῦν καὶ τὸ λογιστικόν· διάθεσις γὰρ ἔσται καὶ οὐκέτι πάθος ἢ προπάθεια ἀλλὰ κακία.

Καὶ παράγαγε πονηρίαν ἀπὸ σαρκός σου[2].

«Καὶ ἀπὸ τῆς σαρκός σου παράγαγε τὴν πονηρίαν»· κακία δὲ δοκεῖ ἐπιθυμία[ς] εἶναι ἢ ἀκολασία· τούτων οὖν «παράγαγε ἀπὸ τῆς σαρκός σου».

Δυνατὸν δὲ καὶ οὕτως· ἐὰν «ἀποστῇ ὁ θυμὸς ἀπὸ τῆς καρδίας σου»[3], οὐ πράττεις διὰ τῶν μελῶν καὶ τοῦ σώματος 68 πονηρίαν· ὁ θυμούμενος τύπτει πολλάκις καὶ ἐπιτίθησιν καὶ φονεύει[ν]. Ὅταν οὖν «ἀποστῇ ὁ θυμὸς ἀπὸ τῆς καρδίας σου»[4], παρέρχεται καὶ τὰ διὰ τῶν πράξεων πονηρὰ γινόμενα.

Ὅτι ἡ νεότης καὶ ἡ ἄνοια ματαιότης[5]· καὶ μνήσθητι τοῦ κτίσαντός σε ἐν ἡμέραις νεότητός σου, ἕως οὗ μὴ ἔλθωσιν αἱ ἡμέραι τῆς κακίας σου[6].

Ἐὰν ὁ νέος μὴ πορεύηται ἐν ταῖς ὁδοῖς ἄμωμος μηδὲ τὰ ἄλλα ποιῇ, ἃ προσετάγη ποιεῖν, ἐν ἀγνοίᾳ ἐστίν. Εἴρηται γοῦν καὶ ἐν παροιμίαις ὑπ' αὐτοῦ τούτου τοῦ σοφοῦ· «ἄνοια ἐξῆπται καρδίᾳ νέου»[7]· παραφύεται τῇ νεότητι ἡ ἄγνοια. Εἰ μή τις γοῦν ὑπερβάλῃ τὴν τῆς νεότητος κίνησιν καί, 70 ⟨καί⟩περ ἐν νεότητι, πρεσβυτικῶς κινῆται, ἄγνοιαν πολλὴν ἔχει. «Ἵνα δῶ ἀκάκῳ πανουργίαν, παιδὶ δὲ νέῳ αἴσθησίν τε καὶ ἔννοιαν»[8]· εἰ δίδοται τῷ παιδὶ τῷ νέῳ ὑπὸ τῆς σοφίας «αἴ-

---

1. Ἐκκλ. 11,10. 2. Ἐνθ' ἀν. 3. Πρβλ. ἐνθ' ἀν. 4. Ἐνθ' ἀν. 5. Ἐκκλ. 11,10. 6. Ἐκκλ. 12,1. 7. Παρμ. 22,15. 8. Παρμ. 1,4.

σθησις καὶ ⟨ἔν⟩νοια», δῆλον ὅτι ἀπέβαλεν τὴν ἄγνοιαν· ὅτε ⟨δὲ⟩ μὴ ἔχει ἐπιστήμην, ἐν ἀνοησίᾳ ἐστίν. Διὰ τοῦτο καὶ ἐν ψαλμοῖς τῇ νεότητι προσῆψεν τὰ τοιαῦτα· «ἁμαρτίας νεότητός μου καὶ τὰς ἀγνοίας μου μὴ μνησθῇς»[1]. Ὅρα ὅτι ἡ νεότης μάλιστα τούτων δεκτική ἐστιν καὶ ταῦτα ἔχει· διὰ τοῦτο «εὐφραίνου», ἵνα μὴ ἔχῃς «ἄνοιαν»[2]· διὰ τοῦτο «πορεύου», ἵνα μὴ «ματαιότητα» ἔχῃς καὶ «πονηρίαν σαρκός»[3].

Ἐν ἡμέρᾳ οὖν τῆς νεότητός σου μνήσθητι, τίς ἔκτισέν σε[4].

Θεός ἐστιν ὁ κτίσας· οὐ κτίζει δὲ Θεὸς μετὰ **72** κακίας· διὰ τοῦτο σκόπει ὅτι «ἔκτισέν σε» ἐν νεότητι, οὐχ ἵνα «ἄγνοιαν» ἔχῃς, οὐχ ἵνα ἀφραίνῃς, οὐχ ἵνα ἀνεπιστήμων ᾖς, ἀλλ' ἵνα δεκτικὸς ὢν ἐπιστήμης ἀναλάβῃς αὐτήν.

Ἕως οὗ ἔλθωσιν αἱ ἡμέραι τῆς κακίας σου[5].

Ἐὰν τὴν κακίαν λέγῃ ταύτην τὴν ἐναντίαν τῇ ἀρετῇ, τὴν ψόγον φέρουσαν τῷ ἔχοντι, λέγει· «ἕως μὴ ἔλθωσιν αἱ ἡμέραι τῆς κακίας σου»[6]. Ἐς ὅσον δεκτικὸς εἶ ἀρετῆς καὶ κακίας, μὴ προσδόκα τὴν κακίαν, μὴ ἑτοῖμον σεαυτὸν πρὸς ταύτην παρασκεύαζε. Ὅταν γὰρ ἀρετὴν ἔχῃς, οὐκ ἔχει χώραν ἐν σοὶ ἡ κακία. Ἐν τοῖς ἄγαν νηπίοις δύναμις ἀμφοτέρων ἐστίν, καὶ ἀρετῆς καὶ κακίας· ἐν δὲ τοῖς ὑπερβᾶσιν τὴν νέαν ἡλικίαν τὴν κομιδῇ νηπίων, οὕτως οὐκ ἔνι κακία, τῷ ἀρετὴν εἶναι ἐν τῇ ψυχῇ ἐκείνῃ. Καὶ τὸ βρέφος **74** ἀμοιρεῖ κακίας καὶ ὁ σπουδαῖος ἀνήρ, ἀλλ' ἑτέρως, καὶ ἑτέρως ἐκτός εἰσιν κακίας· ὁ μὲν γὰρ σπουδαῖος τῷ διάθεσιν ἔχειν ἐναντίαν τῇ κακίᾳ· αὕτη δέ ἐστιν ἡ πρακτικὴ ἀρετή, ἡ ἁπαξαπλῶς ἀρετή· οὐ δύνανται δὲ συνυπάρξαι τὰ ἐναντία. Ἐν δὲ τῷ βρέφει οὐ διάθεσίς ἐστιν τὸ μὴ ἔχειν κακίαν, ἀλλὰ ἀπόφασις κακίας.

Ἐὰν οὖν τὴν κακίαν λέγῃ ταύτην τὴν χειρίστην ἕξιν, «ἕως μὴ ἔλθωσιν αἱ ἡμέραι τῆς κακίας σου»[7], ποίει τὰ προστεταγμένα σοι, ἄμωμος βάδιζε.

Ἐπερ( )· «ἕως οὗ ἔλθωσιν»[8] ὡς ἀναγκαίως ἐρχομένων αὐτῶν;

Οὔ· ἀλλ' ἡμῶν ἐπισπωμένων τὴν κακίαν. Ἐὰν λέγω ὅτι ἐς ὅσον ὑγιαίνει τὸ τοῦ ζῴου σῶμα, οὐκ ἔρχεται νόσος, μὴ γὰρ **76** ἀναγκαῖον λέγω; Πάλιν ⟨ἐὰν⟩ λέγω ὅτι ἐς ὅσον ⟨ν⟩ήπιός τίς ἐστιν, οὐκ ἔρχεται αὐτῷ ἐπιστήμη, ἑτέρως λέγω τοῦτο· ἡ ἡλικία γὰρ ἐνποδίζει. Οὐχ ἡλικία γὰρ κωλύει τὴν νόσον ἢ ⟨ἐπιστήμη⟩ τὴν ὑγίειαν, ἀλλὰ ἡ θατέρου τῶν ἐναντίων λέξις.

Ἐὰν δὲ κακίαν λέγῃ ὅπερ λέγει τὴν κάκωσιν — ἡ κάκωσις δὲ καὶ νόλασις εἶναι δύναται —, πρὶν ἔλθῃ ἡ νόλασις, ἡ κακία, ποίησον ἃ

---

1. Ψαλ. 24,7. 2. Πρβλ. Ἐκκλ. 11,9. 3. Ἔνθ' ἀν. 4. Πρβλ. Ἐκκλ. 12,1. 5. Ἔνθ' ἀν. 6. Ἔνθ' ἀν. 7. Ἔνθ' ἀν. 8. Ἔνθ' ἀν.

λέγω σοι, ἵνα ἐλθοῦσα ἡ κάκωσις ἡ κολαστικὴ μὴ εὕρῃ σε ὑπεύθυνον.

'Επερ( )· πρὶν ἔλθῃ ἡ κόλασις;

'Ο Θεὸς προσάγει τιμωρίαν τοῖς ἀνθρώποις οὐχ ὡς ἔτυχεν, ἀλλ' ὅταν κρίνῃ συμφερόντως αὐτὴν ἐπενέγκειν. Κύριος γὰρ «κριτὴς δίκαιος ⟨καὶ⟩ ἰσχυρὸς καὶ μακρόθυμος μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν· ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ **78** στιλβώσει»[1]. Κριτοῦ δικαίου ὄντος τοῦ Θεοῦ, πῶς ἁμαρτόντες ἄνθρωποι οὐκ ὑποπίπτουσιν τιμωρίᾳ καὶ ἀνταποδόσει; Ἆρα παρὰ ἀσθένειαν ⟨οὐκ⟩ ἐπήγαγεν; Οὔ· «ἰσχυρός» ἐστιν καὶ ἠδύνατο παραυτὰ τιμωρήσασθαι, ἀλλὰ σὺν τῇ ἰσχύι «καὶ μακρόθυμός» ἐστιν καὶ οὐκ «ἐπάγει ὀργὴν καθ' ἑκάστην ἡμέραν»[2]· ᾧ μὲν ἐπάγει, ᾧ δὲ οὐ, δι' οὓς οἶδεν αὐτὸς βαθυτάτους λόγους. Ὅταν οὖν «μὴ ἐπάγοντος αὐτοῦ ὀργὴν καθ' ἑκάστην ἡμέραν»[3] καταφρονοῦσιν τῆς ἀπειλῆς, ἐπεὶ λάθῃ τὰ τῆς κακίας, ὡς χρείαν λοιπὸν γενέσθαι τιμωρηθῆναι, τότε, «ἐὰν μὴ ἐπιστραφῶσιν», οἷς ἐμακροθύμησεν «τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει»[4].

Αὕτη ἐστὶν ἡ κακία ἡ «ἐρχομένη» οὐ χειρίστη ἕξις οὖσα, ἀλλὰ κολαστική, σφοδροτάτη οὖσα κάκωσις.

'Εν τῷ καιρῷ οὖν τῆς κρίσεως ἐπὶ καθένα καιρὸν πάντας κρίνει. Καὶ καλεῖ τὸν καιρὸν **80** τοῦτον ὁτὲ μὲν «καιρὸν κρίσεως»[5] ὁτὲ δὲ «ἡμέραν ὀργῆς»[6] καὶ «ἡμέραν ἀνταποδόσεως»[7]. Ἕως οὖ ἐλθεῖν τὴν κακίαν ταύτην, ἕως οὐκ ἦλθεν ἡ κακία, μετανόησον. «Τόπον» ἔχει⟨ς⟩ «μετανοίας»[8]· «οὐ βραδύνει Κύριος τῆς ἐπαγγελίας, ὥς τινες βραδύτητα ἡγοῦνται, ἀλλὰ μακροθυμεῖ ἐπ' αὐτοῖς μὴ βουλόμενός τινα ἀπολέσαι, ἀλλὰ πάντας εἰς μετάνοιαν χωρῆσαι»[9]. 'Επεὶ τοίνυν ὑπέρθεσίς σοι δέδοται μετανοίας, μετανόησον πρὶν ἐλθεῖν τὴν κακίαν.

Καὶ φθάσουσιν ἔτη ἐν οἷς ἐρεῖς· οὐκ ἔστιν μοι ἐν αὐτοῖς θέλημα· ἕως οὗ μὴ σκοτισθῇ ὁ ἥλιος καὶ τὸ φῶς ⟨καὶ ἡ σελήνη καὶ οἱ ἀστέρες⟩, καὶ ἐπιστρέψωσιν τὰ νέφη ὀπίσω τοῦ ὑετοῦ[10].

'Εὰν ἔλθῃ ἡ κακία ἡ κακωτική, «ἔτη» ἐνίστανται ἐν οἷς οὐκ ἔχεις «ἐν αὐτοῖς θέλημα»[11]. Οὐδεὶς δὲ θέλει κολασθῆ**82**ναι. 'Εὰν ἐνστῇ τὰ ἔτη τῶν ἐπαγγελιῶν, ἔχουσιν οἱ σπουδαῖοι «ἐν αὐτοῖς τὸ θέλημα»· θέλουσιν δὲ ἀπολαῦσαι τῶν ἐπαγγελιῶν ἐργασάμενοι τὰ φέροντα αὐτά. Οἷον οἱ φιλήδονοι καὶ αὐτὸ τοῦτο τὰ αἰσθητὰ μόνα ἀποδεχόμενοι μὴ ἔχουσιν «θέλημα» εἰς καιρὸν λιμοῦ, ἔχουσιν δὲ εἰς εὐετηρίας καιρό⟨ν⟩· τοῦ δικαίου οὖν ἐστιν «θέλημα» ἐν τοῖς καιροῖς ἐκείνοις, ὅτε αἱ ἀνταποδόσεις γίνονται [θέλημα]. 'Εν 'Ησαΐᾳ γέγραπται· «θελήσουσιν»,

---

1. Ψαλ. 7,12-13. 2. Πρβλ. Ψαλ. 7,12. 3. Ἔνθ' ἀν. 4. Πρβλ. Ψαλ. 7,13. 5. 'Εκκλ. 8,5. 6. Πρβλ. 'Ησ. 37,3. 7. Πρβλ. 'Ησ. 63,4. 8. Πρβλ. 'Εβρ. 12,17. 9. Πρβλ. Β' Πέτρ. 3,9. 10. 'Εκκλ. 12,1-2. 11. 'Εκκλ. 12,1.

φησίν, «εἰ ἐγενήθησαν πυρίκαυστοι»[1] οἱ κακοί. Μη⟨δὲ⟩ ὁ θέλων ὀργῆς ἐπικειμένης «πυρίκαυστος» γένηται ἔχει ἐν τῷ καιρῷ ἐκείνῳ τὸ θέλημα ἑαυτοῦ.

84 Ἕως οὗ μὴ σκοτισθῇ ὁ ἥλιος καὶ τὸ φῶς ⟨καὶ ἡ σελήνη καὶ οἱ ἀστέρες⟩[2].

Δύναται καὶ ἐπὶ ῥητοῦ ληφθῆναι τὸν καιρὸν καὶ τὰ ἔτη ἐν οἷς οὐκ ἔχει «θέλημα» ὁ ἁμαρτωλός· ⟨τ⟩ότε γενήσεται, ὅταν ὁ οὐρανὸς καὶ ἡ γῆ παρέλθῃ[3]. Παρερχομένου δὲ τοῦ οὐρανοῦ καὶ τῆς γῆς «ὁ ἥλιος», φησίν, «σκοτισθήσεται καὶ ἡ σελήνη οὐ δώσει τὸ φῶς αὐτῆς»[4].

«Ἕως οὗ σκοτισθῇ ὁ ἥλιος»[5]· δυνατὸν δὲ καὶ οὕτως λαβεῖν· ὅσον ἐσμὲν ἐν τῷ βίῳ τούτῳ καὶ τὸ αὐτεξούσιον ἀσάλευτον ἔχομεν, δυνάμεθα καταλάμπεσθαι ὑπὸ τοῦ «ἡλίου τῆς δικαιοσύνης»[6] καὶ ὑπὸ τοῦ «φωτὸς τοῦ ἀληθινοῦ»[7] καὶ τῆς σελήνης καὶ τῶν ἀστέρων.

«Σελήνην» δὲ ἀλληγορικώτερον λαμβάνομεν τὴν ἐκκλησιαστικὴν γνώμην· πρὸς δὲ τὸν «ἥλιον τῆς δικαιοσύνης»[8] «σελήνη» δύναται λεχθῆναι ἡ διδασκαλία **86** ἡ δυναμένη ἐνταῦθα φωτίσαι. Καὶ καταλλήλως καὶ τοὺς «ἀστέρας» λάμβανε τοὺς διακόνους τῆς θείας δωρεᾶς τοὺς ἀγγέλους ἐν οἷς ὁ Θεὸς λαλεῖ τὸν λόγον ἑαυτοῦ.

«Σκοτίζονται» οὖν, ⟨τ⟩ουτέστιν ἀπὸ σοῦ· οὐδὲ γὰρ καθάπαξ σβέννυται ὁ ἥλιος. Καὶ ὥσπερ ἐν ταῖς νυξὶν δοκεῖ σκοτίζεσθαι ἡμῖν ὁ ἥλιος αὐτὸς οὐ τοῦτο πάσχων, ἀλλὰ πόρρω ἡμῶν γινόμενος μακρὰν τῆς ὄψεως, οὕτως καὶ «ὁ τῆς δικαιοσύνης ἥλιος»[9] σκοτίζεται ἐκείνοις τοῖς μηκέτι ἀξίοις τοῦ φωτίζεσθαι ὑπ' αὐτοῦ.

Καὶ ἐπιστρέψωσιν τὰ νέφη ὀπίσω τοῦ ὑετοῦ[10].

«Νέφη» πολλάκις ἐλέχθησαν τὰ διακονοῦντα τὸν πνευματικὸν ὑετόν, ἤτοι ἄνθρωποι ἢ ἄγγελοι. «Ἐπιστρέφει» δὲ **88** ταῦτα «ὀπίσω τοῦ ὑετοῦ», οὐκέτι διακονεῖ τὸν ὑετόν· οὐδὲ γὰρ συμφέρει τότε τὸν ὑετὸν κατελθεῖν. Ἔχει ἀποστολικὸν ῥητὸν τοιοῦτον· συμβουλεύει σπουδαίους εἶναι τοὺς ἀνθρώπους καὶ ἀρετῆς καὶ θείας γνώμης ἐπιμέλεσθαι καὶ ἀπέχεσθαι τῶν ἀντικειμένων· καὶ λαμβάνει παράδειγμα τοιοῦτο εἰπὼν τοῦτο ὅτι ἐς ὅσον ἡ θεία διδασκαλία ἐστίν, προσέχειν δεῖ καὶ ἀναλαβεῖν τὴν ἀρετὴν καὶ ἀποστῆναι τῆς κακίας· καὶ λέγει· «γῆ δὲ ἡ πιοῦσα τὸν ἐπ' αὐτῆς πολλάκις ἐρχόμενον ὑετὸν καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις δι' οὓς καὶ γεωργεῖται μεταλαμβάνει εὐλογίας παρὰ Θεοῦ· ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους ἀδόκιμος καὶ κατάρας ἐγγὺς εἰς τὸ τέλος»[11]· καὶ μεθ' ἕτερα λέγει· «πεπείσμεθα δὲ περὶ ὑμῶν, ἀγαπητοί,

---

1. Ἡσ. 9,4. 2. Ἐκκλ. 12,2. 3. Πρβλ. Ματθ. 5,18. 4. Μάρκ. 13,24. Πρβλ. Ἡσ. 13,10. 5. Πρβλ. Ἐκκλ. 12,2. 6. Πρβλ. Μαλ. 3,20. 7. Πρβλ. Ἰω. 1,9. 8. Πρβλ. Μαλ. 3,20. 9. Μαλ. 3,20. 10. Ἐκκλ. 12,2. 11. Ἑβρ. 6,7-8.

τὰ χρείσσονα ⟨καὶ⟩ ἐχόμενα σωτηρίας»[1], **90** ἀντὶ τοῦ· δεόντως τῷ ὑετ⟨ῷ⟩ χρησάμενοι καὶ ποτισθέντες τὰ δέοντα ἠνέγκατε, ἃ εἴρηκεν «σωτηρίας βοτάνην»[2].

Οὐκέτι διακονοῦσίν σοι τὸν ὑετόν· οὐδὲ γὰρ συμφερόντως σοι γίνεται τοῦτο· ἔχεις ἐνκείμενα σπέρματα τῶν «ἀκανθῶν» καὶ «τριβόλων»[3]. Συμφέρει οὖν αὐτὴν οὕτως ἔχουσαν γῆν μὴ ποτίζεσθαι, ἵνα μὴ βλάστη γένηται ἐνκειμένων κακῶν καὶ τὰ πάθη εἰς κακίας καὶ διαθέσεις μεταβάλωσιν. Εἰ τοίνυν οὕτως ἐσμὲν ὡς «γῆ δόκιμος» εἶναι καὶ «τίκτουσα βοτάνην εὔθετον», ῥ⟨αίν⟩ει τὰ «νέφη» τὸν «ὑετὸν» τὸν αὐξητικὸν τῶν πνευματικῶν βοτανῶν, ⟨οἱ⟩ διακονοῦντ⟨ε⟩ς ἄγγελο⟨ι⟩. «Οὐχὶ πάντες ἐστὲ λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς **92** μέλλοντας κληρονομεῖν σωτηρίαν;»[4]. Καὶ ἄνθρωποι δὲ διακονοῦσιν τὸν θεῖον ὑετὸν καὶ τούτοις προστάττεται «ῥαίνειν δικαιοσύνην»[5], οὐ ῥαίνειν ὕδωρ, οὐ ῥ⟨αίν⟩ειν ὄμβρον.

Ἐν ἡμέρᾳ ᾗ ἂν σαλευθῶσιν φύλακες τῆς οἰκίας[6].

Τὸ τῆς οἰκίας ὄνομα ἐν τοῖς θεοπνεύστοις λογίοις κατὰ διαφόρων κεῖται.

Ὅταν γὰρ λέγῃ τὸν τοὺς Ἰησοῦ λόγους ἀκηκοότα καὶ μεταβλό⟨ν⟩τα εἰς ἔργα «οἰκοδομεῖν τὴν ἑαυτοῦ οἰκίαν ἐπὶ τὴν πέτραν»[7], τὴν πολιτείαν καὶ τὸν βίον τὸν πρακτικὸν καὶ θεωρητικὸν «οἰκίαν» λέγει τοῦ ἐνεργήσαντος. Καὶ τὸ «οἰκίαι παρανόμων ὀφειλήσουσιν καθαρισμόν, οἰκίαι δὲ δικαίων δεκταὶ»[8] τοὺς βίους καὶ τὰς πολιτείας «οἴκους» ὀνομάζει.

94 Καὶ «ἐπεὶ ἐφοβοῦντο αἱ μαῖαι τὸν Θεόν, ἐποίησαν ἑαυταῖς οἰκίας»[9], φοβηθεῖσαι αὐτὸν τὸν φόβον ἔσχον καὶ οἶκον καὶ ὀχύρωμα· «ὀχύρωμα» γὰρ «ὁσίου φόβος Κυρίου»[10].

Σημαίνεται δὲ τῷ ὀνόματι τῆς οἰκίας πολλάκις ὁ περὶ γῆν τόπος· ὅταν γὰρ λέγῃ ὅτι «ἐν μεγάλῃ οἰκίᾳ οὐ μόνα χρυσᾶ καὶ ἀργυρᾶ σκεύη τυγχάνουσιν, ἀλλὰ ξύλινα καὶ ὀστράκινα»[11], καὶ «ἐάν τις», φησίν, «ἑαυτὸν ἐκκαθάρῃ ἀπὸ τούτων» — τῶν εἰς ἀτιμίαν σκευῶν —, «ἔσται σκεῦος εἰς τιμήν, εὔχρηστον τῷ δεσπότῃ εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον»[12], τούτῳ οὖν, λέγει, ἐν τῷ κόσμῳ εἰσὶν σπουδαῖοι ἄνδρες· οὗτοι δὲ σκεύη εἰσὶν «χρυσᾶ καὶ ἀργυρᾶ»[13].

96 Καὶ ὅσοι τὸν νοῦν ἑαυτῶν καθαίρουσιν καὶ ἐργάζονται διὰ πυρώσεως[14], «σκεύη» εἰσὶν «χρυσᾶ»[15], οἱ περὶ τὰ νοητὰ ἔχοντες τὴν σπουδήν, οἱ περὶ τὰ ὑπερκόσμια ἠκονημένοι. «Ἀργύρεα» δὲ «σκεύη»[16]

---

1. Ἑβρ. 6,9. 2. Πρβλ. Ἑβρ. 6,7. 3. Πρβλ. Γεν. 3,18. Ἑβρ. 6,8. 4. Ἑβρ. 1,14. 5. Πρβλ. Ἡσ. 45,8. 6. Ἐκκλ. 12,3. 7. Πρβλ. Ματθ. 7,24. 8. Παρμ. 14,9. 9. Ἐξ. 1,21. 10. Παρμ. 10,29. 11. Β′ Τιμ. 2,20. 12. Β′ Τιμ. 2,21. Ρωμ. 9,21. 13. Β′ Τιμ. 2,20. 14. Πρβλ. Ψαλ. 65,10. 11,7. Παρμ. 10,20. 15. Β′ Τιμ. 2,20. 16. Πρβλ. ἔνθ' ἀν.

εἰσὶν οἱ τὸν λόγον διακονούμενοι. Πολλάκις γὰρ ἀποδέδεικται ὅτι ὁ λόγος τῷ ὀνόματι τοῦ ἀργύρου παρίσταται. Καὶ λέγω ἀπὸ ἀποστολικοῦ ῥητοῦ σαφῶς εἰρημένου, ἵνα τὸ αἴνιγμα τοῦτο φανῇ· τὸ πνεῦμα δίδωσιν «λόγον σοφίας» καὶ «λόγον γνώσεως»[1].

Καὶ ἔχεις διαφορὰν ταύτην· ὁ «λόγον» ἔχων «σοφίας» καὶ «λόγον γνώσεως»[2] καὶ νοεῖ ὀρθῶς καὶ θεωρεῖ τὰ ἐπιστημονικὰ καὶ λέγειν αὐτὰ δύναται διδασκαλικῶς· εἰσὶν γὰρ ⟨οὐ⟩ «λόγον γνώσεως»[3] ἔχοντες, [ουκ] ἱκανοὶ δὲ διδάξαι· καὶ εἰσὶν τῷ ὄντι **98** ἀκριβῇ νόησιν ἔχοντες καὶ γνῶσιν ἀδιάπτωτον, οὐχ οἷοι δέ εἰσιν τὰ νοηθέντα αὐτοῖς εἰς ἑτέρους μεταγαγεῖν διδασκαλικῷ τρόπῳ. Εἰσὶν οὖν νοῦν ἔχοντες ἠκριβωμένον καὶ διὰ τοῦτο «χρύσεα σκεύη»[4] εἰσίν, οὐχ οἷοι δέ εἰσιν διακονεῖν εἰς ἄλλους τὰ νοηθέντα αὐτοῖς.

Ἄλλοι δὲ «ἀργύρεά» εἰσιν δυνάμενοι λόγῳ τὰ νοηθέντα αὐτοῖς καὶ ἃ ἀναγιγνώσκουσιν σαφηνίσαι.

Εἰσὶν δὲ ἄλλα σκεύη «ξύλινα καὶ ὀστράκινα»[5].

Καὶ τούτων «τὰ μὲν εἰς τιμήν, τὰ δὲ εἰς ἀτιμίαν»[6] ἐστίν. Τίμια δέ εἰσιν τὰ «χρύσεα καὶ ἀργυρᾶ», ἀτιμίας δὲ τὰ «ξύλινα καὶ ὀστράκινα»[7]. Τὰ μὲν ξύλινα δύναται ὑπὸ **100** πυρὸς δαπανηθῆναι, τὰ δὲ ὀστράκινα οἷά τέ ἐστιν συντριβῆναι. Ἀλλ' οὐ φύσεις εἰσηγεῖται ὧδε ἀμεταβλήτους, ὡς βούλεται τῶν ἑτεροδόξων ὁ μῦθος. Ἐπηγίοχεν γοῦν ὅτι «ἐάν τις ἐκκαθάρῃ αὐτὸν ἀπὸ τῶν τῆς ἀτιμίας»[8] — αὐτῶν δηλονότι σκευῶν — «ἔσται σκεῦος εἰς τιμήν[9], τῷ δεσπότῃ ἐπὶ πᾶν ἔργον ἀγαθόν»[10]· ὥστε παρ' ἑαυτόν τις γίνεται τίμιον καὶ ἄτιμον σκεῦος. Ἔστιν γοῦν καὶ μετάπτωσις γινομένη ἀπὸ τιμίων εἰς τὸ ἄτιμον· εἴρηται γοῦν ἐν τοῖς Ἱερεμίου θρήνοις μεταβολ[λ]ῆς πολλῆς γενομένης τοῦ Ἰσραὴλ ἀπὸ εὐσεβείας εἰς ἀσέβειαν καὶ ἀπὸ πρακτικῆς ἀρετῆς εἰς πρακτικὴν κακίαν· «υἱοὶ Σιὼν οἱ τίμιοι ἐπηρμένοι χρυσίῳ» καὶ ἀργύρῳ, «πῶς ἐλογίσθησαν εἰς **102** ἀγγεῖα ὀστράκινα»[11]. Θεωρεῖς ὅτι τὰ τίμια ἐκ χρυσοῦ καὶ ἀργύρου πεποιημένα «ἐλογίσθησαν εἰς ὀστράκινα»[12]. Ἀμέλει γοῦν καὶ τὸ τοῦ Ἰσραὴλ γένος, ὅτε ἠπίστησεν τῷ Σωτῆρι, «ὡς σκεύη κεραμέως συντρίβονται[13], ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ»[14]· ὅτε ἦσαν πρόβατα, χρυσᾶ ἦσαν καὶ ὑπὸ ῥάβδου ποιμαντικῆς ἤγοντο, νῦν δὲ «ἐν ῥάβδῳ σιδηρᾷ»[15] καὶ «συντρίβονται ὡς σκεύη κεραμέως»[16].

Αὐτίκα γοῦν καὶ ἐν Ἱερεμίᾳ μυστικόν τι περὶ τῶν τοιούτων κεῖται· προστάττεται καταβῆναι εἰς τὸν οἶκον τοῦ κεραμέως[17]· καὶ καταβὰς εἶδεν σκεῦος πλαττόμενον, πηλὸν σχηματιζόμενον εἰς σκεῦος[18]· καὶ ἐπειδὴ οὐκ εἶχεν τὸ οἰκεῖον σχῆμα **104** τοῦ σκεύους τοῦ τιμίου, «διέ-

---

1. Πρβλ. Α' Κορ. 12,8. 2. Ἔνθ' ἀν. 3. Αὐτόθι. 4. Πρβλ. Β' Τιμ. 2,20. 5. Β' Τιμ. 2,20. 6. Πρβλ. ἔνθ' ἀν. Ρωμ. 9,21. 7. Β' Τιμ. 2,20. 8. Πρβλ. Β' Τιμ. 2,21. 9. Πρβλ. Ρωμ. 9,21. 10. Ἔνθ' ἀν. 11. Θρ. 4,2. 12. Ἔνθ' ἀν. 13. Πρβλ. Ψαλ. 2,9. 14. Ψαλ. 2,9. 15. Ἔνθ' ἀν. 16. Πρβλ. ἔνθ' ἀν. 17. Πρβλ. Ἱερ. 18,1. 18. Πρβλ. Ἱερ. 18,4.

πεσεν ἐκ τῶν χειρῶν αὐτοῦ»[1]· ὁ κεραμεὺς «διέπεσεν» αὐτό, ἵνα ἀναπλάσηται αὐτό. Ὅτε οὖν χώραν τις ἔχει μετανοίας, πήλινόν ἐστιν σκεῦος δυνάμενον ἀναπλασθῆναι, μετασχηματισθῆναι· ὅταν δὲ λοιπὸν βεβαιότητα σχῇ ἐν ἕξει ἀδιαπτώτῳ ἢ δυσμεταπτώτῳ, τότε λοιπὸν ὀστράκινόν ἐστιν.

Διὰ τοῦτο προσίεται λοιπὸν ὁ προφήτης μετὰ τὸ ἰδεῖν ἐν τῷ οἴκῳ τοῦ κεραμέως τὴν διάπλασιν τοῦ σκεύους· λαμβάνει «βῖκον ὀστράκινον»[2] καὶ συντρίβων αὐτὸν[3] [και] λέγει· «οὕτως φ⟨θ⟩ερῶ τὴν ὕβριν Ἰακώβ»[4]. Τότε λοιπὸν ἀπεδοκιμάσθησαν, τότε ἐκβέβληνται. Καὶ λέγει περὶ αὐτοῦ ἐν **106** Ἡσαΐᾳ τούτου τοῦ συντριβέντος σκεύους ὀστρακίνου, ὅτι οὕτω συνετρίβη «ὡς μὴ εὑρεθῆναι μέρος αὐτοῦ ἐν ᾧ τις δύναται ὀλίγον ὕδωρ λαβεῖν ἢ πῦρ»[5], τουτέστιν ἀχρήσιμον παντελῆ γενόμενον οὐδὲ τὸ ὕδωρ τὸ ὀλίγον [η] τὸ ποτίζον ἔτι δυνάμενον δέξασθαι, οὐδὲ τὸ πῦρ ἐκεῖνο τὸ εἰς ὀστράκινον αὐτὸ καὶ στερεότητα ἀγαγόν.

Ἐπερ( )· ὧδε οὖν «οἰκίαν» λέγει τὸν κόσμον ἢ τὴν ἐκκλησίαν;

Εἰσὶν καὶ ἐν ταύτῃ τὰ διάφορα «σκεύη» τὰ «εἰς τιμὴν καὶ εἰς ἀτιμίαν»[6]. Καὶ ὅτι εἰσὶν ἐν τῇ ἐκκλησίᾳ τοιοῦτοι ὁ θεῖος λόγος λέγει· «ἐξάρατε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν»[7]· ἀτιμίας σκεύη καλεῖ. Πάλιν· «ἀκούεται ἐν ὑμῖν πορνεία, καὶ τοιαύτη πορνεία ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν, ὥστε γυναῖκά τι⟨να⟩ **108** τοῦ πατρὸς ἔχειν»[8]· καὶ ἐκβάλλεσθαι τοῦτο κελεύει.

Καὶ ἡ ἐκκλησία γοῦν δύναται εἶναι ἡ «μεγάλη οἰκία» καὶ ὁ περὶ γῆν τόπος.

«Φύλακες» δὲ ταύτης «τῆς οἰκίας»[9] εἰσὶν οἱ τεταγμένοι φρουρεῖν αὐτὴν ἤτοι ἄγγελοι ἢ διδάσκαλοι. Ἐὰν μὲν τὴν ἐκκλησίαν λάβῃς, οἱ διδάσκαλοι. Καὶ ἔπονται δὲ καὶ τούτοις καὶ ἄγγελοι· περὶ γοῦν τοῦ Πέτρου εἴρηκαν· «ὁ ἄγγελο[υ]ς αὐτοῦ ἐστιν»[10]. Καὶ οἱ ἐν τῇ ἐκκλησίᾳ μικροὶ ἔχουσιν ἀγγέλους «βλέποντας διὰ παντὸς τὸ πρόσωπον τοῦ Πατρός»[11]. Εἰ δὲ οἱ μικροί, πόσῳ οἱ τέλειοι.

Ἐπερ ( )· οὗτοι πότε ἂν «σαλευθῶσιν»;

Ἐπίτασις γεγένηται τῆς κακίας τῶν φρουρουμένων· καταλείπουσιν οἱ φρουροὶ κἂν ...ν.ε.ε..ησαν τέλειοι κἂν ἄγγελοι. **110** Λέγουσιν γοῦν· δεῦτε γὰρ καὶ ἐνκαταλίπωμεν αὐτήν[12]· ὡς προαναφωνεῖν τὸ Ἅγιον Πνεῦμα καὶ λέγειν· «ἐνκαταλειφθήσεται ἡ θυγάτηρ Σιὼν ὡς σκηνὴ ἐν ἀμπελῶνι»[13].

Γέγονέν τις Ἰουδαϊκὸς ἱστοριογράφος Ἰώσιππος· ἐκεῖνος ἐν ταῖς θεοσημίαις ταῖς γενομέναις μετὰ τὸ προδοθῆναι τὸν Σωτῆρα ὑπὸ τῶν Ἰουδαίων καὶ τοιαύτην ἔθηκεν ἣν λέγει· θύρα μεγάλη τοῦ ναοῦ ἦν·

---

1. Πρβλ. Ἱερ. 18,4. 2. Ἱερ. 19,1. 3. Πρβλ. Ἱερ. 19,10. 4. Πρβλ. Ἱερ. 13,9. 5. Πρβλ. Ἡσ. 30,14. 6. Πρβλ. Ρωμ. 9,21. Β′ Τιμ. 2,20. 7. Α′ Κορ. 5,13. Πρβλ. Δευτ. 17,7. 8. Α′ Κορ. 5,1. 9. Ἐκκλ. 12,3. 10. Πράξ. 12,15. 11. Πρβλ. Ματθ. 18,10. 12. Πρβλ. Ἱερ. 28,9. 13. Ἡσ. 1,8.

μόλις ἔκλειον ἰσχυροὶ ἄνδρες τριάκοντα, καὶ μοχλοὶ ἐπέκειντο ἵν' ἀσφαλισθῇ κλεισθεῖσα· ἄφνω, λέγει, ἐν νυκτὶ μιᾷ οἱ ἱερεῖς περιερχόμενοι ἤκουσαν, λέγει, φωνὴν ὡς πολλῶν λεγόντων· «μεταβαίνομεν ἐντεῦθεν»· καὶ ἄφνω, λέγει, αὐτομάτως ἠνεῴχθησαν αἱ πύλαι.

Καὶ τοῦτο ἦν τὸ «ἐνκαταλειφθήσεται ἡ θυγάτηρ Σιὼν ὡς σκηνὴ ἐν ἀμπελῶνι»[1]. Καὶ τότε μάλιστα τοῦτο ὑπῆρκται **112** ὅτε ὁ Σωτὴρ ἐνκαταλέλοιπεν λέγων· «ἐνκατέλειψα τὸν οἶκόν σου, ἀφεὶς τὴν κληρονομίαν μου»[2]· «ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν»[3] ὁ Σωτὴρ πάλιν αὐτοῖς τοῖς Ἰουδαίοις.

Τοῦτο οὖν ἐστιν τὸ «σαλευθῆναι τοὺς φύλακας τῆς οἰκίας»[4], τὸ μεταστῆναι τοὺς φρουρούς, τὸ μηκέτι περιέπειν τὸν οἶκον.

Ἑπερ( )· ἐν ἡμέρᾳ οὖν ποίᾳ;

..ε... ..λ.....ιν τῆς κρίσεως «σαλευθήσονται» οὗτοι.

Ἑπερ( )· εἰ δὲ περὶ γῆν τόπος, τί;

Πάλιν .....νο..ρι ὧδε ἐπιτραπέντες δι..... ...ε.

114 Καὶ διαστραφῶσιν ἄνδρες τῆς δυνάμεως, καὶ ἤργησαν αἱ ἀλήθουσαι, ὅτι ὠλιγώθησαν, καὶ σκοτάσουσιν αἱ βλέπουσαι ἐν ταῖς ὀπαῖς[5].

Οἱ «ἄνδρες τῆς δυνάμεως»[6] οὗτοί εἰσιν, οἱ ὡσάνει στρατηγοὶ ἄρχουσιν τῆς οἰκίας, οἱ ἄρχοντες. Διαστροφὴν δὲ οὐ κακίαν αὐτῶν λέγει, ἀλλὰ τὴν μετάθεσιν τὴν ἀπ' ἀρχῆς ...ηση.... ἐνκεχειρισμένοι μηκέτι τε ....ετω ..... παρ..... ...ν οὐκέτι ὁ στρατηγὸς στρατηγός ἐστιν, οὐκέτι ὁ ἱππεὺς ἱππεύς ἐστιν.

Καὶ ἤργησαν αἱ ἀλήθουσαι, ὅτι ὠλιγώθησαν[7].

.... ἐκ παντὸς τρόπου οὖν α.....χει ἱστορίαν. Εἰ γὰρ καταργεῖται η κοιμ..... ....ματα αὐτῆς, ὅταν δὲ ἔχῃ ὁ βίος οὗτος καὶ ὁ κόσμος περιττόν, τότε ..... «ἤργησαν αἱ ἀλήθουσαι»[8] ..... . οὐκέτι ὄντων τῶν ἀληθομένων λόγων ....ν.....το ὅτι οὐ τοῦ Θεοῦ .....τ.. εἰσιν. Λέγει γοῦν ἐν Ἱερεμίᾳ πρὸς τοὺς ψευδοπροφήτας τοὺς ἐπιμειγνύοντας **116** τὰ λογικὰ ἀχύροις· εἰ τὸ «ἄχυρον» πρὸς τὸν «ἄνεμον»[9], λέγει Κύριος, οὐχ ὥσπερ «σῖτος» οἱ «λόγοι μου»[10]; Οἱ τοῦ Θεοῦ λόγοι «σῖτός» εἰσιν.

Οἱ δυνάμενοι διαιρεῖν αὐτοὺς καὶ λεπτύνειν καὶ παρασκευάζειν, οὗτοι «ἀλήθοντές» εἰσιν ἢ «ἀλήθουσαι»[11], ἵνα θηλυκῶς εἴπω κατὰ τὴν λέξιν. Οἱ ἐκκλησιαστικῶς διαιροῦντες τοὺς λόγους τοῦ Θεοῦ, «σῖτον»

---

1. Ἡσ. 1,8. 2. Πρβλ. Ἱερ. 12,7. 3. Ματθ. 23,38. 4. Πρβλ. Ἐκκλ. 12,3. 5. Ἐκκλ. 12,3. 6. Ἔνθ' ἀν. 7. Ἔνθ' ἀν. 8. Ἔνθ' ἀν. 9. Πρβλ. Ἰὼβ 21,18. 10. Πρβλ. Ἱερ. 23,28. 11. Ἐκκλ. 12,3.

ὄντα, τροφίμους ἄρτους ποιοῦσιν καὶ σιμίδαλιν προσάγουσιν εἰς τὸ θυσιαστήριον· εἰσὶν γὰρ καὶ θυσίαι διὰ σιμιδάλεως προσφερόμεναι[1].

Οἱ ἀπὸ τῶν ἑτεροδόξων οὐχ ὡς δεῖ διαιροῦντες τοὺς τοῦ Θεοῦ λόγους ἀλλ' ἐσφαλμένως καὶ εἰς ἀσέβειαν αὐτοὺς ἄγοντες κακῶς «ἀλήθουσιν». Τούτων τὸ ἄλευρον ἐκβλητόν ἐστιν, οὐδὲ εἰς θυσίαν οὐδὲ εἰς τροφὴν χρησιμεῦον.

118 Ἐν Ὡσηὲ γοῦν τῷ προφήτῃ λέγει· «ἵνα τί παρεσιωπήσατε ἀσέβειαν καὶ τὰς ἀδικίας αὐτῆς ἐτρυγήσατε, ⟨ἐ⟩φάγετε καρπὸν ψευδῆ;»[2]. Εἶτα λέγει· «ἀνεμόφθορα ἔσπειραν, καὶ ἡ καταστροφὴ αὕτη· δράγμα οὐκ ἔσχον ἰσχὺν τοῦ ποιῆσαι ἄλευρον»[3]. Τοῦτο κακῶς ἀλήθεται παρὰ τὴν ἀλήθουσαν.

Ἐν ταὐτῷ δὲ ἐπὶ τῶν νοητῶν καὶ θείων λέγει ὅτι «δέδωκεν αὐτῷ σῖτον»[4]. Καὶ πάλιν οὖν ἐν Εὐαγγελίῳ λέγεται .... εἶναι ἐν τῷ ἀγρῷ ἕνα παραλαμβανόμενον καὶ ἕνα ἀφιέμενον[5]· καὶ δύο ἀληθουσῶν «μία παραλαμβάνεται καὶ μία **120** ἀφίεται»[6]· .... καὶ οὗτοί εἰσιν οἱ σπείροντες λόγον[7] ..... σαρ. ....ται ....ρ..ν αὐτοῖς δεδωκότος .....ην .... σπείροντες καὶ ἐξ αὐτῆς ....ν «ἀφίενται» πάλιν ..... ἀγαθ.....ε ..υρο .... «παραλαμβανο-μένου» κα..... ἑαυτ.....ν ..... αὐτῷ .... τῇ αὐτῇ γραφῇ καὶ αἱ «ἀλήθουσαι» .....ως .... «ἀφίεται»[8] ὡς «ἀνεμόφθορα σπείρασα»[9] ...χυν..... ....τα πρός τινα οὖν ἐνάντια .... .τον..... ....ον ἄλευρα οὐκ ἄλευρα ἀληθει ....φι..... .... τοῦτον ἄλευρον ὃ δύναται καὶ ἄρτος γενέσθαι **122** καὶ εἰς θυσίαν προσενεχθῆναι. Περὶ τῆς ματαίας ταύτης σιμιδάλεως ἐν Ἡσαΐᾳ λέγει· «ἐὰν προσφέρητε σιμίδαλιν, μάταιον, θυμίαμα μάταιόν μοί ἐστιν»[10]· οὐδὲ τὸ θυμίαμα ἔχει τὴν θυμιάματος εὐωδίαν, διὸ «βδέλυγμά ἐστιν»[11]· οὐδὲ ἡ σιμίδαλις ἔχει τι χρήσιμον πρὸς τὸ ἀρτοποιηθῆναι ἢ εἰς θυσίαν προσενεχθῆναι, διὸ «μάταιόν ἐστιν»[12].

Αὗται οὖν «αἱ ἀλήθουσαι» αἱ ἐπαινεταὶ «ἤργησαν»[13]· οὐκέτι γὰρ σαφηνίζουσιν τὰς Γραφὰς συνσταλέντος τοῦ χωρίου, τέλος ἀπολαβόντος τοῦ αἰῶνος τούτου.

«Ἤργησαν» οὖν «αἱ ἀλήθουσαι, ὅτι ὠλιγώθησαν»[14]· τὸ ὅσον ἐφ' ὑμῖν, «ὀλίγας» αὐτὰς πεποιήκατε, ἀσθενεῖς αὐτὰς κατεσκευάσατε.

Ἐπερ( )· οὐ διὰ τοῦτο ὡς τοῦ καιροῦ μηκέτι ἐπιτρέποντος «ἀλήθειν»;

Τὸ ὅσον ἦκεν εἰς τούτους ἠλαττώθησαν· **124** τὴν ὀλίγωσιν ὧδε μὴ ἐλ[λ]⟨άτ⟩ωσιν τοῦ ἀριθμοῦ ἡγοῦ, ἀλλὰ τῆς δυνάμεως καὶ ἰσχύος αὐτῶν.

---

1. Πρβλ. Ἀριθ. 15,4,6,9. 2. Ὡσ. 10,13. 3. Πρβλ. Ὡσ. 8,7. 4. Πρβλ. Ὡσ. 2,10. 5. Πρβλ. Ματθ. 24,40. 6. Ματθ. 24,41. 7. Πρβλ. Μάρκ. 4,14. 8. Ματθ. 24,41. 9. Πρβλ. Ὡσ. 8,7. 10. Πρβλ. Ἡσ. 1,13. 11. Ἡσ. 1,13. 12. Πρβλ. ἔνθ' ἀν. 13. Ἐκκλ. 12,3. 14. Ἔνθ' ἀν.

'Επερ( ): ἀλλὰ ἡ ἰσχὺς αὐτῶν παρὰ τὸν καιρὸν γέγονεν;

«Νομίζεις γὰρ ὅτι ὡς οἷόν τέ ἐστιν αἱ «ἀλήθουσαι»[1] αὗται οὐκ ἀλήθουσιν; ⟨'Αλήθουσιν⟩ καὶ μετὰ ταῦτα τοῖς δυναμένοις τρέφεσθαι παρ' αὐτῶν. «'Ωλιγώθησαν»[2] δέ, ἐπειδὴ τὸ πλεῖον μέρος τῶν τρεφομένων ἠλαττώθη καὶ ἔξω γέγονεν τοῦ ζητεῖν τοιαύτην τροφήν.

'Επερ( ): οὐ καταλλήλως λαμβάνομεν καὶ τοῦτο ἐκείνῳ τ⟨ῷ⟩ «καὶ ἐσκοτίσθη ὁ ἥλιος»[3];

Καὶ περὶ τοῦ φωτὸς οὖν καὶ τοῦ ἡλίου εἴπομεν ὅτι γοῦν εἰς ἐκείνους ἔδοξαν σκοτίζεσθαι, οὐκ ἐσκοτώθησαν δέ. Πάλιν οὖν λέγω ὡς πρὸς τούτους τοὺς ἀναξίους τῆς τροφῆς ἢ σιμιδάλεως «αἱ ἀλήθουσαι ἤργησαν»[4].

126 Καὶ σκοτά⟨σ⟩ουσιν αἱ βλέπουσαι ἐν ταῖς ὀπαῖς[5].

«Αἱ βλέπουσαι ἐν ταῖς ὀπαῖς»[6] ψυχαί αὗταί εἰσιν αἱ ταῖς αἰσθήσεσιν χρώμεναι. «'Οπὰς» γὰρ τὰς αἰσθήσεις λαβέ. «Σκοτάσουσιν» οὖν «αἱ βλέπουσαι ἐν ταῖς ὀπαῖς»[7]· ὅταν γὰρ παρέλθῃ τὰ αἰσθητά, τότε τὸ σκότος κρατήσει· οὐκέτι ὁρῶσιν τὰ αἰσθητὰ ὡς δεῖ, ἔξω γέγοναν λοιπὸν τῆς ἀκριβοῦς αἰσθήσεως.

Δυνατὸν δὲ καὶ οὕτως λαβεῖν· οἱ ἐρευνῶντες τὰς Γραφὰς[8] καὶ προσέχοντες τῇ ἀναγνώσει αὐτῶν εὑρίσκουσιν «ὀπὰς» δι' ὧν δύνανται φωτισθῆναι καὶ ὁρᾶν τὸ ἔνδον ὑπάρχον φῶς. «'Εσκοτίθησαν» οὖν αὗται «αἱ ἐν ὀπαῖς βλέπουσαι»[9] οὐκέτι οὐσῶν τῶν «ἀληθουσῶν». Αἱ δὲ «ἀλήθουσαι» σχίζουσαι τὰ σπέρματα ἐποίουν «ὀπάς». Καταλλήλως λαβὲ τῇ σχίσει τῶν σπερμάτων τὴν «ὀπήν», τὴν ἔρευναν τῶν Γραφῶν, τὴν σαφήνειαν αὐτῶν. Αὕτη δέ ἐστιν τὸ καὶ «ἀλήθεσθαι» αὐτάς.

128 Καὶ ἑτέρως δὲ ῥητέον· δοκοῦσιν, φησίν, «αἱ βλέπουσαι ἐν ταῖς ὀπαῖς»[10] — ἃ δὲ πολλάκις ἔλεγον — τινὲς δυνάμεναι προσβάλλειν τῷ φωτί· καὶ παρὰ τὴν δύναμιν καὶ τὴν ἀσθένειαν τῆς ὄψεως ἀντίλημψις γίνεται τοῦ φωτός. Ὅταν οὖν πάλιν τὸ φῶς κεκρυμμένον γένηται, αἱ «βλέπουσαι» δι' «ὀπῶν» τινων «σκοτίζονται»[11]· οὐ δύνανται ἰδεῖν τὸ φῶς τὰς μικρὰς «ὀπὰς» ἐκείνας ἔχοντες. Ὅταν μέντοι μεταβάλῃ αὐτῶν τὸ σῶμα ἀπὸ τοῦ φθαρτοῦ ἐπὶ τὸ ἄφθαρτον καὶ ἀπὸ τοῦ ψυχικοῦ ἐπὶ τὸ πνευματικόν[12], οὐκ ἔχουσιν οὐκέτι αἰσθήσεις σκοτιζομένας ἀλλὰ ἀναλαμπούσας καὶ αὐξομένας. Οὐ παντελῇ οὖν ὕβριν φέρει τὸ «σκοτισθῆναι τὰς βλεπούσας ἐν ταῖς ὀπαῖς»[13]· ὅταν γὰρ σκοτισθῶσιν κατὰ τὸ μέτρον τῆς παρούσης αἰσθήσεως, μειζόνως **130** ὄψονται τὰ πράγματα «καταργουμένου τοῦ ἐκ μέρους»[14], ⟨ὅταν⟩ καὶ ἡ «ἐκ μέρους» αὐτῶν «ὀπὴ» καταργηθῇ γινομένης μεγάλης ἀνοίξεως.

---

1. 'Εκκλ. 12,3. 2. "Ενθ' ἀν. 3. 'Αποκ. 9,2. 4. 'Εκκλ. 12,3. 5. "Ενθ' ἀν. 6. "Ενθ' ἀν. 7. "Ενθ' ἀν. 8. Πρβλ. 'Ιω. 5,39. 9. Πρβλ. 'Εκκλ. 12,3. 10. 'Εκκλ. 12,3. 11. Πρβλ. ἔνθ' ἀν. 12. Πρβλ. Α' Κορ. 15,44,53-54. 13. Πρβλ. 'Εκκλ. 12,3. 14. Πρβλ. Α' Κορ. 13,10.

Δυνατὸν δὲ καὶ οὕτω λαβεῖν διὰ τὸ πληθυντικῶς εἰρῆσθαι «ταῖς ὀπαῖς»[1].

Φέρεται ἐπαινετὴ «ὀπὴ» ἐνικῶς ἐν τοῖς Μωσαϊκοῖς γράμμασιν, ὅτε πόθον ἔλαβεν τοῦ ἰδεῖν τὸ πρόσωπον τοῦ Θεοῦ καὶ ἐμφανῆ αὐτὸν γνωστῶς ἰδεῖν. Εἶπεν αὐτῷ ὁ Θεὸς ὅτι ἄνθρωπος ἔτι ὢν οὐ δύνασαι τὴν αὐγὴν ἔχειν· «τίθημι δέ σε ἐν τῇ ὀπῇ τῆς πέτρας»[2], μιᾶς «πέτρας» εἶπεν «ὀπήν». Ἔστιν δὲ «ἡ πέτρα ὁ Χριστός»[3]· ἐκ τῆσδε τῆς «πέτρας» καὶ ἡ ἐνδεχομένη γνῶσις τοῦ Χριστοῦ ἐνταῦθα ὁρᾶται.

Καὶ λέγονται γὰρ «πέτραι» ψεκταὶ πληθυντικῶς ἢ «ὀπαί»· «πνεῦμα συντρῖβον πέτρας»[4]· καὶ λέγεται **132** πρὸς τὸν διάβολον· «ἡ ὑπερηφανία τῆς καρδίας σου ἐπῆρέν σε κατασκηνοῦντα ἐν ταῖς ὀπαῖς τῶν πετρῶν»[5], οὐκ «ἐν τῇ ὀπῇ τῆς πέτρας»[6], μακάριον γὰρ τοῦτο. Ἀλλ' ἐπειδὴ ἀντιχρίστοις προσέχουσιν καὶ ψευδοδιδασκάλοις καὶ ψευδοπροφήταις, ⟨αἱ⟩ «ὀπ⟨αὶ⟩» ἐκείνων οὐκ εἰσὶν ἐφοπτικ⟨αὶ⟩ ἀλλὰ μᾶλλον βλαπτικ⟨αί⟩. Σχισμαὶ πετρῶν[7] γοῦν ἐν ἄλλοις «ὀπαὶ» λέγονται· τὸ ἀσύμφωνον δὲ τῆς διδασκαλίας σχίσμα ἐστὶν καὶ ὀπῶν πλῆθος.

Οὐκ «αἱ βλέπουσαι» οὖν ἐν τῇ «ὀπῇ» συνσκοτάζουσιν ἀλλὰ μᾶλλον φωτίζονται. Αἱ δὲ ἐν ταῖς πολλαῖς «ὀπαῖς» δοκοῦσαι ὁρᾶν σκοτίζονται. Ὅταν δὲ ἡ ἀλήθεια εἰς μέσον ἔλθῃ, πάσα ἀπάτη λύεται· ἐν τῇ ἀπάτῃ δὲ ἦσαν αἱ πολλαὶ «ὀπαί». Καὶ ὡς ἔλεγον πολλάκις τὴν εἰκόνα τῆς διαψηφίσεως· λέγουσιν οἱ ἀποτυγχάνοντες τοῦ διαψηφισμοῦ **134** μυρίας «πέτρας»· ἐὰν οὖν ἐπιλάμψῃ [ὁ] ⟨ἡ ἀληθὴς⟩ ψῆφος, ἃ οἱ διαψηφίζοντες ἐσφαλμένως ἔλεγον ⟨λύεται⟩ [οἵδε οὗτος]. Οὕτως αἱ ψευδοδοξοῦσαι ἀπούσης τῆς ἀληθείας γίνονται· ὅταν [τ]αὕτη φανῇ καὶ ἀναλάμψῃ, λύονται ὅλαι αἱ ψευδοδοξοῦσαι.

Καὶ κλείσουσιν θύρας ἐν ἀγορᾷ ἐν ἀσθενείᾳ φωνῆς τῆς ἀληθούσης[8].

Εἶπον περὶ τῶν ἀνθρωπίνων πραγμάτων τῶν τε βλεπομένων καὶ προσκαίρων. Περὶ τοῦ μέλλοντος αἰῶνος καὶ τοῦ τέλους τοῦ παρόντος αἰῶνος διδάσκει καὶ λέγει ὅτι «κλείσουσιν θύρας ἐν ἀγορᾷ»[9].

«Ἀγορὰν» δὲ ἐνταῦθα τὴν ἐκκλησίαν λέγει, ὡς οἱ ῥήτορες λέγουσιν. Ὅσον ἐνέστηκεν ὁ βίος οὗτος, αἱ «ἀγοραὶ» τυγ**136**χάνουσιν ἢ ἡ «ἀγορά», ἡ ἐκκλησία ἐν ᾗ ἀγορεύουσιν οἱ ἀγορεύοντες. «Κλεισθήσεται» δὲ μετὰ ταῦτα οὐκ ἐνούσης ἔτι διδασκαλίας ἐν τῷ τῆς κρίσεως καιρῷ. Οὐ τοῦτο λέγω ὅτι ⟨οὐκ⟩ ἐνίοτε ἔσται παίδευσις ἐν τοῖς μέλλουσιν αἰῶσιν, ἀλλὰ κατ' αὐτὸν τὸν καιρὸν καθ' ὃν «παρίστανται» οἱ κρινόμενοι «τῷ βήματι τοῦ Χριστοῦ»[10]· τὸν λόγον γὰρ πρὸς τὰ πραχθέντα ἔχουσιν, ⟨οὐ⟩ πρὸς τὸ παιδευθῆναι ἢ διδαχθῆναι. Εἰ δέ ποτε ὁ πόνος ὁ ἐκ τῆς .....ε.ς ... ε.....εσιν.

---

1. Ἐκκλ. 12,3. 2. Πρβλ. Ἐξ. 33,22. 3. Πρβλ. Α' Κορ. 10,4. 4. Γ' Βασ. 19,11. 5. Ὀβδ. 1,3. 6. Πρβλ. Ἐξ. 33,22. 7. Πρβλ. Ἡσ. 2,19,21. 8. Ἐκκλ. 12,4. 9. Ἔνθ' ἀν. 10. Πρβλ. Ρωμ. 14,10. Β' Κορ. 5,10.

Ἄλλος λόγος· οὐ διδασκαλία ἐστὶν παρὰ ἀνθρώπων προφερομένη ἢ ἀγγέλων .... περὶ τῶν δέκα παρθένων ἐν τῇ παραβολῇ λέγεται ὅτι **138** αἱ πέντε αἱ ἔχουσαι συναχθὲν ἔλαιον τρυγηθὲν ἀπὸ τῆς ἐλαίας τῆς ἀληθινῆς ἐκεῖναι ἔχουσαι τὸ χορηγούμενον θρεπτικὸν ἐκφωτί⟨ζον⟩ δᾳδουχοῦσαι εἰσῆλθον μετὰ τοῦ νυμφίου εἰς τὸν παστόν[1], ὅτε «μέσον νυκτὸς κραυγὴ γέγονεν· ἦλθεν ὁ νυμφίος, ἐξέλθατε εἰς ὑπά⟨ν⟩τησιν»[2]. Αἱ δὲ μὴ λαβοῦσαι ἔλαιον ἐν τοῖς ἀγγείοις ἀλλὰ ἀμελήσασαι τοῦ φυλάττοντος τὸ φῶς, ἀπῆλθαν ἀγοράσαι[3] καὶ οὐκέτι εὗρον τοὺς πωλοῦντας· οὐκέτι γὰρ ἦν τότε διδασκαλεῖον, οὐκέτι οἱ πωλοῦντες τοὺς θείους λόγους ἦσαν· καὶ διὰ τοῦτο ἀπέμειναν ἔξω.

Καὶ ἐνταῦθα οὖν συνσταλέντος τοῦ χωρίου κλείονται αἱ «ἀγοραί», οὐκ ἔχουσιν ἐκείνας τὰς «θύρας ἠνεῳγμένας» περὶ ὧν γράφουσιν οἱ θεῖοι λόγοι. Αὐτίκα γοῦν ὁ ἀπόστολος λέγει· «θύρα δέ μοι ἠνέῳγεν μεγάλη καὶ **140** ἐνεργὴς καὶ ἀντικείμενοι πολλοί»[4]. ⟨Ἐ⟩ὰν ⟨ἡ⟩ «μεγάλη θύρα» τοῦ λόγου ἀνοιγῇ καὶ ἐνεργῇ, τότε οἱ «ἀντικείμενοι πολλοί» εἰσιν. Τότε δὲ ἐνεργεῖ, ὅτε οἱ ἀκούοντες εἰς ἔργα μεταβάλλουσιν τὰ παιδεύματα καὶ «ἀντικείμενοι» γίνονται «πολλοί». Ἀμέλει γοῦν ἐὰν παρατηρησώμεθα τὰς Γραφάς, οὐκ ἄλλοτε εὑρίσκονται ψευδοπροφῆται ἢ ὅτε προφῆταί εἰσιν, καὶ οὐκ ἐν ἑτέρῳ καιρῷ εἰσιν οἱ ψευδαπόστολοι ἢ ὅτε ἀπόστολοι καὶ διδάσκαλοί εἰσιν. Φθονοῦντες γὰρ ἀντίκεινται καὶ πειρῶνται τῇ ἀληθείᾳ ἀντιλέγειν, πειρῶνται τοῖς καλῶς διδάσκουσιν ἀντιλέγειν. Ἐνίοτε γοῦν καὶ ἐπιβουλεύουσιν αὐτοῖς καὶ εἰς θάνατον αὐτοὺς ἄγουσιν.

142 «Θύρα» οὖν «μοι ἠνέῳγεν μεγάλη καὶ ἐνεργής»[5]· οὐκ ἐκ⟨έκ⟩λειστο δὲ ἡ «ἀγορά», ⟨ἀλλ'⟩ αἱ «θύραι» τῆς «ἀγορᾶς»[6] ἦσαν ἠνεῳγμέναι. Καὶ ἐν ἑτέρᾳ ἐπιστολῇ αὐτοῦ λέγει· ἐλθόντος δέ μου καὶ θύρας ἀνεῳχθείσης[7] «οὐκ ἔσχον ἄνεσιν τῷ πνεύματί μου τῷ μὴ εὑρεῖν Τίτον τὸν ἀδελφόν»[8]. Πρὸ τῆς θύρας ἀνοιγείσης οὐκ ἔσχεν ἄνεσιν ὥστε τὸν λόγον προενέγκασθαι οὐχ εὑρὼν τὸν συνεργοῦντα.

Καὶ ἐν ταῖς παροιμίαις δὲ λέγεται· «μακάριος ἀνήρ, ὃς εἰσακούσεταί μου, καὶ ἄνθρωπος, ὃς ἐὰν τὰς ἐμ[οῦ]⟨ὰς⟩ ὁδοὺς φυλάξῃ ἀγρυπνῶν ἐπὶ ἐμαῖς θύραις καθ' ἡμέραν»[9].

Αἱ θύραι τῆς σοφίας αἱ θύραι τῆς «ἀγορᾶς» εἰσιν. Κλείονται οὖν αἱ θύραι ἐν τῇ ἀγορᾷ, ὅταν συνσταλῇ τὸ **144** παιδευτήριον. Καὶ ὁρᾶτε ὅτι ἑκουσίως κλείουσιν τὰς θύρας, οὐ βίᾳ ἡ κλῆσις τῶν θυρῶν γίνεται. Τάχα δὲ τοῦτο· ἐπεὶ προστάττει [εν αις] «κρούειν ἵνα ἀνοιγῇ»[10], ὅταν ὀκνῶσιν οἱ ἄνθρωποι μὴ κόπτωσιν τὰς θύρας, κλείονται.

«Κλεισθεισῶν» δὲ «τῶν θυρῶν τῆς ἀγορᾶς»[11] σκόπει, τί γίνεται

---

1. Πρβλ. Ματθ. 25,4,10. 2. Πρβλ. Ματθ. 25,6. 3. Πρβλ. Ματθ. 25,10. 4. Α' Κορ. 16,9. 5. Ἔνθ' ἀν. 6. Πρβλ. Ἐκκλ. 12,4. 7. Πρβλ. Β' Κορ. 2,12. 8. Β' Κορ. 2,13. 9. Παρμ. 8,34. 10. Πρβλ. Ματθ. 7,7. 11. Πρβλ. Ἐκκλ. 12,4.

«ἐν ἀσθενείᾳ φωνῆς τῆς ἀληθούσης»[1]. 'Ελέγετο ἡμῖν ὅτι ἐστὶν ἀλήθουσα παραλαμβανομένη καλῶς ἀλήθουσα καὶ ἄλευρον καὶ σιμίδαλιν ἐπωφελῆ ποιοῦσα, ἄλλη δὲ ἀφιεμένη[2] «ἀνεμόφθορα σπείρασα»[3], καὶ ἄλευρον ἔχει οὐ δυνατὸν ποιῆσαι ἄρτον. 'Η μία οὖν ἡ παραλαμβανομένη «ἐν ἀσθενείᾳ» τὴν «φωνὴν»[4] ἔχει. Θέλω δέ τι καινότερον εἰπεῖν ὃ προτρέπομαι μὴ καταδραμηθῆναι.

146 «'Εν ἀσθενείᾳ», φησίν, «φωνὴ τῆς ἀληθούσης»[5], τῆς παραλαμβανομένης, οὐ τῆς ἀφιεμένης[6]. Οὐ πάντη δὲ ἀφωνίαν ἀναδέχεται· ἁγία γάρ ἐστιν ψυχὴ ἡ ἐκκλησία ἁγία· καὶ μετὰ ταῦτα γάρ, ὡς ἐνδέχεται, λαλεῖ. Τὸ δὲ παράδοξον, ὃ ἔλεγον ἐρεῖν, τοῦτ' ἔστιν· περὶ Μωϋσέως εἰρήκαμέν ποτε ὅτι οὐ προθέσει κατηγόρου ἔλεγεν κατὰ τῶν 'Ιουδαίων. Τοῦτο γὰρ ὁ Σωτὴρ εἴρηκεν ὅτι «μὴ νομίσητε ὅτι ἐγὼ κατηγορήσω ὑμῶν πρὸς τὸν Πατέρα· ἔστιν Μωϋσῆς ὁ κατηγορῶν ὑμῶν εἰς ὃν ὑμεῖς ἠλπίσατε. Εἰ γὰρ ἐπιστεύετε Μω⟨ϋ⟩σῇ, ἐπιστεύετε ἂν ἐμοί[7]. Εἰ δὲ τοῖς ἐκείνου γράμμασιν οὐ πιστεύετε, πῶς τοῖς ἐμοῖς ῥήμασι πιστεύετε;»[8]. Οὐ προθέσει οὖν τοῦ κατειπεῖν αὐτῶν ἐκατηγόρει, εἴ γε καὶ περὶ μοσχο**148**ποιησάντων ἠξίωσεν λέγων· «εἰ μὲν ἀφεῖς αὐτοῖς τὴν ἁμαρτίαν αὐτῶν, ἄφες· εἰ δὲ μή γε, κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου σου, ἧς ἔγραψας»[9]. Οὕτως οὖν ἐκατηγόρει· ἐπεὶ οὐκ ἐπίστευσαν οὐδὲ τοῖς γράμμασιν αὐτοῦ, ἀπολογεῖται ὅτι οὐδὲν τῶν χρηματισθέντων μοι ἀπεσιώπησα, ἀλλ' εἰπόντος τοῦ Θεοῦ· «τάδε ἐρεῖς τῷ οἴκῳ 'Ιακὼβ καὶ ἀγγελεῖς τοῖς υἱοῖς 'Ισραήλ»[10], εἴρηκα, καὶ οὐδέν ἐστιν τῶν χρηματισθέντων ὃ ἀπεσιώπησα. 'Η ἀπολογία οὖν, ἣν εἶπεν αὐτοῦ, δοκεῖ ἐκείνων εἶναι κατηγορία, ἐπεὶ εἰπόντος αὐτοῦ τὰ πρὸς πίστιν καὶ ἀπόδειξιν ἄγοντα οὐ προσήκαντο.

Οὕτω καὶ ἐνταῦθα «ἀσθενής» ἐστιν ἡ «φωνὴ τῆς ἀληθούσης»[11]· οὐχ οὕτω τεθαρρηκότως λέγει, ὡς ὅταν ὠφελῶνται οἱ ἀκούοντες καὶ οἱ τρεφόμενοι ὑπὸ τῶν ἀληθουσ⟨ῶ⟩ν, **150** ἀλλὰ τρόπον τινὰ ἀπολογεῖται. Καὶ εἰ οἷόν τε ἦν, ἤθελεν, εἰ δυνατὸν ἦν, κρύψαι τὴν ἀπολογίαν, ἵνα μὴ ἐκεῖνοι ὑπὸ πόδ⟨α⟩ς γένωνται· ἀλλὰ ἀναγκάζεται διὰ τῆς ἀληθείας εἰπεῖν ἃ πέφυκεν.

'Επερ( )· οἱ «κλείοντες» οὖν τὴν «ἀγοράν»[12];

Οἱ διδάσκαλοι. "Ομοιόν ἐστιν τοῦτο τῷ ἐν 'Ησαΐᾳ λεγομένῳ κατὰ ἄλλην διάνοιαν μᾶλλον δὲ λέξιν· «ἐντελοῦμαι ταῖς νεφέλαις τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν»[13]. 'Επεὶ γὰρ ἐκ τοῦ δέχεσθαι τὸν ὑετὸν τὰς ἀκάνθας καὶ τοὺς τριβόλους εἰς φυτὰ μετέβαλλον, ἡ πρόθεσις δὲ τῶν νεφελῶν καὶ τὸ ἐντειλάμενον αὐταῖς ἦν, ἵνα ὁ ἀμπελὼν βραχεῖς σταφύλην ἐνέγκῃ· ἐπειδὴ δὲ ἀντὶ σταφύλης ἀκάνθας ἠγίοχεν[14], οὐ **152** θέλων δὲ αὐτῶν αὐξήσειν τὸ κακὸν φειδῷ πάλιν καὶ ἀγαθότητι ἐνετείλατο αὐ-

---

1. 'Εκκλ. 12,4. 2. Πρβλ. Ματθ. 24,41. 3. Πρβλ. 'Ωσ. 8,7. 4. Πρβλ. 'Εκκλ. 12,4. 5. 'Εκκλ. 12,4. 6. Πρβλ. Ματθ. 24,41. 7. Πρβλ. 'Ιω. 5,45-46. 8. 'Ιω. 5,47. 9. 'Εξ. 32,32. 10. 'Εξ. 19,3. 11. Πρβλ. 'Εκκλ. 12,4. 12. "Ενθ' ἀν. 13. 'Ησ. 5,6. 14. Πρβλ. 'Ησ. 5,4.

ταῖς μὴ βρέχειν[1]· οὕτω καὶ οὗτοι, ἐπεὶ οὐκέτι εἶχον οὐ διδασκαλίαν δέχεσθαι, «ἔκλεισαν τὰς θύρας ἐν ἀγοραῖς»[2]. Καὶ ὧδε δὲ γίνεται τοῦτο πολλάκις· ὅταν γὰρ οἱ διδάσκαλοι ἀκούωσιν· «μὴ δῶτε τὸ ἅγιον τοῖς κυσίν, μηδὲ βάλητε τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων, μήποτε στραφέντες ῥήξωσιν ὑμᾶ⟨ς⟩ καὶ καταπατήσωσιν»[3]. Πρὸς καλοῦ πάλιν οὐ δίδοται ἐκείνοις[4]· ἔμελλον γὰρ ἀσεβεῖν μειζόνως πατοῦντες τοὺς θείους λόγους ὄντας μαργαρίτας, κόσμησιν τοῦ ἔσω ἀνθρώπου [ἔνδον ⟨ὄν⟩τος]· οὐδὲ τὸ κάλλος οὐδὲ τὸ τίμιον αὐτῶν ἐπιστάμενοι ἔμελλον αὐτοὺς πατεῖν, ἀντὶ τοῦ καταφρονεῖν.

Τρόπον οὖν τινα καὶ ὧδε «ἐν ἀγορᾷ κλείουσιν τὰς θύρας»[5]. Εἰ δὲ ὧδε, πολλῷ πλέον ἐκεῖ, ἕως τὸ κριτήριον καὶ τὸ βῆμα ἠνεῳγμένον γένηται.

154 Καὶ ἀναστήσεται εἰς φωνὴν τοῦ στρουθίου καὶ ταπεινωθήσονται πᾶσαι αἱ θυγατέρες τοῦ ᾄσματος[6].

«Ἀναστήσεται» ἡ ἀγορὰ «εἰς φωνὴν τοῦ στρουθίου»[7]. Οἱ «ἐκ μέρους γιγνώσκοντες καὶ προφητεύοντες»[8] ἔκλεισαν τὴν «ἀγορὰν» καὶ τὰς θύρας αὐτῆς. Οὗτοι δέ εἰσιν οἱ ἀπόστολοι, οἱ προφῆται, οἱ ἐν ἀνθρώποις διδάσκαλοι. Δῶμεν ὅτι καὶ τὰ πνευματικὰ «τὰ εἰς διακονίαν ἀποστελλόμενα»[9] «εἰς φωνὴν τοῦ στρουθίου»[10] .... ἀφίστανται.

Δύναται «στρουθίον» ἐνταῦθα ὁ Σωτὴρ λέγεσθαι κατὰ τὸν ἄνθρωπον κατὰ τοῦτο τὸ «καὶ ἐγενήθην ὡς στρουθίον ἐπὶ δώματος»[11].

Καὶ ἕκαστος δὲ τῶν ....νων, ὅταν ἀκούσας τοὺς Ἰησοῦ λόγους εἰς ἔργα μεταβάλῃ καὶ «οἰκίαν οἰκοδομήσῃ»[12] καὶ πληρώσῃ τὴν οἰκοδομὴν καὶ στεφαν⟨ο⟩ῖ τὴν **156** οἰκοδομή⟨ν⟩, τὸ τηνικάδε «ἐπὶ τοῦ δώματος»[13] βοᾷ ἐπαγρύπνως τὴν φωνὴν ἐγείρων.

Δύναται δὲ καὶ αὐτὸ τὸ κήρυγμα τῆς ἀληθείας «στρουθίον» τότε λεχθῆναι ὑψιπέτες τότε γινόμενον· ὁτὲ μὲν γὰρ κάτω ἐγίνετο πρὸς τοὺς ἀκροατάς· ἐπειδὴ δὲ νῦν καὶ οἱ ἀκροαταὶ οἱ τέλειοι ἐπηρμένοι γεγένηνται καὶ μεταδιώκουσιν τὰ ὑπερκόσμια, ἐκεῖ αὐτοῖς βοᾷ τὸ «στρουθίον ἐπὶ τοῦ δώματος»[14]· ἄνω τοῦ κόσμου γενόμενον κέκραγεν τὸ τέλειον τὸ «πρόσωπον πρὸς πρόσωπον»[15] προσβαλεῖν τῇ ἀληθείᾳ.

«Ἀναστάντες εἰς φωνὴν τοῦ στρουθίου»[16]· ἐπειδὴ δὲ δυνατὸν καὶ «ἀναστῆναι» αὐτοὺς τοὺς περὶ ὧν ὁ λόγος κατὰ τὴν προσδοκωμένην ἀνάστασιν· **158** πολυτρόπως δὲ ⟨τὸ⟩ κήρυγμα τῆς ἀναστάσεως σημαίνεται ἓν ὄν· ὁτὲ μὲν γὰρ σάλπιγγι παραβάλλεται· «σαλπίσει καὶ οἱ νεκροὶ ἀναστήσονται ἄφθαρτοι»[17]. Ὁ σαλπικτὴς οὗτος καὶ ὁ κῆρυξ τῆς ἀνα-

---

1. Πρβλ. Ἡσ. 5,6. 2. Πρβλ. Ἐκκλ. 12,4. 3. Πρβλ. Ματθ. 7,6. 4. Πρβλ. Ματθ. 13,11. 5. Πρβλ. Ἐκκλ. 12,4. 6. Ἐκκλ. 12,4. 7. Ἔνθ' ἀν. 8. Πρβλ. Α' Κορ. 13,9. 9. Ἑβρ. 1,4. 10. Ἐκκλ. 12,4. 11. Πρβλ. Ψαλ. 101,8. 12. Πρβλ. Ματθ. 7,24. 13. Πρβλ. Ψαλ. 101,8. 14. Ἔνθ' ἀν. 15. Α' Κορ. 13,12. 16. Πρβλ. Ἐκκλ. 12,4. 17. Α' Κορ. 15,52.

στάσεως, ὁ βοῶν ἵνα τοῦ συνθέματος πάντες ἀκούσαντες ἀναστῶσιν. Διὰ τοῦτο σάλπιγγι παραβέβληται· μεγαλόφωνον δὲ τὸ ὄργανον τοῦτο καὶ πανταχοῦ ἐξηχούμενον. Οὕτως καὶ ἐνταῦθα «στρουθίον» εἶπεν πάλιν τὸ κήρυγμα τῆς ἀναστάσεως. Δοκεῖ οὐ χαμαίζηλον· ἐγείρονται οἱ ἐγειρόμενοι, ἀλλὰ ἀντὶ «φθαρτῶν» «ἄφθαρτοι»[1], ἀντὶ «ἀτίμων» καὶ «ἀσθενῶν» «ἰσχυροὶ» καὶ «ἔνδοξοι»[2], ἀντὶ «ψυχικῶν» «πνευματικοί»[3].

«'Αναστήσεται» οὖν «εἰς φωνὴν τοῦ στρουθίου»[4].

160 'Επερ( )· ἡ «ἀγορὰ» ἐκείνη ἡ κλεισθεῖσα «ἀναστήσεται»; «'Αναστήσεται» ἐν ὅλῳ τῷ κόσμῳ. Τοῦτο λέγω ὅτι τὸ κήρυγμα ἐκεῖνο τὸ ὧδε δημοσιευόμενον τὸ ἐνεργούμενον μεταβαλεῖ, ὥστε μηκέτι «ἐκ μέρους» εἶναι «προφητείαν ἢ γνῶσιν»[5] ἀλλὰ «πρόσωπον πρὸς πρόσωπον»[6]. Τοῦτό ἐστιν τὸ «ἀναστῆναι» τὴν ⟨«ἀγορὰν»⟩ κατὰ τὴν προτέραν ἀπόδοσιν.

'Επερ ( )· ἵνα ποῖον καιρὸν λάβωμεν; —Τὸν τῆς κρίσεως.

'Επερ( )· ποίῳ καιρῷ «κλείεται»;

"Οταν τέλος λάβῃ ὁ παρὼν..... ..ε..... ... .ι..... ενοις ἡ ἀρχὴ καὶ τὸ τέλος ἕν ἐστιν ....ε.....

Καὶ ταπεινωθήσονται πᾶσαι αἱ θυγατέρες τοῦ ᾄσματος[7].

162 Εἰσὶν «θυγατέρες», φωνῆς μόνης εἰσὶν «θυγατέρες», οὐ νοῦ, οὐ σοφίας, οὐκ ἐπιστήμης, οὐ φωτός. Καὶ διὰ τὸ [και δια το] ἄνανδρον αὐτῶν καὶ ἐκτεθηλυμμένον περὶ τὰ πρόσκαιρα ἐχουσῶν «θυγατέρες» εἴρηνται.

«Ταπεινωθήσονται» οὖν αὗται· οἵῳ δὲ τρόπῳ παρόντος φωτὸς λύεται τὸ σκότος, οὕτω παρόντος τοῦ «ἀναστάντος εἰς φωνὴν τοῦ στρουθίου»[8] ἢ τῆς «ἀγορᾶς» ἢ τοῦ Σωτῆρος ἢ τῶν θείων διδασκάλων τὸ μηδὲν οὖσαι ἐλέγχονται. Δείκνυται ὅτι ἡ διδασκαλία αὐτῶν μέχρι τοῦ παρόντος ζῆν τὴν ὕπαρξιν εἶχεν καὶ — ἵνα μικρὸν εἴπω πτωχότερον πολλάκις λεγόμενον ὑπό τινων — ὅτι ἡ «ἀνθρωπίνη σοφία»[9] εὐγλωττίαν ἐπαγγελλομένη καὶ σύνθεσιν **164** λέξεων μέχρι φωνῆς ἔχει τὴν ὕπαρξιν. 'Επειδὴ δὲ παρελεύσεται ἡ φωνὴ αὕτη οὐκέτι κρουομένου ἀέρος, ὅταν ὑπὲρ τὸν ἀέρα γένωνται, οἱ περὶ ὧν ὁ λόγος «ταπεινοῦνται», τὸ μηδὲν εὑρίσκονται, «αἱ θυγατέρες τοῦ ᾄσματος»[10], οὐκ ἀναλεχθέντων τῶν σοφῶν διδασκάλων «θυγατέρων» ἢ «ᾄσματος θυγατέρων» ἀλλ' «υἱῶν φωτός»[11], «υἱῶν σοφίας»[12].

'Επερ( )· ἐξ ἄλλης γραφῆς ἔχομεν εἰπεῖν ψεκτῶς;

«Μετάστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου καὶ ψαλμὸν ὀργάνων

---

1. Πρβλ. Α' Κορ. 15,52-53. 2. Πρβλ. Α' Κορ. 15,10. 3. Πρβλ. Α' Κορ. 15,44. 4. 'Εκκλ. 12,4. 5. Πρβλ. Α' Κορ. 13,9. 6. Α' Κορ. 13,12. 7. 'Εκκλ. 12,4. 8. Πρβλ. 'Εκκλ. 12,4. 9. Πρβλ. Α' Κορ. 2,13. 10. 'Εκκλ. 12,4. 11. Πρβλ. Α' Θεσ. 5,5. 12. Πρβλ. Σ, Σειρ. 4,11.

σου»[1]· οὐκ ἀκούσονται μέν, ὀχλουμένην τὴν ᾠδὴν αὐτῶν ἡγεῖται. Ὠδὴ δὲ καὶ ᾆσμα ταὐτόν ἐστιν .... «καὶ μεταστρέψω», φησίν, «τὰς ἑορτὰς ὑμῶν εἰς πένθος καὶ πάσας τὰς ᾠδὰς ὑμῶν εἰς θρῆνον»[2]· **166** «ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών. Ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν· ὅτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς λόγους ᾠδῶν καὶ οἱ ἀπαγαγόντες ἡμᾶς ὕμνον· ᾄσατε ἡμῖν ἐκ τῶν ᾠδῶν Σιών. Πῶς ᾄσομεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας;»[3].

168 Ὅτι εὐνουχίζει τρόπον τινὰ τοὺς πιόντας.

Τὰ «ὄργανα» οὖν, τουτέστιν τὰ σώματα, ἐξήρτ⟨ω⟩ν τῶν «ἰτεῶν», τῶν κλάδων τῆς ἁγνείας.

Εἶτ' ἐκεῖνοι ὥσπερ ἐπικερτομοῦντες ἔλεγον· «ὕμνον ᾄσατε ἡμῖν ἐκ τῶν ᾠδῶν Σιών»[4], ὑβριστικώτερον «ᾠδὰς» λέγοντες πληθυντικῶς. Μία γὰρ ᾠδή ἐστιν ἡ τῆς Σιὼν καὶ εἷς ὕμνος· λέγεται γὰρ τοῦτο ὅτι «ὁ Θεός, ᾠδὴν καινὴν ᾄσομαί σοι»[5], μίαν ᾠδήν. Οὗτοι οὖν, ἐπεὶ τὸ διάφωνον ποιεῖ πολλὰς ᾠδάς, ἠρέμα τοῦτο λέγουσιν· διάφωνα λέγεται «ἐκ τῶν ᾠδῶν ὑμῶν ᾄσατε ἡμῖν ὕμνον»[6]. Εἶτα ἐκεῖνοι γνόντες ὅτι κακοήθως τὰς «ᾠδὰς» εἶπον πληθυντικῶς — λέγει· «πῶς ᾄσομεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας;»[7] ἐν «γῇ ἀλλοτρίᾳ» ἐσμὲν τῆ[ν] ὑμῶν, ὥστε ἐστὶν ψεκτὸν ᾆσμα καὶ ⟨οὐκ⟩ ἐπαινετόν.

170 Καὶ ἐὰν λέγῃ «μετὰ ψαλλούσης μὴ ἐνδελέχιζε»[8], ψεκτὸν ᾆσμα σημαίνει, ψαλμὸν οὐκ ὀρθῶς προφερόμενον.

Καί γε ἀπὸ ὕψους ὄψονται καὶ θάμβοι ἐν τῇ ὁδῷ· καὶ ἀνθήσῃ τὸ ἀμύγδαλον, καὶ παχυνθῇ ἡ ἀκρίς[9].

Ἐάν τις «ἀπὸ τοῦ ὕψους» θεωρήσῃ ὑψηλὸς γενόμενος, «ἄνω τὴν καρδίαν» ἔχει, «ἄνω τὸ φρόνημα». Ὁρᾷ ὅτι ἐν ταῖς «ὁδοῖς» «θάμβοι» εἰσὶν φο.....η..... ε..ης

172 Καὶ ἦν «τὸ φῶς ἀληθινὸν»[10] καὶ «μονογενὴς Θεὸς ὁ ὢν εἰς κόλπον»[11].

Ποίαν «βροντὴν»[12] ὁ Ἰάκωβος ἐνήνοχεν· εὐθέως γὰρ ἀφῃρέθη; Λέγομεν ὅτι συνληπτικῷ τρόπῳ δύναται εἰρῆσθαι ἢ ὅτι ἀμφότεροι μὲν κατὰ τὴν διάνοιαν εἶχοντο μεγαλοφώνων, οὐκ ἐπετράπη δὲ ὁ Ἰάκωβος γράψαι ταχέως ἀπαλλαγεὶς ἅμα τῇ ἀναλήμψει τοῦ σωτῆρος τοῦ βίου[13].

Ὥσπερ οὖν ἀπὸ τῆς βροντῆς τῆς αἰσθητῆς «θάμβος» λαμβάνει

---

1. Ἀμ. 5,23. 2. Ἀμ. 8,10. 3. Ψαλ. 136,1-4. 4. Ψαλ. 136,3. 5. Ψαλ. 143,9. 6. Πρβλ. Ψαλ. 136,3. 7. Ψαλ. 136,4. 8. Σ. Σειρ. 9,4. 9. Ἐκκλ. 12,5. 10. Ἰω. 1,9. 11. Ἰω. 1,18. 12. Πρβλ. Μάρκ. 3,17. 13. Πρβλ. Πράξ. 12,2.

τοὺς ἀκούοντας καὶ διὰ προσδοκίας[η] ἄλλου τινὸς σκηπτ[ρ]οῦ φοβοῦνται, οὕτως, ὅταν ὑψωθῶσιν οὗτοι οἱ κήρυκες τῆς ἀληθείας, «θάμβος» λαμβάνει τοὺς ἔτι ἐν τῷ ὁδεύειν ὄντας· δεῖ δὲ αὐτοὺς ἀναβάντας εἰς ὕψος ἤδη εἶναι.

174 Καὶ ἀνθήσῃ τὸ ἀμύγδαλον[1].

Οἱ περὶ φύσεως φυτῶν εἰρηκότες περὶ τοῦ ἀμυγδάλου τοῦτο λέγουσιν· πρὸ πάντων φυτῶν ἐν τῷ ἔαρι ἐκφέρει φύλλα καὶ ἀποβάλλει αὐτὰ μετὰ τὴν ἀποβολὴν πάντων τῶν ἄλλων δένδρων· παράμονον οὖν ἐστιν τοῦτο. Διὰ τοῦτο καὶ ἡ ῥάβδος ἡ ἱερατικὴ «καρυΐνη»[2] εἴρηται. Οὐ μέχρι γὰρ ὀλίγων ἡμερῶν διέμεινεν, ἀπὸ Μω⟨υ⟩σέως ἕως [τ] ἡ [ς] ἐπιδημία[ς] τοῦ σταυροῦ ἐφάνη. Ἐγεγόνεσαν δὲ καὶ ἄλλης διδασκαλίας ἀντὶ Ἰουδαίων παραδόσ⟨εω⟩ς .....ε..... φ.....κ...ι τούτων.

176 Αἱ ἐπαγγελλόμεναι διδασκαλίαν ψευδῆ[ς], «ῥάβδους» ψευδεῖς. Τότε ἔτι μᾶλλον «ἀνθήσει τὸ ἀμύγδαλον»[3].

Εἰς τὴν ἀποστολικὴν λέξιν εἴπομεν ὅτι τότε σύνστασις ἔσται τῆς δικαιοσύνης[4], ὅταν κρατήσῃ ἐν ἀνθρώποις ἡ ἀδικία, λύουσα τὴν ἀδικίαν καὶ τοὺς πρεσβεύοντας αὐτήν. Ἀναδείκνυται μεγάλη τις οὖσα, οὐκ ἂν δειχθέντος τοῦ μεγέθους αὐτῆς εἰ μὴ ἦν συνστᾶσα πολλὴ ἀδικία ἣν ἔλυσεν.

Καὶ ἐλέγομεν ὅτι «ἡ ἀλήθεια τοῦ Θεοῦ ἐν τῷ ἀνθρωπίνῳ ψεύδει ἐπερίσσευσεν»[5]. Καὶ ἐφάσκομεν τότε ὅτι τότε μάλιστα τὸ καλὸν ἐνεφάνη τῆς ἀληθείας, ὅτε πολλοὶ σοφῶν[6] εἰς μέσον ἦλθαν ψευδεῖς καὶ ἐριστικοὺς λόγους ἐπαγγελλόμενοι. Ἔστω τις βασιλεὺς ἱκανὸς καὶ χεῖρα πολλὴν ἔχων καὶ ἐμπειροπόλεμος· μὴ τὸ μέγεθος αὐτοῦ φαίνεται, **178** ὅταν μὴ πολέμου συνστάντος τριάκοντα ἀνθρώποις ἐπέλθῃ[7] καὶ περιγένηται αὐτῶν. Οὕτως καὶ τὸ τοῦ Ἐκκλησιαστοῦ· μᾶλλον δὲ τὸ τοῦ Ἔσδρα· προβλήματα προετάθησαν περὶ τὸν βασιλέα· καὶ εἰρήκασιν οἱ πρότεροι δύο καλῶς, ἴσχυσεν δὲ ἡ δευτέρα ἑρμηνεία τοῦ τρίτου· καὶ εἴρηται ὅτι «νικᾷ ἡ ἀλήθεια»[8] καὶ ἰσχύει. Εἰ γὰρ καὶ ἰσχύουσιν αἱ γυναῖκες καὶ ὁ [τοιοῦτος] ⟨οἶνος⟩ καὶ ὁ βασιλεὺς καὶ τὰ ἄλλα, ἀλλὰ «ὑπερισχύει ἡ ἀλήθεια»[9]. Ἡ «ὑπερίσχυσις» τῆς ἀληθείας ἐφάνη ἐκείνων ἰσχυρῶν ὄντων τῶν ἑρμηνευθέντων ὑπὸ τῶν ἄλλων. Ἐξευτέλισ[ησ]αν μνημονευκότες· ⟨μὴ⟩ μνημονευκότες δὲ οὕτως, τὸ μέγεθος τῆς ἀληθείας οὐκ ἐφαίνετο.

180 Καὶ παχυνθῇ ἡ ἀκρίς[10].

Ἐν τῷ ἀποστολικῷ ἐλέγετο πάλιν τοῦτο ὅτι ὅπου νόμος, ἐκεῖ

---

1. Ἐκκλ. 12,5. 2. Πρβλ. Ἀριθ. 17,23. 3. Ἐκκλ. 12,5. 4. Πρβλ. Ρωμ. 3,5. 5. Πρβλ. Ρωμ. 3,7. 6. Πρβλ. Α' Κορ. 1,26. 7. Πρβλ. Κριτ. 14,19. 8. Α' Ἔσδρ. 3,12. 9. Πρβλ. Α' Ἔσδρ. 4,41. 10. Ἐκκλ. 12,5.

καὶ ἡ παράβασις[1]. Εἰ μὴ ἐληλυθὸς ἦν εἰς μέσον τὸ εὐαγγέλιον, οὐκ ἐγίνετο μεγάλη [τ]ὴ τιμωρία κατὰ τῶν ⟨μὴ⟩ παραλαμβανόντων αὐτό. Αὐτίκα γοῦν λέγει ὅτι δεῖ «κηρυχθῆναι τὸ εὐαγγέλιον τοῦτο τῆς βασιλείας ἐν ὅλῳ τῷ κόσμῳ εἰς μαρτύριον πᾶσιν τοῖς ἔθνεσιν»[2], ὅπως μηδεὶς πρόφασι⟨ν⟩ ⟨ἔ⟩λ⟨οι⟩ τὸ ἀνήκοον. Ὅταν οὖν «ἀνθήσῃ» τὸ προειρημένον «ἀμύγδαλον»[3], «παχύνεται ἡ ἀκρίς»[4]. Ἡ ἀκρὶς δὲ ἀντὶ κολάσεως παραλαμβάνεται· «τὰ κατάλοιπα τῆς κάμπης κατέφαγεν ἡ ἀκρίς»[5]. «Παχύνεται» δὲ τότε πολλὴν τροφὴν δεχομένη· τροφὴ δὲ αὐτῆς εἰσιν οἱ παραδιδόμενοι αὐτῇ ἄνθρωποι.

Δυνατὸν δὲ καὶ εἰς ἦθος λαβεῖν τὸ «ἀνθήσῃ τὸ ἀμύγδαλον»[6]. Τὸ ἀμύγδαλον ἔξω τοῦ **182** ἐδωδίμου δύο περιβολὰς ἔχει· ὀστρακώδη καὶ ἔπειτα πικρά, τὸ λέπος τὸ ἔξωθεν. Δύναται τὸ ἔξω λέπος εἶναι τὸ σῶμα, πικρὸν γάρ ἐστιν, ἐπι⟨ρ⟩ρεπῶς ἔχον πρὸς ἡδονάς· τὸ δὲ ὀστρακῶδες ἐκεῖνο λέπος ἡ ψυχή, εὔτονος γὰρ καὶ μεγάλη· ἔνδον δὲ τὸ ἐδώδιμον τὸ πνεῦμα. Ὅταν οὖν πληρωθῇ ἐκεῖνο τὸ τῆς ἐπευχῆς τοῦ ἀποστόλου γράφοντος· «ὁ δὲ τῆς εἰρήνης Θεὸς ἁγιάσαι ὑμᾶς, ὁλόκληρον ὑμῶν τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα»[7], «ἤνθησεν τὸ ἀμύγδαλον»[8]. Ἐν τῷ ἀνθεῖν γὰρ ἔχει τὰ τρία ταῦτα. Ἀνθεῖ τοίνυν ὁ ἄνθρωπος, ὅτε προκόπτει εἰς ἀρετὴν καὶ μετασχηματιζόμενον ἔχει τὸ σῶμα ὥστε σύνμορφον γενέσθαι τῷ σώματι τοῦ Χριστοῦ[9].

184 Καὶ διασχεδασθῇ ἡ κάππαρις, ὅτι ἐπορεύθη ὁ ἄνθρωπος εἰς οἶκον αἰῶνος αὐτοῦ[10].

Ὁ «οἶκος τοῦ αἰῶνος» τοῦ ἀνθρώπου ἡ μετὰ ταῦτα ζωή ἐστιν. Τὰ εἰρημένα γίνεται· καὶ «κλείονται ἐν τῇ ἀγορᾷ αἱ θύραι»[11] καὶ «ἀνίστανται εἰς φωνὴν τοῦ στρουθίου»[12] οἱ εἰς τοῦτο καλούμενοι. Καὶ «αἱ θυγατέρες τοῦ ᾄσματος»[13] οἱ ὄντες ἐν τῷ «οἴκῳ τοῦ αἰῶνός» εἰσιν, οἱ ἄνθρωποι· ὁ περὶ γῆν δὲ τόπος οὗτός ἐστιν ὁ τούτου τοῦ αἰῶνος τοῦ πονηροῦ οἶκος. Τὰ εἰρημένα πάντα γίνεται. Ἐπεὶ οὖν ἐπορεύθη εἰς ἕτερον αἰῶνα ἀφεὶς τὸν ⟨πονηρόν, εἰς τὸν⟩ οἶκου ἑαυτοῦ αἰῶνα, εἰς τὸν μετὰ ταῦτα, λύεται ὅλα τὰ ὧδε φθάσαντα.

Δυνατὸν καὶ οὕτως αὐτὸ λαβεῖν· ἐπεὶ ὁ ἄνθρωπος ἄφθαρτος ο... ἐστιν κατὰ τὴν ψυχὴν .. ὅταν λυθῇ πάντα τὰ προσγενάμενα τῷ ἀνθρώπῳ, τὰ ψεκτά, τὰ φαῦλα, εἰς τὸν **186** ἑαυτοῦ λοιπὸν οἶκον πορεύεται, εἰς τὸν τοῦ αἰῶνος τούτου. Αἰὼν δὲ καταλλήλως καὶ οἰκός ἐστιν τῷ ἀνθρώπῳ τῷ «κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ»[14] γεγονότι, θεία κατάστασις ἐν ᾗ ἐπορεύθη ἀπὸ τοῦ αἰῶνος τούτου. Ἐκεῖνα λύε-

---

1. Πρβλ. Ρωμ. 4,15. 2. Πρβλ. Ματθ. 24,14. 3. Ἐκκλ. 12,5. 4. Πρβλ. ἔνθ' ἀν. 5. Ἰωὴλ 1,4. 6. Ἐκκλ. 12,5. 7. Α' Θεσ. 5,23. 8. Πρβλ. Ἐκκλ. 12,5. 9. Πρβλ. Φιλιπ. 3,21. 10. Ἐκκλ. 12,5. 11. Πρβλ. Ἐκκλ. 12,4. 12. Ἔνθ' ἀν. 13. Ἐκκλ. 12,5. 14. Πρβλ. Γεν. 1,26.

ται ὡς ἐὰν λέγῃ τις ὅτι πεπαύσεται πορνεία*· ἐπορεύθη γὰρ ὁ ἄνθρωπος εἰς τὸν τῆς ἀφθαρσίας χῶρον.

Καὶ ἐκύκλωσαν ἐν ἀγορᾷ οἱ κοπτόμενοι[1].

Λοιπὸν «διασκεδασθείσης τῆς καππάρεως»[2] καὶ «τῆς ἀκρίδος πληθυνούσης»[3] οἱ πάλαι ἀγορεύοντες ὑπὲρ σωτηρίας τῶν ἀνθρώπων ὥσπερ θρηνοῦσιν αὐτούς.

Λοιπὸν «ἐν τῇ ἀγορᾷ οἱ κοπτόμενοι ἐκύκλωσαν»[4]. Ἔχεις καὶ ἐν εὐαγγελίῳ λεγόμενον ὑπὸ τοῦ Σωτῆρος· «τίνι ὁμοιώσω τὴν γενεὰν ταύτην;»[5] καὶ λέγει· «ὁμοία ἐστὶν παιδίοις ἐν ἀγορᾷ καθημένοις, ἃ προσφωνεῖ ἕτερα πρὸς ἕτερα λέγοντες· ηὐλήσαμεν ὑμῖν καὶ οὐκ ὠρχήσασθε, **188** ἐθρηνήσαμεν ὑμῖν καὶ οὐκ ἐκόψασθε»[6]· καὶ ἐπιφέρει· «ἦλθεν Ἰωάννης μήτε ἐσθίων μήτε πίνων»[7]. Ἰδοὺ τὸ θρηνοῦν παιδίον· ὁ γὰρ Ἰωάννης εἰς πᾶσαν τὴν παλαιὰν γραφὴν καὶ τοὺς διακονήσαντας αὐτὴν λαμβάνεται, ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου εἰς τὸ σῶμα τῆς ἐκκλησίας τὸν ἀποστολικὸν καὶ εὐαγγελικὸν χορόν. Λέγει οὖν ὅτι ⟨εἰ⟩ τὰ παιδία αὐλεῖ δέον τοὺς ἀκούοντας τοῦ αὐλοῦ ὀρχεῖσθαι. Ἡ ὄρχησις δὲ λόγων μίμησιν εἰσαγγέλλεται διὰ χειρῶν γινομένην.

Ὅταν τοίνυν ἀκούωσιν τῶν ⟨σοφῶν τὸν⟩ τῆς σωτηρίας [σοφῶν] καὶ τὸν τῆς εὐσεβείας προφερομένων λόγον καὶ συνσχηματισθῶσιν τοῖς ἀπαγγελλομένοις τοῖς ἔργοις καὶ τῇ διανοίᾳ, ὀρχοῦνται γ' ἐπαινετῶς κατὰ τὴν ὄρχησιν, ἣν **190** ὠρχήσατο Δαυὶδ ἔνπροσθεν τῆς κιβωτοῦ[8]. Ὅταν γὰρ θρηνοῦσιν εἰς μετάνοιαν καλοῦντες, εἰς αἴσθησιν ἐγείροντες τοῦτο ποιοῦσιν ὅτι τοῦτο αἴσθησιν ἐγείρει· ὅταν ⟨γὰρ⟩ ἄλλου ἁμαρτάνοντος ἄλλος θρηνῇ καὶ κόπτηται, εὐθέως λέγει ὅτι ὅσον οὗτος ὑπὲρ ἐμοῦ κακίζει ἑαυτόν, ὀφείλω κἀγὼ τοῦτο ποιῆσαι. Καὶ οὗτοι οὖν ἀκούοντες τὸν θρῆνον, ἐὰν κατὰ τοῦ στήθους φέρωσιν τὰς χεῖρας «κοπτόμενοι», αἴσθησιν ἑαυτῶν ἀνεγείρουσιν.

Οὗτοι οὖν οἱ πάλαι ἀγορεύσαντες καὶ πολλὰ εἰρηκότες περὶ τῶν μὴ ἀκουσάντων «κόπτονται». Οὕτω γοῦν καὶ ὁ Ἱερεμίας «μετὰ τὸ αἰχμαλωτισθῆναι τὸν Ἰσραὴλ καὶ Ἱερουσαλὴμ ἐρημωθῆναι καθίσας κλαίων ἐθρήνησεν τὸν θρῆνον»[9], καὶ αὐτὸς ὁ Θεὸς λέγων· «θρήνησον πρός με ὑπὲρ νύμφην περιεζωσμένην σάκκον ἐπὶ τὸν ἄνδρα αὐτῆς τὸν παρθενικόν»[10].

192 Ἐκύκλωσαν οὖν ἐν ἀγορᾷ οἱ κοπτόμενοι[11].

Χαίρουσιν οἱ διδάσκαλοι κατορθούντων τῶν ἀκροατῶν, λυποῦνται ὅταν παρακούωνται τὰ θεσπίσματα τὰ θεῖα. Ἐπεὶ τοίνυν καὶ μετὰ

---

* Ἐσφαλμένως ἐν τῇ ἐκδόσει διορθοῦται ἡ λέξις εἰς «πορεία».

1. Ἐκκλ. 12,5. 2. Πρβλ. ἔνθ' ἀν. 3. Ἔνθ' ἀν. 4. Ἔνθ' ἀν. 5. Ματθ. 11,16. 6. Πρβλ. Ματθ. 11,16-17. 7. Ματθ. 11,18. 8. Πρβλ. Α' Παρλ. 15,24. 9. Θρ. 1,1. 10. Ἰωὴλ 1,8. 11. Ἐκκλ. 12,5.

τὸ ἁμαρτάνειν τοὺς ἀκροατὰς φείδονται αὐτῶν, οἱ διδάσκαλοι ἐν τῷ ἀγορεύειν τὰ θεῖα «κυκλοῦσιν κοπτόμενοι»[1] οὐχ ὁρῶντες ἐκείνους ποιοῦντας ἃ προστάττονται ποιεῖν.

Καὶ ἡ Καινὴ διαθήκη οἶδεν τὴν ἐκκλησίαν «ἀγοράν», ὡς καὶ Ἕλληνες· ἐν ταῖς Πράξεσιν γοῦν τῶν ἀποστόλων λέγει ὅτι ⟨εἰ⟩ ἔχουσιν ζητήματά τι⟨να⟩, «ἀγοραῖοι ἄγονται»[2], τουτέστιν ῥήτορες· 'δύνασθε', φησίν, 'δίκην περὶ τούτου κινεῖν[3] ἔχοντες τοὺς ἀγορεύοντας, τοὺς ῥητορεύοντας'.

«Κοπτόμενοι» οὖν «ἐκύκλωσαν ἐν ἀγορᾷ»[4] οἱ ἀγορεύοντες, γεγηθότες ἂν καὶ ὀρχούμενοι κυκλώσαντες, εἰ τὰ λεγόμενα ὑπ' αὐτῶν εἰς ἔργα αἰώνων ⟨ἦν⟩ μεταβαλλόμενα.

194 Ἕως οὗ μὴ ἀνατραπῇ τὸ σχοινίον τοῦ ἀργυρίου καὶ συντριβῇ τὸ ἀνθέμιον τοῦ χρυσίου[5].

Πρὸς ῥητόν· «σχοινίον τοῦ ἀργυρίου»[6] δύναται εἶναι ἡ δόσις καὶ ἡ λήμψις ἢ περὶ τὰ συναλλάγματα.

Πρὸς δὲ διάνοιαν· ἐπεὶ ὁ λόγος Κυρίου «ἄργυρός» ἐστιν καὶ «τὰ λόγια αὐτοῦ ἀργύριον πεπυρωμένον»[7] ἐστίν, «σχοινία» ἐκ τούτων πλέκεται· ἤτοι καλῶς νοούμενα ὑπὸ τῶν ὀρθοδόξων ἢ ἑτέρως, ἀμφοτέρως δὲ ⟨οὐκ⟩ «ἀνατρέπεται τὸ σχοινίον τοῦ ἀργυρίου»[8], ἐνεργεῖ.

Ἐπειδὴ δὲ δεῖ πρὸς τὸ κείμενον λέγειν, δύναται τοῦτο λέγεσθαι ὅτι «ἕως τὸ σχοινίον τοῦ ἀργυρίου» ἐνεργεῖ οὐκ «ἀνατρεπόμενον»[9], οὐκ ἐκβαλλόμενον — ἐκβληθήσεται γὰρ μετὰ ταῦτα, ὅταν τὸ «ἐκ μέρους» καταργηθῇ[10] —, οἱ **196** ἐν «ἀγορᾷ» οἱ «κοπτόμενοι» «κυκλοῦσιν»[11], ἕως ἔχουσιν τὸ «σχοινίον τοῦ ἀργυρίου»[12], ἕως πλέκουσιν τὰ λόγια Κυρίου· τότε γὰρ καὶ ἀγορεύουσιν.

Καὶ συντριβῇ τὸ ἀνθέμιον τοῦ χρυσίου[13].

Ἡ θήκη τοῦ χρυσίου οὕτω καλεῖται, τάχα δὲ καὶ τὸ ἅπαν σκεῦος χρυσίου, μᾶλλον δὲ ἡ θήκη. Ἀμέλει γοῦν τοὺς θησαυροφυλακοῦντας λέγειν ....μις ἐστιν οὕτως, ἀντὶ τοῦ φύλαξ χρυσίου.

Χρυσί⟨ο⟩ν οὖν ἐν τούτοις λημπτέον τὸν νοῦν· ἀργύριον δὲ εἰ τὸν προφορικὸν λόγον, χρυσὸν λαμβάνεις ὧδε τὸ νόημα· «ἀνθέμιον» δὲ τὸ ἡγεμονικὸν πρὸς τὸ εἶναι θήκη καὶ φυλακὴ τοῦ χρυσίου. Ἐὰν δὲ ἄργυρον σημαίνῃ τὸν λόγον καὶ τὴν τοῦ Θεοῦ γραφήν, πλοκή ἐστιν τὰ κατάλληλα καταλλήλοις λαμβάνειν ῥητὰ καὶ τὴν νόησιν εἴρειν τῶνδε πρὸς τάδε καὶ τὴν ἐκείνων πρὸς ταῦτα.

---

1. Πρβλ. Ἐκκλ. 12,5. 2. Πράξ. 19,38. 3. Πρβλ. Πράξ. 19,39. 4. Ἐκκλ. 12,5. 5. Ἐκκλ. 12,6. 6. Ἔνθ' ἀν. 7. Ψαλ. 11,7. Πρβλ. Ψαλ. 17,31. 8. Πρβλ. Ἐκκλ. 12,6. 9. Ἔνθ' ἀν. 10. Πρβλ. Α' Κορ. 13,10. 11. Πρβλ. Ἐκκλ. 12,5. 12. Ἐκκλ. 12,6. 13. Ἔνθ' ἀν.

198 Ἐπερ( ): «ἕως...»[1] τὴν ἐκκλησίαν οὐ λέγει;

Τοῦτο λέγει· «ἐν ἀγορᾷ οἱ κοπτόμενοι κόπτονται»[2]. «Ἀγορὰ» δέ ἐστιν ἡ ἐκκλησιαστικὴ διδασκαλία· ἐκκλησιαστικὴν δὲ λέγω, οὐ πάντως τὴν χριστιανῶν, ἀλλὰ τὴν συνελευ(σ)τικήν. Τοῦτο οὖν λέγει ὅτι ἐς ὅσον ἐνεργεῖ τὸ «σχοινίον τοῦ ἀργυρίου»[3], «κυκλοῦσιν» καὶ «κόπτονται» τοὺς μὴ πειθομένους.

Ὅταν δὲ «ἀνατραπῇ» καταργηθέντος τοῦ «ἐκ μέρους»[4], οὐκέτι «κυκλοῦσιν κοπτόμενοι τὴν ἀγοράν»[5]· οὐκέτι γὰρ ὁ κοπετὸς αὐτῶν ἐνεργήσει τι τότε ἀκουσομένου ἑκάστου· νῦν μετανοεῖς, ὅτε καιρὸς οὐκ ἔστιν; οὐ τοῦτο δέ φημι ὅτι οὐδέποτε ἔσται μετάνοια, ἀλλὰ τότε, ὅτε «ὁ καιρὸς τῆς κρίσεως»[6] ἐνεργεῖ, ὅτε «τῷ βήματι τοῦ Χριστοῦ παρίστανται ἐπὶ τῷ κομίσασθαι ἕκαστος ἃ ἔπραξεν διὰ τοῦ σώματος»[7].

Ἐὰν δὲ μὴ «ἀνατραπῇ», ἦν τοῦτο· τότε «κυκλοῦσιν ἐν ἀγορᾷ οἱ κοπτόμενοι»[8], ὅταν ἔτι ἐνεργῇ ὁ λόγος ὁ τῆς διδασκαλίας μὴ πειθομένων ἐκείνων, μὴ συνκατατιθεμένων, **200** μὴ δεσμουμένων ὑπὸ τοῦ «σχοινίου τοῦ ἀργυρίου»[9]· δεσμεῖται γὰρ ὁ συνκατατιθέμενος.

«Καὶ συντριβῇ τὸ ἀνθέμιον»[10]. Ἐλέχθη ὅτι ἡ Γραφὴ διὰ τοῦ χρυσοῦ σημαίνει τὰ νοήματα. Τὰ νοήματα οὖν τὰ κατειρημένα ἐστὶν εὐτρεπισθέντα οὕτως ὥστε οτι οια... γενέσθαι. Καὶ γὰρ φαίνεται «πέταλα» τὰ τεμνόμενα[11] ἐν τοῖς ἱματίοις τοῦ ἀρχι[ι]ερέως· λέγεται γὰρ ἐκεῖ ὅτι πήγνυται τὸ χρυσίον καὶ τῇ κάτω κατασκευῇ τῆς στολῆς[12]. Δύναται οὖν «συντριβῆναι»[13] εἰς τὸ συνενῶσαι αὐτὰ καὶ ὥσπερ ἠλαθῆναι.

202 Καὶ συντριβῇ ὑδρία ἐπὶ τὴν πηγήν, καὶ συντροχάσει ὁ τροχὸς ἐπὶ τὸν λάκκον[14].

Δύναμίς τινων ἔστιν ἀπ' αὐτῆς τῆς «πηγῆς» ἄνευ τοῦ ἀγγείου πίνειν. Ἡ Ῥεβέκκα ἡ ἐπιμονὴ τῶν καλῶν, ἡ τελεία διδασκαλία, «ἐπὶ τὴν πηγὴν καταβαίνουσα»[15] ὑδρίᾳ ἐλάμβανεν τὸ πο⟨τ⟩όν, ἵνα ποτίσῃ παῖδα διψώμενον[16]· ἐξ αὐτῆς τῆς πηγῆς δὲ αὐτὴ ἔπιεν ἄνευ ὑδρίας. Οὕτως εὑρίσκεις καὶ περὶ τῆς Σαμαρίτιδος γεγραμμένον ὅτι ἐκείνη «ἀφῆκεν τὴν ὑδρίαν»[17] ἐν ᾗ εἰλημμένη ἀρύσασθαι ὕδωρ καὶ ἦλθεν πολίταις ἑαυτῆς εἰπεῖν ὅτι «δεῦτε ἴδετε ἄνθρωπον, ὃς εἶπέν μοι πάντα ἃ ἐποίησα»[18].

Ὁμοῦ ἡ Ῥεβέκκα οὖν τὸν τοῦ Ἀβραὰμ παῖδα ποτίζει καὶ οὐκ αὐτόν γε μόνον, ἀλλὰ καὶ πάντας τοὺς μετ' αὐτοῦ καὶ τοὺς καμήλους[19], αὐτὴ δὲ λέγεται..κε.....πίνουσα· «κατέβη» γὰρ «ἐπὶ τὴν πηγήν»[20]·

---

1. Ἐκκλ. 12,6. 2. Πρβλ. Ἐκκλ. 12,5. 3. Ἐκκλ. 12,6. 4. Πρβλ. Α' Κορ. 13,10. 5. Πρβλ. Ἐκκλ. 12,5. 6. Πρβλ. Ἐκκλ. 8,5. 7. Πρβλ. Β' Κορ. 5,10. 8. Πρβλ. Ἐκκλ. 12,5. 9. Πρβλ. Ἐκκλ. 12,6. 10. Ἔνθ' ἀν. 11. Πρβλ. Ἐξ. 36,10. 12. Πρβλ. Ἐξ. 36,8-12. 13. Πρβλ. Ἐκκλ. 12,6. 14. Ἐκκλ. 12,6. 15. Πρβλ. Γεν. 24,16. 16. Πρβλ. Γεν. 24,17-18. 17. Ἰω. 4,28. 18. Ἰω. 4,29. 19. Πρβλ. Γεν. 24,18-20. 20. Πρβλ. Γεν. 24,16.

ἀλλὰ **204** κἂν φέρῃ «ὑδρίᾳ» ὕδωρ, οὐχ αὑτῇ γ'ἔφερεν ἀλλὰ πάσαις. Τὸ «ἐκ μέρους γιγνωσκόμενον» καὶ τὸ «ἐκ μέρους προφητευόμενον»[1] ἀπὸ τῆς πηγῆς «ὑδρία» ἐστὶν πληρωθεῖσα. Ὅταν οὖν «καταργηθῇ τὸ ἐκ μέρους»[2], «συντρίβεται ἡ ὑδρία»[3] καὶ οὐκ ἀπόλλυται, ἀλλ' εἰς τὴν πηγὴν ἐκχύν[ν]εται.

Καὶ ὑπομιμνήσκω ἄλλο θεώρημα λεχθὲν δι' ἑτέρων φωνῶν καὶ σημ-
.....νων ὑλῶν ἐλέγομεν ὅτι τὸ «ἐκ μέρους» οὐκ ἀφανίζεται, ἀλλὰ λύεται ὥστε μηκέτι «ἐκ μέρους» εἶναι· προσθήκης γὰρ τῆς λειπούσης τιμῆς γεγενημένης λύεται καὶ τὸ «ἐκ μέρους» ἐν τοῖς ὅλοις. Οὕτω καὶ ἐνταῦθα, ὅταν μηκέτι χρεία ᾖ τοῦ ἐξ «ὑδρίας» ποτισμοῦ, τοῦ Σωτῆρος ποτίσαντος καὶ πεποιηκότος ἐν τῷ πίνοντι «πηγὴν ὕδατος ζῶντος»[4], ὁ ἔχων ἐν ἑαυτῷ τὴν «πηγὴν τοῦ ὕδατος τοῦ ζῶντος»[5] οὐχ «ὑδρίας» δεῖται. «Συντρίβει» ἄρα κατ' αὐτὴν καὶ οὐκ ἔξω που «συν-
206τρίβει», οὐκ ἔξω που βάλλων ἀπόλλυσιν, ἀλλὰ «εἰς τὴν πηγὴν»[6] χύν[ν]εται τὸ μέρος τῷ ὅλῳ ἑνῶν. Τοῦτ' ἔστιν τὸ «καταργεῖσθαι»[7] αὐτὸ καὶ τὸ «συντρίβεσθαι τὴν ὑδρίαν»[8], ἵνα μηκέτι ὑδρία ᾖ.

Καταλλήλως δὲ τοῖς ὀνόμασιν καὶ πράγμασιν τὰ νοητὰ χρῶνται ταῖς λέξεσιν. Ἐπεὶ γὰρ «πηγῆς» μνήμη γέγονεν, ἐὰν «συντριβῇ» τὸ «ἐκ μέρους», καὶ ἐπεὶ περὶ γνώσεως ἦν τελείας ..... συντριβὴν ὑδρίας επε...αλλ. κατάργησιν τοῦ «ἐκ μέρους» σημαίνει τὸ κείμενον· τὸ «ἐκ μέρους» καὶ ἡ «ὑδρία» ταὐτόν ἐστιν καὶ ἡ «πηγὴ» καὶ τὸ «πρόσωπον πρὸς πρόσωπον». Ποι.....δε... καὶ ἡμεῖς πολλάκις ἐνταῦθα. Ἔασον γὰρ γ.....εινοου **208** ἡ παρουσία καταλύει τὸ «ἐκ μέρους». Πολλάκις ἐλέγομεν εἶναι ..... τὰ ἐπιπολαιότερα α..... ἐκεῖνος ἀκοῦσαι ἐξ ὧν ὠφεληθῆναι.....· ἐὰν ἴδωμεν αὐτόν, «ὑδρίαν» καὶ πάντα ἐκεῖνα «συντρίβομεν»[9]· ἐπεὶ μείζονα θεωροῦμεν, ἐκβάλλομεν αὐτά· οὐ καθεγ...εν αὐτὰ ἀλλὰ «συντρίβομεν» αὐτὰ εἰς μείζονα.

Καὶ συντροχάσει οὖν ὁ τροχὸς ἐπὶ τὸν λάκκον[10].

Δύναται ἐκ παραλλήλου «λάκκος» καταληφθῆναι· ὥσπερ ἔστιν «ὑδρίᾳ» ἀπὸ «πηγῆς» ἀρύσασθαι, οὕτω καὶ ἀπὸ «λάκκου» «τροχῷ» ἀνιμήσασθαι ὕδωρ. Ὅταν οὖν μηκέτι χρεία ᾖ τοῦ οὕτως ἀνιμᾶσθαι, τότε «ὁ τροχὸς ἐπὶ τὸν λάκκον συντροχάσει»[11]· οὐκ ....ι...ε..ολεις αὐτὸν.....ι.

210 Δυνατὸν δὲ καὶ ἑτέρως· στιχήριον γάρ ἐστιν καὶ ἕκαστος στίχος ἰδίαν ἔχει νόησιν. Λέγομεν τοίνυν τοῦτο ὅτι ἐν πολλοῖς τόποις τῆς γραφῆς ὁ ᾅδης «λάκκος» ὀνομάζεται. Ἴδε γὰρ τί λέγει· «Κύριε

---

1. Πρβλ. Α' Κορ. 13,9. 2. Πρβλ. Α' Κορ. 13,10. 3. Πρβλ. Ἐκκλ. 12,6. 4. Πρβλ. Ἰω. 4,10-14. 7,38. 5. Ἰω. 7,38. 6. Πρβλ. Ἐκκλ. 12,6. 7. Πρβλ. Α' Κορ. 13,10. 8. Πρβλ. Ἐκκλ. 12,6. 9. Ἔνθ' ἀν. 10. Ἐκκλ. 12,6. 11. Ἔνθ' ἀν.

ἀνήγαγες ἐξ ᾅδου τὴν ψυχήν μου, ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον[1]»· καὶ ὁ Σωτὴρ ἐνανθρωπήσας καὶ θάνατον ὑπὲρ ἀνθρώπων ἀναδεξάμενος λέγει· «προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον[2], ἐπεὶ ἐγενόμην ὡς ἄνθρωπος ἀβοήθητος»[3]. Ἐσταυρώθη[ν] καὶ ἦσαν αἱ χεῖρες αὐτοῦ καὶ οἱ πόδες ὡς «ἀβοηθήτου»[4]· «ἤχθη ὡς πρόβατον ἐπὶ σφαγήν»[5], ὡς «ἀβοήθητος»[6]. Ἑαυτὸν δὲ εἰς τὸ «ἀβοήθητον» περιήγαγεν. Καὶ ἐπιφέρει· «ἐν νεκροῖς ἐλεύθερος»[7], «καὶ προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον»[8], καὶ ἄνθρωπος «ἀβοήθητος» ἔδοξα εἶναι, ἀλλ' «ἐν νεκροῖς ἐλεύθερός»[9] εἰμι· «ἐλεύθερος» δὲ δύναται νοεῖσθαι τὸ «ἐν νεκροῖς ἐλεύθερος»[10], τουτέστιν ἄνευ ἁμαρτίας.

---

1. Ψαλ. 29,4. 2. Ψαλ. 87,5. 3. Πρβλ. Ψαλ. 87,5. 4. Ἔνθ' ἀν. 5. Ἡσ. 53,7. 6. Ψαλ. 87,5. 7. Ἔνθ' ἀν. 8. Ἔνθ' ἀν. 9. Ἔνθ' ἀν. 10. Ἔνθ' ἀν.

ΠΙΝΑΞ

ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ*

		Σελ.
Γεν.	1,5	37
	1,26	74.138.196.219
	1,27	123.126
	1,31	11.184
	2,2	38
	2,7	123
	3,9	18
	3,18	206
	3,19	50.125
	3,21	125
	4,7	140
	4,16	22.144
	5,2	126
	8,21	12.117
	15,6	80
	15,15	80
	17,1	113
	18,27	60.137.182
	19,11	68
	21,33	47
	22,2	13
	22,7	14
	24,16	222
	24,17-18	222
	24,18-20	222
	25,8	79.80
	25,23	188
	27,36	72
	39,7-9	68.74
Ἔξ.	1,21	76.206
	3,10	92
	4,10	60
	6,12	60.137.177.182
	7,12	105
	13,10	81
	14,26-28	68
	15,7	53.129
	15,10	37
	17,11	68
	19,3	214
Ἔξ.	20,12	80
	20,15	199
	20,21	111
	21,22	125
	21,23	125
	23,3	159
	29,26-27	193
	32,7	92
	32,32	92.214
	33,13	196
	33,22	212
	36,8-12	222
	36,10	222
Ἀριθ.	12,3	125
	15,4	210
	15,6	210
	15,9	210
	17,23	218
Δευτ.	4,10	180
	5,31	77.201
	15,6	73
	15,17	47
	16,20	107.200
	17,7	208
	23,21	73
	24,13	73
	28,12	73
	32,5	188
	32,7	197
	32,21	176
	32,23	83
	32,39	71
	32,42	83
Ἰησ. Ν.	5,13	45
Κριτ.	14,19	218
Α' Βασ.	2,7	27

---

* Τὰ χωρία τῆς Παλαιᾶς Διαθήκης καταριθμοῦνται κατὰ τὸ κείμενον τῶν Ο'.

		Σελ.
Α′ Βασ.	2,10	87
	3,7	117
	12,23	200
	15,26	179
	16,1	179
	16,12	100.125
	17,42	100.125
	17,49	68
	24,4	69
	24,5	69
Β′ Βασ.	15,31	67
	22,5-6	192
Γ′ Βασ.	2,46	179
	13,28	75
	19,11	212
	19,18	55
Δ′ Βασ.	2,24	75
	5,25	67
	5,26	67
	6,18	68
Α′Παρλ.	15,24	220
Α′ Ἔσδρ.	3,12	218
	4,34	189
	4,41	218
Ἔσθ.	4,17	127
Ψαλ.	1,1	15
	1,2	15
	1,16	23
	2,9	207
	3,25	52
	5,4	.16.139
	6,7	51
	7,12	.61.112.127
		157.204
	7,12-13	204
	7,13	204
	9,14	113
	9,15	113
	9,36	.63.104.199
	10,1	91
	11,7	206.221
	13,1	.34.109
	13,3	191
	14,2	201
	17,5	192
	17,10	111

		Σελ.
Ψαλ.	17,31	221
	18,9	140
	18,11	91
	18,13	16
	21,7	182
	21,31	188
	24,7	203
	24,21	.30.106.155
	25,1	30
	25,2	.86.110
	26,12	.63.105.198
	29,4	224
	29,12	107
	30,13	151
	30,19	40
	31,9	197
	31,10	54
	32,6	124
	32,15	124
	33,2	16.27.197
	33,15	13
	33,17	34
	33,20	.54.123
	33,22	113
	35,7	108.135
	36,1	62
	36,25-26	73
	36,27	13
	36,30	159
	36,35-36	63
	37,18	71
	38,5	79
	39,2	88
	39,9	81
	40,2	37
	40,13	106
	41,5	78
	41,6	119
	41,12	119
	42,5	119
	43,3	143
	45,2-3	52
	48,13	197
	48,17	64
	48,17-18	.87.106.115.130
	48,18	.64.130
	48,21	197
	50,8	100.135.179
	50,12	170
	51,7	80
	52,2	.34.169
	52,6	51
	54,23	139

		Σελ.
Ψαλ.	56,8	50.119
	56,9	98
	57,7	57.75
	58,5	115
	61,11	90
	62,2	16.98.142
	62,10	132
	64,12	40
	65,10	206
	67,3	104
	67,12	182
	71,12-13	70
	71,14	70
	72,1	43
	72,1-3	43
	72,2	168
	72,12-14	137
	72,22	137.182.197
	72,23	137
	73,13	41
	73,19	75
	75,9-10	140
	76,5	28.35.116.119
	76,6	197
	77,15	184
	77,25	171
	78,8	138
	83,3	51
	86,1	91
	87,5	224
	87,6	78
	88,31	54.120
	88,32	54
	88,33	54.120
	90,1	80
	90,10	54
	90,13	41.103
	90,16	80
	94,5	125
	94,6	51
	96,10	30
	100,4	13.115
	101,5	83.116
	101,8	215
	101,25	79.122
	101,28	122
	103,3	170
	103,4	125
	103,15	22.140
	103,18	177
	104,15	21.143
	106,23-24	192
	106,24	192
Ψαλ.	106,26	192
	106,34	193
	106,42	71
	107,2	119
	109,1	201
	110,3	154
	111,1	77
	111,3	77
	111,7	23.144.172
	111,9	103
	112,7	66
	115,6	113
	115,7	19
	117,16	21
	118,1	201
	118,32	115
	118,73	123.124
	118,165	139
	119,5	49
	120,1	155
	120,6	48.104.171
	123,2-3	105
	123,4	192
	124,1	91
	125,5	79
	125,6	81
	126,1	102.194
	131,1	125
	132,1	15
	134,7	135
	136,1-4	217
	136,3	217
	136,4	217
	137,3	40
	138,5	136.143
	138,6	135
	140,6	105
	141,5	88.151
	141,8	50
	142,2	60
	143,9	217
	145,3	90
	146,4	66
	146,6	113
Ἰωβ	1,1	13.14.15.55.82 86.98.107.113 119.132.141
	1,1-3	14
	1,2	141
	1,3	15.141
	1,4	15
	1,5	16.55.141.142

		Σελ.
Ἰώβ	1,6	17.32
	1,7	17.18.29.142
	1,8	18.19.20.29 30.86.113
	1,9	20.142
	1,9-10	20
	1,10	30
	1,11	21.30.72.143
	1,12	21.22.143.144
	1,13	15.22.144
	1,14	22.144
	1,14-15	22
	1,16	23.129.144
	1,17	24.129.145
	1,18	129.130.146
	1,18-19	25
	1,19	25.146
	1,20	26
	1,20-21	26
	1,21	26.27.46
	1,22	28.35.86
	2,1	28.62
	2,2	28.29
	2,3	29.30.82.86.113
	2,4-5	30
	2,5	31.33
	2,6	31.146.147
	2,7	31.32.116
	2,8	32.76.107
	2,9	32.33.76.147
	2,10	34.35
	2,11	35.36
	2,12-13	36
	2,13	37
	3,1-2	37
	3,3	39
	3,3-5	37
	3,4	39
	3,5	39
	3,5-6	39
	3,6	40
	3,6-7	40
	3,7	40
	3,8	16.41.120 142.147
	3,9	41.42
	3,10	42.43
	3,11	44
	3,11-12	43
	3,12	44.45
	3,13	44.46
	3,13-14	44
	3,14	44
Ἰώβ	3,15	45.46
	3,16	45
	3,17	46
	3,17-18	46
	3,18	47
	3,19	47
	3,20	48.49
	3,21	49
	3,22	49
	3,23	50.85
	3,24	51
	3,24-25	51
	3,25	52
	3,26	52
	4,1-5	53
	4,2	55.148
	4,3	55
	4,4	55
	4,5	55.56.82
	4,6	56
	4,7	56
	4,7-9	56
	4,8	56
	4,9	56
	4,10	57
	4,10-11	148
	4,10-12	57
	4,11	58.148
	4,12	57.58.59
	4,12-16	58
	4,13	59
	4,14	59
	4,15	59
	4,16	59
	4,17	59.60.148
	4,18	61
	4,18-20	61
	4,19	61
	4,20-21	61
	4,21	62
	5,1	62.75
	5,2	61.73
	5,3	63
	5,4	63
	5,5	64
	5,6-7	64
	5,7	65
	5,8	65
	5,8-9	149
	5,9	65
	5,9-10	65
	5,9-11	69
	5,11	66.149

		Σελ.
Ἰώβ	5,12	66.67
	5,13	67.74
	5,14-15	68
	5,15	69.70
	5,16	69.70
	5,17	80
	5,17-18	71.149
	5,18	71
	5,18-21	80
	5,19	72.150
	5,21	74
	5,22	75
	5,22-23	75
	5,23	76
	5,24	76.77.78
	5,24-25	76
	5,25	76.78.79
	5,26	79.80.81.150
	5,27	82
	6,1-3	82
	6,2	83
	6,3-4	83
	6,4	83
	6,5	84.150
	6,5-7	84
	6,6	84.150
	6,7	84
	6,8	85
	6,8-9	85
	6,9	85
	6,10	86.87
	6,11-14	87
	6,13	87
	6,13-14	87
	6,14	88
	6,15	88.151
	6,16	88.151
	6,16-17	89
	6,16-18	88
	6,18	76.89
	6,19	90
	6,19-20	90
	6,20	91
	6,21	91.151.152
	6,22	92.93
	6,22-23	91
	6,24	93.152
	6,25	93
	6,25-27	152
	6,26	93.152
	6,27	94
	6,28	94
	6,29	94.95.153
Ἰώβ	6,29-30	153
	6,30	95.153
	7,8-10	95
	7,9	153
	7,9-10	153
	7,10	95.153
	7,12	95.96
	7,13-14	96
	7,15	96
	7,16	96
	7,20	97
	7,21	97
	8,1-3	98
	8,3	98
	8,4	98.99
	8,5	99.100.111
	8,5-6	99.110
	8,6	99.100
	8,7	99.100
	8,8	100.105.107.134
	8,9	100
	8,10	101
	8,11-12	101.153
	8,12	102
	8,13	102.103
	8,14	103
	8,15	104
	8,16	104
	8,17	104
	8,17-18	105.154
	8,18	105
	8,18-19	106
	8,19-20	106.154
	8,20	106
	8,20-21	155
	8,21	107
	9,5	107.155
	9,6	156
	9,7	156
	9,8	120
	9,10	108
	9,11	108
	9,12	108.109.112
	9,12-13	109
	9,13	109.156
	9,14	110
	9,15	110
	9,16-17	111
	9,17-18	112
	9,19	112
	9,20	112.113
	9,21	113
	9,22-23	113

		Σελ.
Ἰώβ	9,23-24	114
	9,24	114
	9,25	114
	9,25-26	115
	9,27	115
	9,27-28	156
	9,28	116.156
	9,29	117
	9,30-31	117
	9,31	118
	9,32	119
	9,33	119
	9,34	120
	9,35-10,1	121
	10,2	121
	10,3	121
	10,3-5	122
	10,4	122
	10,5	122
	10,6	122
	10,7	123
	10,8	123.124.156
	10,9	124.125
	10,10	125
	10,11	125.126
	10,12	126
	10,13	126.127
	10,14	127.128.157
	10,15	128.130.157
	10,16	128.129
	10,17	129
	10,18-19	130.157
	10,19-20	131
	10,20-21	131.157
	10,21	131
	10,21-22	131
	10,22	132
	11,1-2	132
	11,2	132
	11,3	133
	11,4	134
	11,5	134
	11,6	134.135.159
	11,7	135
	11,8-9	158
	11,10	136.137
	11,11	137
	11,12	137.158
	11,13-14	137
	11,15	138
	11,16	138
	11,17	139
	11,18	139
Ἰώβ	11,19	139.140
	11,20	140
	12,4	158
	13,3	159
	13,4	159
	13,6	159
	13,10-11	159
	13,11	159
	13,13-14	160
	13,14	160
	13,15	160
	13,16	160
	13,18	31.53.82.116 118.147.156
	13,27	160
	14,3	160
	14,4	91
	14,4-5	117
	15,7	161
	15,12-13	161
	15,14	161
	15,17-18	161
	15,20	139
	15,25	11.21
	15,28	162
	16,6	162
	16,17	162
	18,5	39
	19,2	194
	19,23	100
	20,1	27
	21,3	163
	21,7-8	117
	21,10	117
	21,13	102.117
	21,18	209
	24,14	197
	25,2	29
	25,5	60.116.134
	26,12	110
	29,12	13
	29,15	13
	29,16	13
	40,8	27.38.130 132.135
	40,12	87
	41,5	114
	42,8	55.76
	42,17	14
Παρμ.	1,2	165
	1,4	30.67.202
	1,7	180

		Σελ.
Παρμ.	1,8	180
	1,9	166
	1,10	166
	1,11	166
	1,12	166
	1,33	140
	2,11	166
	2,13	200
	2,15	200
	3,5	87
	3,8	167
	3,12	71.86
	3,16	167
	3,18	167
	3,34	66
	4,8	168
	4,21-22	168
	4,24	134
	4,26	168
	5,3	168
	5,4	168
	5,8	168
	5,11	168
	5,12	168
	5,14	168
	5,15	169
	6,6	108
	6,8	169
	6,16	99
	7,1	169
	7,3	169
	7,19	169
	7,27	169
	8,15	36.66
	8,16	36
	8,22	170
	8,25	170
	8,34	213
	8,35	171
	9,2	81
	9,5	171
	9,18	115.169
	10,5	48
	10,13	121.171
	10,19	133
	10,20	206
	10,29	206
	11,3	102
	11,7	171
	11,8	171
	11,24	172
	11,28	90
	11,29	172
Παρμ.	11,31	172
	12,12	172
	12,17	172
	13,14	172
	13,22	64
	13,24	121
	14,1	78
	14,9	76.206
	14,15	30.106
	14,16	197
	14,21	173
	14,23	173
	15,7	134
	16,16	173
	16,17	173
	16,29	173
	16,30	173
	17,6	162.174
	17,28	174
	19,7	174
	19,13	106
	19,24	174
	20,11	200
	20,13	74
	22,15	202
	22,26	175
	24,12	56.61
	24,20	175
	25,23	178
	26,3	178
	26,9	67
	27,7	192
	27,10	89
	27,12	67
	28,1	57.128
	30,7	175
	30,9	175
	30,15	176
	30,19	115.176
	30,20	176
	30,22	176
	30,23	176
	30,25	177
	30,26	177
	30,30	128
	30,31	177
	31,4	177
	31,6-7	177
	31,22	178
Ἐκκλ.	1,1	179.180.182.183
	1,2	101.181.183.184 186.189.190

		Σελ.
Ἐκκλ.	1,3	187.188.189
	1,4	188.189
	1,5	189.190
	1,6	189.190
	1,7	191.192.193
	1,8	193.194
	1,9-10	38
	4,3	40.131
	4,8	194
	6,3	131
	7,17	79
	7,23-24	135
	7,24	59
	7,29	196
	8,4	112
	8,5	204.222
	10,4	12.18
	10,7	48
	11,3	48
	11,6	196
	11,7	196.198
	11,8	196.197
	11,8-9	198
	11,9	199.200.201.203
	11,9-10	201
	11,10	201.202
	12,1	202.203.204
	12,1-2	204
	12,2	205
	12,3	206.208.209
		210.211.212
	12,4	212.213.214
		215.216.219
	12,5	217.218.219
		220.221.222
	12,6	221.222.223
Ἐξ.	4,5	181
	4,5-6	181
	4,8	181
	5,10	81
	6,11	192.193
	7,3	81
	7,13	192.193
	8,7	101.122
Σ. Σολ.	1,13	11
	2,24	11
	4,8-9	80
	4,11	80
	7,5	48
	7,6	48
	7,17–18	66.136
Σ. Σολ.	11,20	46
	11,26	123
	12,10	66
	12,14	48
	13,5	184
	14,13	198
Σ. Σειρ.	4,11	216
	9,4	217
	9,10	89
	11,7	94.153
	11,25	138.198
	13,23	83.93
	20,9	40
	25,11	51
	32,19	141
	34,23	92
Ὡσ.	2,8	39
	2,10	210
	4,14	71
	8,7	210.214
	8,8	105.107
	9,2	198
	9,17	78
	10,12	79
	10,13	210
Ἀμ.	3,12	105
	5,8	135
	5,23	217
	6,4-6	115
	7,9	107
	8,10	217
	8,11	74
Μιχ.	4,4	140
	7,3-4	61
	7,9	54.109
Ἰωηλ	1,4	219
	1,8	220
Ὀβδ.	1,3	212
Ἰων.	3,5	67
	3,10	67
Ἀββ.	1,3	43
	3,2	59
	3,16	59
Ζαχ.	2,12	21.72

		Σελ.
Ζαχ.	11,1	165
Μαλ.	1,2-3	38
	3,20	12.15.79.104
		139.141.184
		190.196.205
Ἡσ.	1,8	208.209
	1,13	210
	1,16	28
	1,16-17	13
	2,19	212
	2,21	212
	4,4	118
	5,4	214
	5,6	214.215
	9,4	205
	10,3	74
	10,13	70
	10,14	70
	10,15	70
	11,9	29
	12,1	134
	13,2	55
	13,10	205
	14,11	12
	14,13	19
	14,19-20	118
	18,1-2	165
	22,13	51.103.181
	24,16	103
	26,9	16.98.142
	26,16	54
	26,17-28	81
	29,16	109.112.136
	30,14	208
	31,2	59
	35,10	50.63.72
	37,3	204
	45,8	206
	45,9	109
	49,9	158
	51,11	50.63
	52,6	59
	53,7	224
	59,4	103
	59,5	103
	59,5-6	103
	59,6	104
	59,7	99
	60,8	103
	61,10	104
	63,4	204
	63,11	197
	64,5	118.134
	65,16	138.197
	65,17	197
	66,2	124
	66,3	106
	66,5	89
Ἱερ.	1,1	182
	1,5	38.43
	5,8	197
	7,16	92
	7,17	92
	7,18	92
	9,22-23	87
	12,1	43
	12,7	209
	13,9	208
	15,17	49
	17,7	91
	18,1	207
	18,4	207.208
	19,1	208
	19,10	208
	23,28	209
	27,17	57
	27,25	21
	28,9	208
	30,2	132
	30,25	132
	45,6	43
Βαρ.	4,26	200
Θρ.	1,1	47.220
	1,9	99
	4,2	207
Ἰεζ.	8,24	78
	18,23	157
	18,24	107
	33,11	127
	33,13	78.107
Δαν. Σουσ.	22	67
	32	67
	34	67
	36-37	74
Δαν.	2,21	66
Ματθ.	1,6	179
	3,2	177

		Σελ.
Ματθ.	3,12	81
	4,23	12
	5,3	13.132
	5,5	44
	5,8	99.187
	5,9	139
	5,18	189.205
	5,28	201
	5,35	91
	5,42	73
	6,2	28
	6,4	28
	6,13	85.129
	6,20	181
	7,6	215
	7,7	213
	7,15	114
	7,24	77.103.206.215
	7,24-25	77
	7,26	77
	10,9	73
	10,28	51
	11,12	72
	11,16	220
	11,16-17	220
	11,18	220
	11,27	194
	12,41	12.67
	12,42	12
	13,3 κ.ἑ.	171
	13,5	132
	13,7	132
	13,11	182.215
	13,20	132
	13,22	132
	13,23	79
	13,24	79
	13,34-35	185
	13,38	80
	13,39	188
	13,43	91
	13,49	188
	14,21	25
	15,13	104
	15,19	101
	15,20	111
	16,17	196
	16,18	77
	16,28	77
	17,20	127
	18,10	208
	21,43	64
	23,38	209
Ματθ.	24,14	219
	24,40	210
	24,41	210.214
	24,42-43	52
	25,4	213
	25,6	213
	25,10	213
	25,21	50
	26,24	40.131
	26,31	156
	28,20	177.189
Μάρκ.	3,17	217
	4,11	180.182.185
	4,14	210
	4,34	180.182
	13,24	205
Λουκ.	1,35	100.124
	1,44	38
	1,47	45
	6,21	107
	6,48	23
	7,28	133
	8,8	167
	10,19	41.70.75
	10,20	34
	10,22	194
	11,4	85.129
	11,30	12
	11,32	67
	12,7	66
	12,18	57
	12,20	57.60
	12,39	52
	14,11	66
	15,22	118
	15,23	16
	16,8	47
	16,19	43.60.90
	16,20	90
	16,20-23	107
	16,21	90
	16,22	90
	17,21	74
	18,14	128
	19,17	44
	19,19	44
	22,30	51
	22,31	14.52
Ἰω.	1,1	170
	1,3	17.127

		Σελ.
Ἰω.	1,9	197.205.217
	1,14	170
	1,18	217
	3,3	58
	3,4	58
	3,7	58
	3,36	169
	4,10	168
	4,10-14	223
	4,14	74
	4,28	222
	4,29	222
	5,39	193.211
	5,45-46	214
	5,46	155
	5,47	214
	6,33	174
	7,38	223
	8,33	78
	8,39	78
	8,44	78
	9,2	65
	10,29	21.78
	10,30	120
	12,24	80
	12,32	177
	13,2	110
	13,25	193
	13,27	110
	14,6	171
	14,9	196
	14,21	196
	14,23	105
	15,19	42.72
	17,21	120
Πράξ.	1,24	17
	1,25	106
	3,6	73
	5,12	108
	7,22	60
	7,50	124
	7,59	126
	12,2	217
	12,15	208
	13,10	200
	13,22	179
	14,15	180
	14,22	84
	15,28	27
	19,38	221
	19,39	221
	20,7	133
Ρωμ.	1,3	179.180.182
	1,4	180
	1,19	187
	1,20	187
	1,22	87
	1,28	172
	2,6	56.61
	2,11	47
	2,16	138
	2,29	187
	3,5	218
	3,7	218
	3,12	191
	3,23	117.128
	4,3	80
	4,15	219
	4,17	127
	5,3-4	86
	5,4	54
	5,5	86
	5,12	117.128
	5,33	54
	6,2	86
	6,4	201
	8,16	19
	8,24	103
	8,26	110
	8,27	110.121
	8,35	23.52.74.85
	8,37	52
	8,38	184
	9,2	75
	9,2-3	49
	9,3	92
	9,7	78
	9,12	188
	9,13	38
	9,19	136
	9,20	109.112.136
	9,21	206.207.208
	9,22	21
	10,6	192
	11,3	192
	11,4	55
	11,33	59
	11,33-34	108
	13,14	104
	14,10	48.212
	16,18	30.106.107.155
Α' Κορ.	1,4-5	185
	1,5	77
	1,24	168.173

		Σελ.
Α′ Κορ.	1,26	218
	1,28	127
	1,30	168.173
	2,6	105.114.186
	2,7	185
	2,10	17
	2,13	216
	3,1-3	184
	3,2	114.185
	3,16	105
	3,20	180
	4,4	16.86.110.113 116.134
	4,8	45
	4,15	166.179
	4,18	187
	4,20	.84.151
	4,21	120
	5,1	185.208
	5,13	208
	6,3	12
	6,13	81
	6,16	199
	8,13	47
	9,20	186
	9,20-21	114.186
	9,20-22	185
	9,22	186
	9,26	115
	10,4	.77.105.184.212
	10,13	18.70
	11,1	73
	11,3	199
	11,16	177
	12,1	185
	12,7	111
	12,8	111.207
	12,9	111
	13,4	71
	13,8	71
	13,9	100.215.216.223
	13,10	211.221.222.223
	13,12	215.216
	13,13	139
	14,25	138
	15,10	.86.112.116 131.216
	15,12	185
	15,19	.97.103.130.133
	15,28	120
	15,31	49
	15,32	.51.103.181
	15,43	128
	15,44	211.216
	15,45	73
	15,49	132
	15,52	215
	15,52–53	216
	15,53-54	211
	16,9	213
Β′ Κορ.	1,8-9	35
	1,9	116
	2,7	116
	2,12	213
	2,13	213
	3,3	167
	4,5	188
	4,8	.54.123
	4,8-9	116
	4,11	86
	4,18	.47.180.181.183 185.188.189 197.198
	5,4	105
	5,10	.48.212.222
	8,13	27
	11,3	.51.58.67
	11,14	17.45.114
	11,29	51
	11,31	94
	12,2	83
	12,11	112
Γαλ.	1,15	196
	1,16	196
	2,15-16	188
	2,20	86
	3,6	80
	3,28	48
	4,4	133
	5,13	188
	5,22	107.139
Ἐφ.	1,18	201
	1,21	184
	2,2	12
	2,10	181
	2,14	120
	2,15	170
	2,20	154
	4,14	168
	4,22	201
	4,24	201
	4,27	13.58
	5,16	37

		Σελ.
Ἐφ.	6,12	18.45.53
	6,13	45
Φιλιπ.	1,3	42
	1,23	49.130
	1,24	42
	2,7	170
	2,15	188
	2,21	191
	3,8	86
	3,19	107
	3,20	136.187
	3,21	219
Κολ.	1,16	65.180.181
		183.186.195
	1,17	170
	1,28	186
	2,8	168
	3,1	181
	3,2	181
	3,9	201
	3,10	200
	3,12	104
Α′ Θεσ.	2,16	155
	5,5	216
	5,23	219
Α′ Τιμ.	1,9	172
	1,19-20	12
	1,20	12
	2,5	120
	2,8	138
	5,6	86
	6,7	27
	6,18	77
	6,20	68.105
Β′ Τιμ.	2,12-13	127
	2,20	206.207.208
	2,21	206.207
	2,22	200
	3,16	182.188
	4,2	93.152
	4,14	56
	4,16	57
	4,17	57
Τιτ.	1,14	49
	2,8	71
Ἑβρ.	1,4	215
	1,14	206
	2,14	41
	3,6	105
	4,12-13	17
	6,7	206
	6,7–8	205
	6,8	206
	6,9	206
	6,11	85
	6,18	127
	10,1	100
	11,40	50
	12,2	16
	12,17	204
	13,14	49
Ἰακ.	1,2	54
	1,3	54
	1,12	54.88
	2,23	60
	2,26	126
	3,2	94
	4,6	66
Α′ Πέτρ.	2,5	185
	2,21	170
	3,14	51
	4,6	139
	5,5	66
	5,7	139
	5,8	12.18.41.53
		75.142
	5,9	18
Β′ Πέτρ.	1,9	198
	3,9	204
Α′ Ἰω.	2,14	200
	2,15	181
	2,17	181
	2,29	19.166
	3,9	78
	3,17	101.122
Ἰούδα	6	61
	23	118
Ἀποκ.	2,23	110.121
	3,14	170
	9,2	211

ΠΙΝΑΞ

ΘΕΜΑΤΩΝ, ΟΝΟΜΑΤΩΝ, ΠΡΑΓΜΑΤΩΝ

(Συνταχθεὶς ὑπὸ τοῦ Σεβασμιωτάτου Μητροπολίτου Κορινθίας κ. Παντελεήμονος)

α) Οἱ πρῶτοι ἀριθμοὶ ἀναφέρονται εἰς τὴν σελίδα, οἱ δὲ μετὰ τὸ κόμμα εἰς τοὺς στίχους τῆς σελίδος.— β) Ὅταν εὑρίσκηται πρὸ τοῦ ἀριθμοῦ τῆς σελίδος τὸ σημεῖον σελ., τὸ ὄνομα ἢ πρᾶγμα ἀπαντᾶται περισσότερον ἢ δὶς εἰς τὴν αὐτὴν σελίδα.

Ἀαρὼν 105,28.
Ἀβεσσαλὼν 183,3.
Ἀβραὰμ 13,29,33. 14,18. 50,8. 60, 31. σελ. 78. σελ. 79. 80,4. 90,35. 107,20. 113,5. 141,23. 182,7. 222, 33. Πειρασμὸς — 13,33 ἑξ.
Ἀγαθά. — ἀνθρώπου 30,36 ἑξ. Ἀρεταὶ καὶ — Ἰὼβ 14,31 ἑξ. Ἔθνη θησαυρίζοντα δι' — ἔργων 177,1 ἑξ. Ἡμέρα — 198,1 ἑξ. Πράττειν — 174,26.
Ἀγαθοεργεῖν. — ἐξ ἀκοῆς, θεωρίας καὶ ἐξ ἐπιστήμης 169,12-13.
Ἀγαθόν. — ἐν Θεῷ ἐστι 199,2. Ἐκ Θεοῦ μόνον — προέρχεται 11,25 ἑξ. Τὸ εἰδέναι καὶ πράττειν τὸ — ἀναγκαῖον διὰ τὴν μακαριότητα 166,1 ἑξ.
Ἀγάπη 139,17.
Ἀγαπητικὸς 87,23.
Ἄγγελοι 205,27. 206,10 ἑξ. — πλάσματα Θεοῦ 125,1 ἑξ. — φύλακες Ἐκκλησίας 208,24 ἑξ. Ὀπτασία — 62,14 ἑξ. Περὶ — παρὰ τῷ Θεῷ 17,2 ἑξ.
Ἅγιοι. Ἄθλησις ἐν ἁγῶσι — 49,36. Θάρρος καὶ ἑτοιμότης — ἐν θλίψεσι 52,5 ἑξ. Ὑπομονὴ — 118, 35 ἑξ.
Ἅγιος. Πρεσβεία — πρὸς Θεὸν 92,5 ἑξ.
Ἁγιότης 154,25.
Ἁγνότης 105,7.
Ἀγορά. — Ἐκκλησία 221,4-222,12. Κλείει τὰς θύρας ἐν — πῶς ἑρμηνευτέον 212,26 ἑξ.
Ἀγωγὴ 120,28.
Ἀγωνιστὴς 31,25.
Ἀδὰμ 18,1. 33,8. 34,23. 50,34. 117, 28. σελ. 125. 128,1,17. 147,24. 167,16.
Ἅδης. Ὁδοὶ — 169,29.
Ἀδιάθετος 58,14.
Ἀδιάκριτον 89,6.
Ἀδιάπτωτος 57,9-10.
Ἀδιάστατον 173,23.
Ἀδιάστροφος 21,4.
Ἀδικούμενος. Ἐλπὶς ἀδυνάτου — ὁ Θεὸς 69,25 ἑξ.
Ἀδοξία 66,34.
Ἄθεος. — ἄφρων ἀπολέσας τὸ θεωρητικὸν 169,18.
Ἄθλησις. — ἐν ἁγῶσι ἁγίων 49,36.
Ἀθλητὴς 24,15. 31,25.
Ἀθυμία 145,30.
Αἴγυπτος 179 ὑπσμ. 196 ὑπσμ.
Ἀΐδιον. — Θεοῦ 170,1.
Ἀΐδιος. — ὁ Θεὸς 187,2.
Αἰθιοπία 165,23.
Αἴνιγμα. — τί ἐστι 165,30.
Αἰνιγμὸς 181,21.
Αἱρετικοί. — ἐξαπατῶντες καρδίας 155,1 ἑξ.
Αἰσθήσεις. Ψυχαὶ ἐν — οὖσαι 211,12 ἑξ.
Αἰσθητά. Ἐκκλησιαστὴς ὁμιλῶν περὶ τῶν — 181,22. Πρόνοια Θεοῦ διοικεῖ καὶ τὰ — 181,22.
Αἰσθητικὸς 26,16. 85,37.
Αἰών. — μέλλων 212,29.
Αἰώνιον 47,3.
Ἀκαθαίρετος 20,36-37.
Ἀκακία 30,9-10,12.
Ἄκακος σελ. 106. — οὐκ ἀποποιεῖται ὑπὸ Θεοῦ 105,16 ἑξ.
Ἀκαμπὴς 27,28. 34,36. 36,31.
Ἀκατάπληκτος 50,29.
Ἀκέραιον 30,17.
Ἀκολάκευτος 45,19.
Ἀκολασία 168,27. — παράγωγον σαρκὸς 202,20 ἑξ.
Ἀκολουθία 39,13.

'Ακρίς. — σύμβολον κολάσεως 219, 6 ἑξ.
'Αλαζονεία. Παίδευσις δι' — 63,34 ἑξ.
'Αλαζών. Μυρμηκολέων ὁ — ἦν ὁ διάβολος καὶ διατὶ 58,4 ἑξ.
'Αλέξανδρος 12,28.
'Αλήθεια 218,21 ἑξ. Περὶ — 105,14 ἑξ. Θεωρίαι — 200,28.
'Αλήθουσαι. 'Αργεῖν τὰς — πῶς ἑρμηνευτέον 209,25-211,11.
'Αλληγορία 38,10.
'Αλλοιωτὸς 53,38.
'Αμαθία 174,20.
'Αμαλὴκ 68,36.
'Αμαρτάνειν 157,16 ἑξ. — καὶ κόλασις 166,23.
'Αμαρτήματα. — ἀνθρώπων 137,1 ἑξ. — προγόνων καὶ κάθαρσις 157,21. 'Επιτιμία διὰ τυχὸν — 112,4 ἑξ. Συγχώρησις — 138,25 ἑξ.
'Αμαρτία. — ζητηθησομένη 199,8 ἑξ. — κακὸν εἰς ἀνθρώπου ζωὴν 197, 7 ἑξ. — καὶ θρῆνος 220,22 ἑξ. — καὶ τιμωρία 98,31 ἑξ. — καὶ τραύματα 152,11 ἑξ. 'Αποφυγὴ — ἐν καιρῷ θλίψεων 28,1 ἑξ. "Ελεγχος τῶν εἰς — πεσόντων 152,2 ἑξ. Πολυλογία καὶ — 133,23 ἑξ. Χριστὸς ἄνευ — 224,10.
'Αμαρτίαι. 'Αρετὴ 'Ιὼβ φανερωθησομένη ὅτι οὐ δι' — αἱ ἑαυτοῦ θλίψεις 88,31-98,8. Θλίψεις δι' — πρὸς σωφρονισμὸν 62,1 ἑξ. Θλίψεις ἑξ — 149,5. 'Ιὼβ οὐ δι' — ἔπασχεν 56,7-38. 60,1 ἑξ. 82,34 ἑξ. 83,11 ἑξ. 119,13 ἑξ. 121,5-123, 21. 153,1 ἑξ. 161,8 ἑξ. Κακίαι καὶ — 198,33 ἑξ. Χριστὸς παθὼν ὑπὲρ — ἡμῶν 177,14 ἑξ.
'Αμαρτωλοί. 'Απώλεια — 113,18-114,33. Μάστιγες καὶ θλίψεις — 54,22 ἑξ.
'Αμαρτωλός. — πᾶς ἄνθρωπος 59,35-61,33. 'Ιὼβ ὑπό τινων — θεωρηθεὶς 135,28 ἑξ. Πᾶς — ἔξω Θεοῦ ἐστι 31,38 ἑξ.
'Αμαρτωλότης. — ἀνθρώπου 127,26-129,32. 134,1 ἑξ. οὐδεὶς ἐξαιρεῖται τῆς — 117,21 ἑξ.
'Αμβακούμ 43,10. 59,18.
'Αμβλωθρίδιον 79,3.
"Αμεμπτος. — οὐδεὶς βροτὸς 161,23 ἑξ.
"Αμητος 81,3.
'Αμὼς 115,19.
'Αναγωγὴ 55,39.
'Ανάληψις. — Σωτῆρος 217,36.
'Αναλύειν. — καὶ ἐν Χριστῷ ἔσεσθαι 42,33. 49,24.
'Ανάστασις 131,37. — νεκρῶν 12,20 ἑξ. — προσδοκωμένη 215,35 ἑξ. — Χριστοῦ συμβολισθεῖσα 224,7 ἑξ. Λόγος περὶ — 185,18. Προφητεία περὶ ἐλπίδος — 153,21 ἑξ.
'Ανδρεία 152,1,28. 160,28. — 'Ιὼβ 26,21,30. 29,2. 30,2 ἑξ. 37,32. 38,7. 82,24 ἑξ.
'Ανελπιστία 33,21.
'Ανένδοτον 145,7.
'Ανεξερεύνητοι. — αἱ βουλαὶ τοῦ Θεοῦ 58,29-59,34.
'Ανθρωπαρέσκεια 175,7 ἑξ.
'Ανθρώπινα. Ματαιότης — 114,34-115,34. Τάφος θεωρούμενα τὰ — 86,7-87,15.
"Ανθρωποι. — ἀγγέλους κρινοῦσιν 12,7 ἑξ. 'Ισότης — 48,11 ἑξ.
"Ανθρωπος. — γεννητὸς γυναικὸς ὀλιγόβιος 132,34 ἑξ. — εἰς χεῖρας Θεοῦ 149,27 ἑξ. — ἔσω 166,16. — Θεοῦ δημιούργημα 124,25 ἑξ. — πλᾶσμα Θεοῦ 123,22 ἑξ. 156, 33 ἑξ. 'Αμαρτωλότης — 134,1 ἑξ. Θλίψεις συναφεῖς τῷ πηλίνῳ — 124,16 ἑξ. Κρίματα Θεοῦ δι' — 108,1 ἑξ. Πᾶς — ἁμαρτωλός ἐστι 59,35. 61,33. Πορεία — εἰς οἶκον αἰῶνος 219,21 ἑξ. Πρόνοια Θεοῦ ὑπὲρ — 66,11 ἑξ. Σμικρότης — 100,13 ἑξ. Σωτηρία — διὰ Υἱοῦ Θεοῦ 120,10 ἑξ. Τίς ἡ ἀληθὴς ἀξία τῆς — ζωῆς 196,21 ἑξ.
'Ανιαρὰ σελ. 23.
'Ανοησία 20,32.
'Ανομίαι. Εἰ ὁ Θεὸς παρατηρεῖται πάσας τὰς — τῶν πταιόντων 160, 21 ἑξ.
'Ανταπόδοσις 56,38.
'Αντιλογητικὸς 177,26.
'Αντιτύπως 27,30.
'Αντίχριστοι 212,13.
'Ανυπόστατος 103,12,27. 104,8.
'Αξία. — προσκαίρων κτισμάτων 184,18 ἑξ.
'Αορασία 68,20,22.
'Αόρατα. — κτίσματα αἰώνια ὁρατὰ

κτίσματα πρόσκαιρα 183,35 ἑξ. Ὁρατὰ καὶ — 149,15 ἑξ.
Ἀπαιδαγώγητος 145,35.
Ἀπάντησις. — Ἰὼβ ἐν ὀδύνῃ εἰς τὰ λεχθέντα ὑπὸ Ἐλιφάζ 82,17-98,8.
Ἀπαράκλητος 56,5.
Ἀπερίγραφος 122,31.
Ἀπήχημα 58,29.
Ἀποκάκησις 130,4.
Ἀποκάλυψις. — Πατρὸς τῷ Πέτρῳ 196,19.
Ἀποκατάστασις. — ἐκ παθημάτων 99, 32 ἑξ.
Ἀπόκριμα 35,26. 116,30,32.
Ἀπόπτωσις 50,37.
Ἀποσπάσματα. — εἰς τὸν Ἰὼβ Διδύμου Ἀλεξανδρέως 141,1 ἑξ.
Ἀποστασία. — διαβόλου 21,20.
Ἀποστολικαί. — διατάξεις θεσμοί εἰσι 166,5.
Ἀποστολική. — λέξις 218,16,32.
Ἀποστολικός. — χορὸς 220,15.
Ἀπόστολοι 169,13. 213,21. 215,18. — στῦλοι 156,4.
Ἀποταγή. — ἐγκοσμίων 86,9 ἑξ.
Ἄπρακτος 172,14.
Ἀπροσδεὴς 126,32.
Ἀπροσωπόλη(μ)πτος 47,35. — ὁ Θεὸς 48,1 ἑξ.
Ἄργυρος. — ὁ Λόγος Κυρίου 221, 17 ἑξ.
Ἀρεταὶ 169,2. — Ἰὼβ 13,1 ἑξ. 29, 31 ἑξ. — καὶ ἀγαθὰ Ἰὼβ 14, 31 ἑξ. — πηγὴ ζωῆς 168,6. — πρακτικαὶ 174,30 ἑξ. — πῶς ἀποκτῶνται 167,2 ἑξ. — τέκνων Ἰὼβ 16,22 ἑξ. Ἐλάττωσις ἐν — 172,4. Περὶ — καὶ κακιῶν 77,38 ἑξ. Πλῆθος — 168,9.
Ἀρετὴ 105,7. 154,25. — δυσχερὴς διὰ τοὺς μὴ ἔχοντας αὐτὴν 161, 26 ἑξ. — Ἰὼβ φανερουμένη 109, 29. — Ἰὼβ φανερωθησομένη ὅτι οὐ δι' ἁμαρτίας αἱ ἑαυτοῦ θλίψεις 88,31-98,8. — καὶ φρόνησις 165,13 ἑξ. — καὶ φῶς 197,24. — μένουσα 103,6 ἑξ. — μεσότης 168,12. — οὐκ ἀποδεκτὴ ὑπὸ φαύλου 142,36 ἑξ. — πρακτικὴ καὶ — διανοητικὴ 13,19. — ψυχῆς 200,22. Διάβολος διαστρεβλῶν ἀκόμη καὶ τὴν — 20,21 ἑξ. Ἐπιθυμία — 40,2. Ζῆν κατ' — 79,26. Θλίψεις Ἰὼβ καὶ — αὐτοῦ 115,35-132,14. Ὁ Ἰὼβ — ἦν ἄνθρωπος 18,33 ἑξ. 19,31 ἑξ. Καθαρότης καρδίας — καὶ προσευχὴ 137, 29 ἑξ. Κακία καὶ — ἐν τῷ ἀνθρώπῳ 203,15 ἑξ. Νοῦς πρὸς — ὁδεύων 168,24. Πειρασμοὶ δι' ἀπόδειξιν — 21,35. Πειρασμοὶ τῶν τὴν — ἐχόντων 24,8 ἑξ. Προαίρεσις λογισμοῦ ἐν κακίᾳ ἢ — 11,21 ἑξ. Πλάτος καρδίας δι' ὑποδοχὴν — 169,25. Σχολάζει εἰς θεωρίαν — 116,2. Τέλος — 172,31 ἑξ.
Ἀριανὸς 181,8.
Ἄρτος. — ἀγγέλων 171,12 ἑξ.
Ἀρχαὶ 53,30,31.
Ἀρχάριοι 185,1 ἑξ.
Ἀρχέκακος 110,3. 199,4. — ὁ διάβολος 32,1.
Ἀρχὴ 93,34. Περὶ — 170,1 ἑξ.
Ἀρχιστράτηγος 45,7.
Ἄρχοντες. Ἀναστροφὴ Ἰὼβ μετὰ πλουσίων καὶ — 45,13 ἑξ.
Ἀσαφία 59,14.
Ἀσέβεια. — καὶ τιμωρία 113,9 ἑξ.
Ἀσέβειαι. Τιμωρίαι δι' — 68,2 ἑξ.
Ἀσεβεῖς. — εὐημεροῦντες ἀλλ' οὐ τελεσφοροῦντες 63,3-65,15. — καὶ κατάρα 167,37 ἑξ. Ἐγκατάλειψις ὑπὸ θείας Προνοίας τῶν — 171,33 ἑξ. Ἐλπὶς — ἀπολεῖται 102,27 ἑξ. Παντελὴς ἐρημία — 162,10 ἑξ.
Ἀσεβής. — καὶ κακία 154,29 ἑξ. — ὁ Θεὸν μισῶν 172,8 ἑξ. — οὐκ ἦν ὁ Ἰὼβ 123,7. Ἐρήμωσις — κλ. 103,6-106,14. Τιμωρία — 162,19.
Ἀσία 35,25.
Ἄσμα. — Ἀσμάτων 81,16. 122,20. 181,8. 182,36. 192,36. — Ἀσμάτων λέγον διὰ τὰ ὑπερφυσικὰ καὶ οὐράνια 180,25 ἑξ. 181,5 ἑξ.
Ἀσσούρ. Βασιλεὺς — 57,31.
Ἀστασίαστος 172,28-29.
Ἀταξία 39,10,11.
Ἀταραξία. — Ἰὼβ εἰς τοὺς πειρασμοὺς αὐτοῦ 23,2 ἑξ. — ψυχῆς 139,25 ἑξ.
Αὐσῖτις 14,21. — ἑρμηνευόμενον Βουλὴ 15,10-11. 141,5.
Αὐτεξούσιον 11,12. 205,11.
Ἀφάνταστον 22,5-6.
Ἀφροσύνη. Ὀργὴ καὶ — 62,23 ἑξ.
Ἄφωτιστος 39,26-27.
Ἀχιτόφελ 67,33.

'Αχρήσιμον 208,12.

Βαβυλὼν 217,4.
Βαλδὰδ 111,4. — τύραννος καὶ ἕτεροι φίλοι ἐπιφανεῖς 'Ιὼβ ἐλθόντες ἰδεῖν αὐτὸν ἐν ταῖς θλίψεσιν αὐτοῦ 35, 29-37,10. Λόγοι — Σαυχίτου ὑπὲρ 'Ιὼβ 98,10 ἑξ.
Βασιλεῖαι. Βίβλος — 22,29. 69,13.
Βιβλία. — ψευδεπίγραφα 183,11 ἑξ.
Βίβλινοι. — ἐπιστολαὶ 165,24.
Βίος σελ. 122. — θεωρητικὸς καὶ — πρακτικὸς 206,21.
Βιοτή. — 'Ιὼβ 44,19 ἑξ.
Βλάστη 206,23.
Βλασφημία. 'Αποφυγὴ — Θεοῦ ὑπὸ 'Ιὼβ πειρασθέντος ὑπὸ τῆς ἑαυτοῦ γυναικὸς 34,13-35,28. Γυνὴ 'Ιὼβ ἐξωθοῦσα αὐτὸν εἰς — 32,37-34,12. 'Ρήματα διαβόλου — 147,9.
Βοτάναι. — πνευματικαὶ 206,10.
Βουλαί. — Θεοῦ ἀνεξερεύνητοι 58,29-59,34. — πανουργίας 66,32 ἑξ.
Βουλή. — ἡ προαίρεσις 166,34. — τίς νοητέα 167,32. Αὐσῖτις ἑρμηνευόμενον — 15,10-11. 141,5.
Βούλημα. — διαβόλου 29,24. — Θεοῦ 18,8. Οὐδεὶς τῷ Θεοῦ — ἀνθίσταται 136,31 ἑξ.

Γέλως 155,15.
Γενεσιάρχης 17,14. 26,24.
Γένεσις 123,32. 125,35.
Γιεζὶ 67,28.
Γνόφος 111,29.
Γνώριμος 42,36.
Γνῶσις 169,11. — ἀνθρώπου ἀσθενεστάτη 137,10 ἑξ. — ἀνθρώπων 167,10. — ἀνθρώπων μεμετρημένη 158,16 ἑξ. — ἀνθρώπων περὶ κριμάτων Θεοῦ μικρά ἐστι 136,9 ἑξ. — Θεοῦ 186,39. — κριμάτων Θεοῦ 135,1 ἑξ. — Χριστοῦ 168,7. — ψευδώνυμος 68,39. 173,18. 175, 26. 'Αλληγορίαι — 169,3 ἑξ. Μετουσία Θεοῦ καὶ — 137,26 ἑξ. Πρᾶξις καὶ — 173,11.
Γολιὰθ 68,31.
Γραφαὶ 29,25. 65,33. 75,20. 100,18. 187,8. 202,13. 210,22. 213,29. — "Αγιαι 54,19. — θεῖαι 171,16. — θεόπνευστοι 182,11. 'Ερευνᾶν τὰς — 211,24. 'Ερμηνεία — 177,21. Νοῦς — 177,25.
Γραφὴ 21,16. 25,27. 34,4. 37,17. 58,22,28. 105,20. 125,21. 127, 14. 141,15. 145,23. 166,28. 181, 38. 191,20. 193,38. 222,17. 223, 38. — θεία 21,9. 67,8,18. — θεόπνευστος 188,34. — Παλαιὰ 220, 13.
Γυναῖκες. Σοφαὶ — ᾠκοδόμησαν οἶκον, ἡ δὲ ἄφρων κατέσκαψε ταῖς χερσὶν αὐτῆς 77,38 ἑξ.
Γυνή. — 'Ιὼβ ἐξωθοῦσα αὐτὸν εἰς βλασφημίαν 32,37-34,12. — σύζυγος καὶ ἀνὴρ ἓν σῶμα 199,32. Συμβουλαὶ 'Ιὼβ πρὸς βλασφημήσασαν — αὐτοῦ 34,14 ἑξ.

Δανιὴλ 75,17.
Δαυὶδ 13,6. 16,33. 27,37. 48,29. 50,11. 51,34. 68,31. 69,13. 74,2. 79,33. 83,35. 88,14. 100,18. 115, 4. 116,3,36. 119,2,26. 120,30. 125,10. 127,30. 135,12. 151,24. 157,9. 160,22. σελ. 170. σελ. 179. 180,28. 183,1,30. 191,31. "Ορχησις — 220,21 ἑξ.
Δέησις. — 'Ελιφὰζ ὑπὲρ 'Ιὼβ καὶ δοξολογία 65,16 ἑξ.
Δευτερονόμιον 83,22.
Δημιούργημα. — Θεοῦ ὁ ἄνθρωπος 123,22 ἑξ. 124,25 ἑξ.
Δημιουργικὸν 124,17,18.
Δημιουργός. — ἀγαθὸς ὁ Θεὸς κλ. 126,32. — καὶ προνοητὴς ὁ Θεὸς 157,6 ἑξ. — ὁ Θεὸς πάντων 65, 28 ἑξ.
Διάβολος 110,3. — αἴτιος πτώσεως ἀνθρώπων 41,14 ἑξ. — ἀρχέκακος ἔξω Θεοῦ ἐστι 32,1 ἑξ. — ἄρχων θανάτου 96,27. — βάσκανος 175,6 ἑξ. — διαστρεβλῶν ἀκόμη καὶ τὴν ἀρετὴν 20,21 ἑξ. — ἔξω Θεοῦ 22,1 ἑξ. — ἔξω Θεοῦ ἐστι 144,11. — ἔχων τὸ θανάτου κράτος 147,35. — καὶ ἔργον αὐτοῦ 173,25 ἑξ. — οὐ κινῆσαι ἄνεμον δύναται 26,1. — οὐ λανθάνει τὸν Θεὸν 17,8. — πειράζων κλ. 'Ιούδαν, 'Υμέναιον κ.λ. 12,25 ἑξ. — πειραστὴς 178,1 ἑξ. — προσομοιαζόμενος βδέλλᾳ 175,21 ἑξ. — ὑποκριτὴς 114,30. 'Απάντησις — πρὸς Θεὸν 18,3 ἑξ. Διάνοια καὶ ἕλ-

λειψις μετανοίας τοῦ — 19,17 ἐξ. Δράκων ὁ — 96,2. Δύναμις — 146,35 ἐξ. Δύναμις — καὶ κακὸν ὅπερ ποιεῖ 142,18 ἐξ. Ἐξουσία — 21,26 ἐξ. 28,38 ἐξ. 29,20 ἐξ. Καταδίκη μελλοντική — 148,23 ἐξ. Λογικὸν — 19,12 ἐξ. Μυρμηκολέων ὁ ἀλαζὼν ἢ ὁ — καὶ διατὶ 58,4 ἐξ. Ὀνόματα διάφορα τοῦ — 148,1 ἐξ. Οὐκ οὐσίαι ἀλλ' ἐνέργειαί τινες — ὀνομαζόμεναι 41, 30 ἐξ. Πτῶσις — 12,4 ἐξ. Ὑποκρισία — 17,11 ἐξ.
Διαγωγὴ 32,22. 44,5,37. 46,5. 60, 17. 105,10.
Διαθήκη. — Καινὴ 221,4.
Διάκαυσις 89,4.
Διάκονοι. — θείας δωρεᾶς 205,17.
Διάκρισις 20,7. 177,32.
Διακριτικός. — ὁ Ἰὼβ 45,8 ἐξ.
Διάλη(μ)ψις 53,30.88,4. 95,9. 98,15, 27. 152,10. 161,10.
Διανοεῖσθαι. — τὸν διάβολον 19,17 ἐξ.
Διάνοια. — ὑπὸ Θεοῦ ὁρᾶται 17,21 ἐξ.
Διαστρέβλωσις. — ἀκόμη καὶ ἀρετῆς ὑπὸ τοῦ Διαβόλου 20,21 ἐξ.
Διαστροφή. — καταστάσεως 209,16 ἐξ.
Διατριβὴ 45,31.
Διαφθορεὺς 168,28 ἐξ.
Διάφωνον 217,17.
Διδασκαλεῖον 213,9.
Διδασκαλία 53,30. — θεία 205,32. — τελεία 222,26.
Διδάσκαλοι 213,21. — Ἐκκλησίας 208,25.
Διδάσκειν 101,11 ἐξ.
Δίδυμος. Ἀποσπάσματα εἰς τὸν Ἰὼβ — Ἀλεξανδρέως 141,1 ἐξ. Ὑπομνημα εἰς τὸν Ἐκκλησιαστὴν ὑπὸ — Ἀλεξανδρέως 179,1 ἐξ. Ὑπόμνημα Β' εἰς τὸν Ἐκκλησιαστὴν ὑπὸ — Ἀλεξανδρέως 196,1 ἐξ. Ὑπόμνημα εἰς τὸν Ἰὼβ ὑπὸ — Ἀλεξανδρέως 11,1 ἐξ. Ὑπόμνημα εἰς τὰς Παροιμίας Σολομῶντος ὑπὸ — Ἀλεξανδρέως 165,1 ἐξ.
Διήγημα 32,2.
Δίκαιοι. Ῥίζαι — 172,15 ἐξ. — καταγελώμενοι 114,1 ἐξ. — καὶ εὐλογία 167,37 ἐξ. Διατὶ αἱ θλίψεις — 87,23 ἐξ. Ἐλπὶς καὶ δύναμις — 103,23. Θλίψεις — 50,1 ἐξ. 51,3 ἐξ. Περὶ — 155,3 ἐξ. Πατὴρ — ὁ Θεὸς μήτηρ ἡ Ἐκκλησία 166,3 ἐξ. Τὸ πάσχειν τῶν — 158,35. Ὑπομονὴ — ἐν θλίψεσι 54,14 ἐξ.
Δίκαιος 112,25 ἐξ. — ἐνίοτε πάσχει 113,9 ἐξ. — καὶ σώφρων 155,14. — πάσχων 98,30. Ἀγαθὰ — καὶ ἀρετὴ 154,5 ἐξ. Διατί αἱ θλίψεις τῶν — 54,33 ἐξ. Δοκιμασία — 156,27 ἐξ. Διατί αἱ θλίψεις — καὶ ὅτι πρὸς καιρόν εἰσι διὰ τοῦτο δεῖ αὐτὰς ὑπομένειν 72,4 — 82,16. Ἔλεγχος καὶ στόμα — 159,21 ἐξ. Καρτερία — ἐν θλίψεσι 150,31 ἐξ. Περὶ — 172,25 ἐξ. 32 ἐξ.
Δικαιοσύνη 165,17,18. 172,10. 200, 35. 218,17. Ἥλιος — 190,2,3. σελ. 205. Καρποὶ — 178,12 ἐξ.
Διοίκησις 28,27. 59,29-30. 136,34.
Διορατικὸς 169,22.
Διόρθωσις 118,15.
Δόγμα. — Μανιχαϊκὸν 148,5.
Δόγματα. — ἀληθείας 23,38. — ὀρθὰ 175,12 ἐξ.
Δογματικά. — θεωρήματα 11,7.
Δόκησις. Σωτὴρ οὐ κατὰ — ἔπαθεν 54,4 ἐξ.
Δοκιμασία 88,6,12. — ἀνθρώπου πρὸς τὸ συμφέρον 66,32 ἐξ. Δεινὴ καὶ ὁλοκληρωτικὴ ἡ Ἰὼβ — 116,12 ἐξ.
Δοκιμαστὴς 116,23-24.
Δοκίμιον 85,39.
Δόλιοι. Πτῶσις — ἀνθρώπων 58,1 ἐξ.
Δόλιος 172,20.
Δόξα 66,34.
Δόξαι. — πολιτικαὶ 86,11.
Δοξολογία. Δέησις Ἐλιφὰζ ὑπὲρ Ἰὼβ καὶ δοξολογία 65,16 ἐξ. — πρὸς Θεὸν ἐν παντὶ καιρῷ 26,12. 27,37.
Δράκων. — ὁ διάβολος 96,2.
Δύναμις. — διαβόλου 146,35 ἐξ. — δικαίου 103,23. — θεία 187,4. — Θεοῦ 155,18-156,31. Χεὶρ Θεοῦ κολαστικὴ ἢ ὑπηρετικὴ — 143,8 ἐξ.
Δῶρον. — ἀσεβοῦς οὐ δεκτὸν ἐκ Θεοῦ 106,30 ἐξ.

Ἐγκόσμια. Καταφρόνησις — 86,9 ἐξ.
Ἐγρήγορσις. — λόγῳ πειρασμῶν 51, 38 ἐξ.
Ἔθνη. — ἐλθόντα εἰς Χριστὸν 177,4. — θησαυρίζοντα δι' ἔργων ἀγα-

θῶν 177,1 ἑξ. Λαὸς ἐξ — 176,30 ἑξ.
Εἰδωλολατρία 168,15.
Εἰκαῖος 19,2,4.
Εἱμαρμένη 21,33. — οὐκ ἔστι 160,36. Οὐ καθ' — τὰ ἀγαθὰ ἢ ὀδυνηρὰ 49,6 ἑξ.
Εἰρηναῖος 45,6.
Εἰρμὸς 39,13. 44,21. 46,19.
Ἐκκλησία 168,31. 170,31. σελ. 185. σελ. 208. 212,31. 214,9. — ἀγορὰ 221,4-222,12. — ἐξ ἐθνῶν 176,26. — μήτηρ κ.λ. 166,11. Πατὴρ δικαίων ὁ Θεός, μήτηρ ἡ — 166,3 ἑξ. Σῶμα — 220,14. Φύλακες — οἱ ἄγγελοι 208,24 ἑξ.
Ἐκκλησίαι 173 21. 177,32.
Ἐκκλησιαστὴς 48,19. 79,30. — διατὶ οὕτω ὀνομάζεται 180,9 ἑξ. Βιβλίον — ὁμιλοῦν διὰ φυσικὰ καὶ ὁρατὰ καὶ ἀόρατα 180,21 ἑξ. Ὑπόμνημα Β' εἰς τὸν — ὑπὸ Διδύμου Ἀλεξανδρέως 196,1 ἑξ. Ὑπόμνημα εἰς τὸν — ὑπὸ Διδύμου Ἀλεξανδρέως 179,1 ἑξ.
Ἔκπτωσις 40,12.
Ἐλαττωτικὸν 20,19.
Ἔλεγχος 160,17 ἑξ. 152,15 ἑξ. — ἁγίου κ.λ. 159,16 ἑξ. — ἄκαιρος 152,19. — δεκτὸς ὑπὸ Ἰὼβ 152, 28 ἑξ. Περὶ — 165,17 ἑξ. Χρῆσις — 163,5.
Ἐλισαῖος 77,8.
Ἐλισαῖε 67,28.
Ἐλιφάζ 150,30. 161,6. — βασιλεὺς καὶ ἕτεροι ἐξέχοντες φίλοι αὐτοῦ ἐλθόντες ἰδεῖν τὸν Ἰὼβ ἐν ταῖς θλίψεσιν αὐτοῦ 35,29-37,10. Ἀπάντησις Ἰὼβ ἐν ὀδύνῃ εἰς τὰ ὑπὸ τοῦ — λεχθέντα 82,17-98,8. Δέησις ὑπὲρ Ἰὼβ καὶ δοξολογία 65,16 ἑξ. Τί — ὁ Θαιμανίτης εἶπε πρὸς τὸν Ἰὼβ 53,31 ἑξ.
Ἐλπίδες. — ἀσεβῶν πονηραὶ 171,28.
Ἐλπὶς 139,12 ἑξ. 175,16. — ἀδυνάτου ὁ Θεὸς ἐν ἀδικίαις ὄντος 69, 25 ἑξ. — ἀσεβῶν ἀπολεῖται 102, 27 ἑξ. — ἐπὶ Θεὸν 167,18 ἑξ. — θλιβομένου 116,19 ἑξ. — κουφίζει πόνον 49,35. — σωτηρίας 33,15 ἑξ. 34,11. — σωτήριος 85, 1. 86,11. Ἐπάγρυπνος καὶ ἔχων — 52,38.
Ἐμμελὴς 52,2.
Ἐμπειρία 82,9.
Ἐνανθρώπησις 41,26. — Υἱοῦ 170, 33 ἑξ. — Λόγου 170,19 ἑξ. — Σωτῆρος 224,2 ἑξ.
Ἐνέργειαι. — οὐκ οὐσίαι τινὲς διαβόλου 41,30 ἑξ.
Ἔνκοπος. — λόγος 194,2.
Ἔνσαρκος. — παρουσία Λόγου 177, 20.
Ἐντολαί. — Θεοῦ τροφὴ 171,15. — τήρησις 168,2. Ἀξία τηρήσεως τῶν — 169,23.
Ἐντρέχεια 134,18. 199,31.
Ἐντρεχὴς 80,20.
Ἕνωσις. — καὶ οὐκ οὐσίωσις 170,26.
Ἐξαίτησις 29,5. 32,5.
Ἐξάκουστα 35,35.
Ἔξοικος 32,23.
Ἐξουσία. — διαβόλου 21,26 ἑξ. 28, 38 ἑξ. 29,20 ἑξ. — διαβόλου διὰ τοὺς πειρασμούς 24,10 ἑξ.
Ἐπαγωγὴ 85,28.
Ἐπευχὴ 219,15.
Ἐπιδημία. — Σωτῆρος 142,15.
Ἐπίκλησις. — πρὸς Θεὸν 149,8 ἑξ.
Ἐπίπληξις. Ἔλεγχος δικαίου παιδευομένου διὰ γενομένην — 91,36 ἑξ.
Ἐπίπνοια 68,6.
Ἐπιστασία 163,6.
Ἐπίσκεψις 176,37.
Ἐπιστήμη 203,2,11. — θεία 167,9.
Ἐπιστολαί. — βίβλινοι 165,24.
Ἐπιτιμία. — ἐπὶ παράνομον ἔθνος 178,7.
Ἐπιτίμιον 168,31.
Ἐπιτροπὴ 31,17.
Ἐπιφορὰ 62,7. 83,29. 87,24.
Ἔργα. — Θεοῦ πάντοτε θαυμαστά εἰσι 59,7 ἑξ. Θαυμασμὸς — προνοίας Θεοῦ 65,36 ἑξ.
Ἐρευνᾶν. — τὰς Γραφὰς 211,24.
Ἐρημία. Παντελὴς — ἀσεβῶν 162, 10 ἑξ.
Ἐρήμωσις. — ἀσεβοῦς κ.λ. 103,6-106,14.
Ἐρώτησις. Διατὶ ἡ — Θεοῦ 17,31 ἑξ.
Ἔσδρας 14,12. 189,31. 218,28.
Ἔσχατα. — τῶν ἐπικαλουμένων τοῦ Κυρίου 102,17 ἑξ.
Ἑτερόδοξοι 207,20.
Εὖα 33,8. 51,7. 58,3. 147,25.
Εὐαγγέλια. — ψευδεπίγραφα κατὰ Θωμᾶν καὶ κατὰ Πέτρον 183,17.
Εὐαγγελικός. — χορὸς 220,15.

Εὐαγγέλιον 14,6. 28,16. 127,19. 166, 9. 179,11,12. 210,12. 220,8. Προφητεία συμβολικὴ περὶ τοῦ — 219,1 ἑξ.
Εὐγηρία 64,24.
Εὐγνωμοσύνη 156,27.
Εὐδαιμονία 200,19.
Εὐετηρία 32,22.
Εὐήθεια 30,11.
Εὐθυμία 145,34.
Εὐθυντὸς 53,34.
Εὐλάβεια 165,33.
Εὐπάθεια 43,28.
Εὐπαιδία. — καὶ πολυπαιδία 11,12. 14,33.
Εὐπαράγωγον 100,33.
Εὐπαράσκευον 52,37.
Εὐσέβεια. Λόγος — 220,18.
Εὐσεβής. Ἀγαθὰ — 106,15-107,26.
Εὔσειστον 100,33.
Εὐταξία 148,32.
Εὐφώρατος 111,30.
Εὐχαριστικὸν 27,24-25.
Εὔχεσθαι 42,12.

Ζωή. Ξύλον — ὁ σταυρὸς 167,11 ἑξ. Τίς ἡ ἀληθὴς ἀξία τῆς — ἀνθρώπου 196,21 ἑξ. Ὕδωρ — 167,32 ἑξ.
Ζωϋφάριον 58,6.

Ἡγεμονικὸν 31,31.
Ἡδοναὶ 177,29.
Ἡδονὴ 169,9. 174,9 ἑξ. 176,23.
Ἠλίας 77,8.
Ἥλιος. — δικαιοσύνης 139,9. 141,26. 190,2,3. σελ. 205.
Ἡμέρα. Καταρᾶσθαι τὴν — ὑπὸ Ἰὼβ 37,16 ἑξ.
Ἡμέραι. Γνῶσις τέλους ἡμερῶν ἡμῶν 79,23 ἑξ.
Ἡμιστίχιον 49,38.
Ἡσαΐας 55,35. 103,1,22. 118,9. 165, 23. 204,38. 208,10. 210,26. 214, 33.
Ἡσαῦ 38,30,31.
Ἡσυχάζειν. Τὸ — 148,15.
Ἡσυχία. Περὶ — 139,35 ἑξ.
Ἥττα. — διαβόλου 29,11 ἑξ.

Θάνατος. — αἰφνίδιος τέκνων Ἰὼβ 22,8 ἑξ. — ἀνδρὶ ἀνάπαυσις 50,20 ἑξ. — Χριστοῦ ὑπὲρ ἀνθρώπων 224,2. Ἄρχων — ὁ διάβολος 96, 27. Διάβολος ἔχων τὸ κράτος τοῦ — 147,35.
Θάρρος. — ἁγίων καὶ ἑτοιμότης ἐν θλίψεσι 52,5 ἑξ.
Θέλημα. — Θεοῦ 161,1. Ἀγαθὰ τηρήσεως — Θεοῦ 178,21 ἑξ.
Θεοδοτίων 165,20.
Θεοπτία 187,7. — Μωυσέως 196,6 ἑξ.
Θεός. — ἀπερίγραπτος καὶ ἀίδιος 122,31-32. — διατὶ ἐρωτᾷ 17,31 ἑξ. — δυνατὸς ὁρᾶν τὰς διανοίας 17,21 ἑξ. — ἔκαμψε τὰ πονηρὰ πνεύματα 156,16 ἑξ. — ἐν ἀνθρώπῳ 105,4. — θαυμαστὸς ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ 59,7 ἑξ. — κατ' οὐσίαν ὁ Υἱὸς 54,1 ἑξ. — παλαιῶν ὄρη κ.λ. 155,18 ἑξ. — πάντων δημιουργὸς 203,7 ἑξ. — τὰ πάνθ' ὁρῶν 17,10 ἑξ. — τὰ πάντα διοικῶν 46,12. Ἀνεξερεύνητοι αἱ βουλαὶ Θεοῦ κ.λ. 58,29-59,34. Δύναμις καὶ κρίματα — 108,1-121,7. Ἰδιώματά τινα — 47,4 ἑξ.
Θεοσεβής. — ὁ Ἰὼβ 20,9 ἑξ.
Θεοσημίαι 208,37.
Θεραπεία 23,26.
Θεσμοί. — αἱ ἀποστολικαὶ διατάξεις 166,5
Θεσπίσματα. — θεῖα 220,37.
Θεώρημα 188,37. — φυσικὸν 189,31.
Θεωρήματα 173,17. — δογματικὰ 11,7.
Θεωρητὰ 166,35.
Θεωρητικὰ 167,33.
Θεωρητικόν. Ἀπώλεια — 169,18.
Θεωρητικός. Βίος πρακτικὸς καὶ βίος — 206,11.
Θεωρία 156,18. 182,2. — γεγονότων καὶ — Ἁγ. Τριάδος 178,17 ἑξ. — θεία 53,20. — Θεοῦ 83,33 ἑξ. — πνευματικῶν νοημάτων 185,18. — προσομοιαζομένη πρὸς μέλι 169, 15. — τῶν ὄντων 177,31. Σχολάζειν τῷ — 72,35 ἑξ.
Θεωρίαι 150,12. — ἀληθείας 200,28.
Θημωνιὰ σελ. 81.
Θλίψεις. — ἀλλεπάλληλοι Ἰὼβ 129, 16 ἑξ. — ἁμαρτωλῶν 54,22 ἑξ. — δικαίου καὶ διατί αὗται 54,33 ἑξ. — δικαίων 43,18 ἑξ. 50,1 ἑξ. 51,3 ἑξ. — ἐξ ἁμαρτιῶν 149,5. — ἐξ ἁμαρτιῶν πρὸς σωφρονισμὸν 62,1 ἑξ. — ἐπιτρέπονται ὑπὸ Θεοῦ δι' ὠφέλειαν 31,22 ἑξ. — Ἰὼβ

144,25 ἑξ. — Ἰὼβ ἀσίγαστοι 145, 16 ἑξ. — Ἰώβ οὐ δι' ἁμαρτίας 119, 13 ἑξ. 121,1-123,21. — οὐ καθ' εἱμαρμένην εἰσὶ 49,6 ἑξ. — οὐ χωρίζουσι τοῦ Χριστοῦ 85,4. — συναφεῖς ἀνθρώποις 124,16 ἑξ. Ἀντίδοτον — ἡ μνήμη θείων καὶ οὐρανίων 116,5. Ἀποφυγὴ ἁμαρτίας ἐν καιρῷ — 28,1 ἑξ. Ἀρετὴ Ἰὼβ φανερωθησομένη ὅτι οὐ δι' ἁμαρτίας αἱ ἑαυτοῦ — 88,31-98,8. Ἀταραξία ἐν ταῖς — 23,1 ἑξ. Διατί αἱ — 49,3. ἑξ. Διατί αἱ — δικαίου καὶ ὅτι πρὸς καιρόν εἰσι 72,4-82,16. Διατί αἱ — δικαίων 87,23 ἑξ. Δύο αἱ αἰτίαι τῶν — 54,10 ἑξ. Ἐλπὶς τοῦ ἐν — ὑπάρχοντος 116,19 ἑξ. Θάρρος ἁγίων ἐν — 52,5 ἑξ. Καρτερία δικαίου ἐν — 150,31 ἑξ. Καρτερία Ἰὼβ ἐν ταῖς ἑαυτοῦ — 84,20 ἑξ. Ὀνόματα φίλων ἐπιφανῶν Ἰὼβ ἐλθόντων ἰδεῖν αὐτὸν ἐν — αὐτοῦ 35,29-37,10. Σύνεσις Ἰὼβ ἐν — 26,5-27,38. 28,1 ἑξ. Ὑπομονὴ δικαίων ἐν — καὶ πειρασμοῖς 54, 10 ἑξ. Ὑπομονὴ ἐν — 35,1-28. 88,2 ἑξ. 150,7 ἑξ. Φίλοι ἐν — 151,4 ἑξ.

Θλῖψις. — δικαίου Ἰὼβ 138,29 ἑξ. — παιδευτικὴ 85,38 ἑξ.

Θνητός. Ματαιότης — ἀνθρώπου σαρκικοῦ 188,14 ἑξ.

Θρῆνος. — δι' Ἱερουσαλὴμ 220,31 ἑξ. — καὶ ἁμαρτία 220,22 ἑξ.

Θύραι. Κλείειν τὰς — ἐν ἀγορᾷ πῶς ἑρμηνευτέον 212,26 ἑξ.

Θυσία. — καὶ προσευχὴ πρωϊνὴ 16, 3 ἑξ. — πρωϊνὴ Ἰὼβ 142,1 ἑξ.

Θωμᾶς. Ψευδεπίγραφον Εὐαγγέλιον κατὰ — 183,17.

Ἰακὼβ 38,29,30. 72,33. 208,9.

Ἰάκωβος 126,24. 217,33,36.

Ἰατροί. — ἄδικοι καὶ ἰαταὶ κακῶν 159,6 ἑξ.

Ἰδιώματα. — τινα Θεοῦ 47,4 ἑξ.

Ἰδιώτης 57,21.

Ἱερεμίας 38,27. 43,20. 47,21. 49,16. 57,28. 182,26. 207,25,35. 209, 31. 220,29.

Ἱερουσαλὴμ 155,24. 179,4. 180,28. 183,7,31. Ἐρήμωσις — 220,30.

Ἰεσσαὶ 179,21.

Ἰησοῦς 42,36. 65,8. 72,36. 73,26. 74,8. 103,8. 155,29,35. 185,27, 30. 193,7. 206,19. 215,23. — Ναυῆ 45,7. — Χριστὸς 52,25. 104, 6. 156,4,7. 166,5.

Ἰουδαῖοι. Ἐγκατάλειψις — ὑπὸ Θεοῦ μετὰ τὴν προδοσίαν Σωτῆρος 208, 31-209,11.

Ἰούδας 78,23. 105,1. 131,9. — προδότης 12,26.

Ἰσότης. — ἀνθρώπων 48,11 ἑξ.

Ἰσραὴλ 37,23. 43,32,37. 57,29. 72, 35. 78,36. 105,21. 107,25. 179,4. 180,28. 183,30. 207,30. 214,22. 220,30.

Ἱστορία 64,12. 76,3,15.

Ἱστοριογράφος 208,36.

Ἰσχυροί. Πτῶσις — καὶ πλουσίων 57,1 ἑξ.

Ἰωάννης. — βαπτιστὴς 133,11. — εὐαγγελιστὴς 193,7. 200,7. — θεολόγος 122,23. — πρόδρομος 38,31. 220,12,13.

Ἰὼβ 194,1. 197,19. — ἀπέχων κακίας 18,33 ἑξ. 19,31 ἑξ. — ἑρμηνευόμενον ὑπομονὴ 141,10. — καταρώμενος τὰ ἄστρα 41,35 ἑξ. — καταρώμενος τὴν ἡμέραν κ.λ. 147,29 ἑξ. — οὐ δι' ἁμαρτίας ἔπασχεν 56,7-38. 60,1 ἑξ. 153,1 ἑξ. 161,8 ἑξ. Ἀπάντησις — ἐν ὀδύνῃ πρὸς τὸν Ἐλιφάζ 82,17-98,8. Ἀρεταὶ — 13,1 ἑξ. 29,2,31. 30,2 ἑξ. — καὶ ἀγαθὰ 14,31 ἑξ. Δεινοπαθήματα δικαίου — 144,25 ἑξ. Ἐπιφανεῖς φίλοι — ἐλθόντες ἰδεῖν αὐτὸν ἐν ταῖς θλίψεσιν αὐτοῦ 35,29-37,10. Τί Ἐλιφὰζ ὁ Θαιμανίτης εἶπε πρὸς τὸν — 53,31 ἑξ. Θλίψεις — καὶ ἀρετὴ αὐτοῦ 115,35-132,14. Κατάραι — διὰ τὰς ἑαυτοῦ συμφορὰς ἀλλ' οὐχὶ ἐναντίον τοῦ Θεοῦ 37,12-53, 20. Λόγοι Ἐλιφὰζ πρὸς — ἐπὶ ταῖς θλίψεσιν αὐτοῦ — 82,16. Μάστιγες δεύτεραι — 29,5 ἑξ. 31,35 ἑξ. Μάστιγες — ἀσίγαστοι 145,16 ἑξ. Περιεχόμενον βιβλίου — 11,3 ἑξ. Περὶ — τί εἶπε Σωφὰρ ὁ Μιναῖος 132,16 ἑξ. Σωφροσύνη καὶ κοσμιότης τέκνων — 15,24 ἑξ. Τρόπος βίου — 44,19 ἑξ. Ὑπόμνημα εἰς τὸν — ὑπὸ Διδύμου Ἀλεξανδρέως 11,1.

Ἰώδης. — πρόθεσις 110,4.

Ἰωνᾶς 43,17. Κήρυγμα μετανοίας — Νινευΐταις 12,19 ἑξ.
Ἰωσηφ 67,37. 74,16.

Καθαιρετικὸν 42,6-7.
Καθαρός. Ἔνδυμα νοῦ — 178,18. Φόβος οὐ παθητικὸς διὰ τὸν τέλειον καὶ — 51,8.
Καθαρότης. — καρδίας, ἀρετὴ καὶ προσευχὴ 137,29 ἑξ. — καρδίας καὶ λάμψις προσευχῆς 139,1 ἑξ. — νοῦ καὶ Λόγου μετουσία 45,28-29. Ἀνάγκη εὐπρεπισμοῦ πρὸς — 134,1 ἑξ. Προσευχὴ καὶ — καρδίας 99,8 ἑξ.
Κάθαρσις 16,10 ἑξ. — σκευῶν ἀτιμίας 207,20 ἑξ.
Κάιν 140,11. 144,10.
Κακία 30,9,10. 110,6. — καὶ ἀρετὴ ἐν τῷ ἀνθρώπῳ 203,15 ἑξ. — καὶ σκότος 197,21 ἑξ. Ἀναίσχυντόν ἐστι ἡ — 20,18. Ἰὼβ ἀπέχων — 18,33 ἑξ. 19,31 ἑξ. Κόλασις — 203,13-205,23. Μέγεθος — κακῶν 206,7. Προαίρεσις λογισμοῦ ἐν — ἢ ἀρετῇ 11,21 ἑξ.
Κακίαι. — διάφοροι 176,7 ἑξ. — καὶ ἁμαρτία 198,33 ἑξ. Περὶ ἀρετῶν καὶ — 77,38 ἑξ.
Κακοθελὴς 140,25.
Κακοήθεια 26,13.
Κακόν. — ἐκ διαβόλου προέρχεται 11, 25 ἑξ. — μὴ ἐνεργούμενον οὐκ ἔστι 199,2-3.
Κακωτικὸν 34,31.
Καλόν. — μέχρις ἀκοῆς μόνον ἀπάτη ἐστι 168,17 ἑξ.
Κανὼν σελ. 61.
Καρδία. — καὶ νοῦς ἐν Γραφαῖς 201, 20-202,18. — καὶ φρόνημα πρὸς τὰ ἄνω 213,27 ἑξ. Πλάτος — πρὸς ὑποδοχὴν ἀρετῶν 169,25. Ῥήματα ἐκ — 101,12 ἑξ.
Καρτερία. — δικαίου ἐν θλίψεσι 150, 31 ἑξ. — Ἰὼβ 145,36 — καὶ ὑπομονὴ 11,10. — ὀδυνωμένου Ἰὼβ 84,20 ἑξ.
Καταθύμια 173,33.
Κατάκοποι 46,37.
Καταλαλιά. Πόσον κακὸν ἡ — 94,11.
Καταρᾶσθαι. — τὰ ἄστρα τὸν Ἰὼβ 41, 35 ἑξ. — τὸν Ἰὼβ διὰ τὰς ἑαυτοῦ μάστιγας ἀλλ' οὐδέποτε ἐναντίον τοῦ Θεοῦ 37,12-53,20. — τὸν Ἰὼβ τὴν ἡμέραν 37,16 ἑξ. 147,29 ἑξ. — τὸν Ἰὼβ τὴν νύκτα 39,35 ἑξ.
Κατασπορὰ 22,35-36.
Κατάστασις 11,28. σελ. 42. 44,22. 46,14. 83,34. 125,18.
Κατόρθωμα 29,12.
Καύχησις. — ἐν Κυρίῳ 87,6.
Κενοδοξία 175,7 ἑξ.
Κήρυγμα. — ἀληθείας ἀκουσθησόμενον 215,27 ἑξ. — Σωτῆρος ταπεινῶσαν σοφοὺς 215,16-216,36.
Κήρυκες. Ὕψωσις — ἀληθείας 218,2.
Κλείειν. — τὰς θύρας ἐν ἀγορᾷ πῶς ἑρμηνευτέον 212,26 ἑξ.
Κλήμης. — ὁμιλήσας περὶ βιβλίων ψευδεπιγράφων 183,11 ἑξ.
Κολάσεις. — ἁμαρτωλῶν 61,11. — διὰ τὰ βεβιωμένα 50,3. — μέλλουσαι 171,35.
Κόλασις 118,15. 129,3. 201,25 ἑξ. — ἐξ ἁμαρτιῶν 157,20. — κακίας 203,13-205,23. Ἀκρὶς σύμβολον — 219,6 ἑξ. Ἁμαρτάνειν καὶ — 166,23.
Κόλοβρος. — ὁ μικρὸς χοῖρος 64,3.
Κομψεία 104,14.
Κορίνθιοι. Ἐπιστολὴ Παύλου πρὸς — 35,23. 120,34. 185,9.
Κοσμιότης. Σωφροσύνη καὶ — τέκνων Ἰὼβ 15,24 ἑξ.
Κόσμος. Πέρατα — 136,2 ἑξ.
Κρῖμα 43,17-18,23. 46,13.
Κρίματα. — Θεοῦ 167,29. — Θεοῦ ἀνεξερεύνητα 161,6 ἑξ. Γνῶσις ἀνθρώπων περὶ — Θεοῦ μικρά ἐστι 136,9 ἑξ. Γνῶσις Θεοῦ — 135,1 ἑξ. Δύναμις καὶ — Θεοῦ 108,1-121,7. Λόγος περὶ — Θεοῦ 11,7.
Κρίσις 24,11. 119,9. — θεία 26,25. — Θεοῦ 160,35. — ὑπὸ Θεοῦ 201, 20 ἑξ.
Κριτής. — ἄριστος καὶ ἀπροσωπόληπτος 159,30 ἑξ.
Κτῆσις. Δικαία ἡ ὑλικὴ — δεῖ εἶναι καὶ ὅτι οὐδὲν εἰσάγομεν οὐδὲ ἐξάγομεν 26,8-27,38.
Κτῖλος 169,16.
Κτίσις. — δι' Υἱοῦ 170,28 ἑξ. Ματαιότης φθαρτῆς — 189,9 ἑξ.
Κτίσμα. — οὐχ ὁ Υἱὸς Λόγος 170,11 ἑξ. Ὕπαρξις Πατρὸς καὶ Υἱοῦ καὶ ὅτι ὁ Υἱὸς οὐ κτίσμα ἐστὶ 53,33 ἑξ.
Κτίσματα. — ἐν χρόνῳ κτισθέντα 170,

11. — ὁρατὰ πρόσκαιρα καὶ μάταια, ἀόρατα — αἰώνια 183,35 ἑξ. Ἀξία προσκαίρων — 184,18 ἑξ.

Λαγῳοί. — καλούμενοι οἶστροι 177,3.
Λάζαρος 34,37. 74,2. 90,35,37. 107, 29. — πλούσιος 43,27. — πτωχὸς 60,15,17.
Λανθάνειν. — οὐ τοῦ Θεοῦ ἐστι 29,19.
Λέπρα. — Ἰὼβ 31,35 ἑξ.
Λεύκιππος 193,17.
Λέων. Χριστὸς προσομοιαζόμενος πρὸς — 177,10 ἑξ.
Λήθη. — λύπης διὰ Θεὸν 177,33 ἑξ.
Λίβανος 165,31.
Λόγια. Θείων — περιοχὴ 166,22.
Λόγιον 86,2.
Λογισμός. — σώφρων 146,21. Προαίρεσις — κ.λ. ἀγαθὴ ἢ κακὴ 11, 21 ἑξ.
Λόγοι. — προσωποποιούμενοι 43,19.
Λόγος 17,15. 147,36. — ἀσάλευτος 45,19-20. — κενὸς καὶ μάταιος ἄνευ πράξεως ἐναρέτου 150,36 ἑξ. — Κυρίου ἄργυρος 221,17 ἑξ. — σοφίας — γνώσεως ὑπὸ Πνεύματος διδόμενα 207,4. Καθαρότης νοῦ καὶ — μετουσία 45,28-29. Περὶ Υἱοῦ καὶ — 170,11 ἑξ.
Λουκᾶς. — Εὐαγγελιστὴς 114,25. 191,18.
Λῦπαι. — διὰ Θεοῦ ἐπιλανθανόμεναι 177,33 ἑξ.

Μαθουσάλας 133,20.
Μακαριότης 200,19. Διὰ τὴν — τὸ εἰδέναι καὶ πράττειν τὸ ἀγαθὸν ἀναγκαῖον 166,1 ἑξ.
Μακροθυμία. — Θεοῦ 127,29 ἑξ.
Μαρία. — μήτηρ Λόγου 170,19.
Μάστιγες. — ἀλλεπάλληλοι Ἰὼβ 145, 16 ἑξ. — δεύτεραι Ἰὼβ 29,5 ἑξ. 31,35-33,3. — Ἰὼβ 144,25 ἑξ. — καὶ θλίψεις ἁμαρτωλῶν 54,22 ἑξ. — καὶ πειρασμοὶ Ἰὼβ 22,8-26,4.
Μάταια. — καταφρονητέα 185,2 ἑξ.
Ματαιότης. — ἀνθρωπίνων 114,34-115,34. — γηΐνων 101,3 ἑξ. — θνητοῦ σαρκικοῦ ἀνθρώπου 188, 14 ἑξ. — μόχθου διὰ τὰ πρόσκαιρα 187,17-188,13. — τὰ ὁρατὰ καὶ φθαρτὰ 186,1 ἑξ. — τῶν τοῦ παρόντος κόσμου 198,5-201,19. — φθαρτῆς κτίσεως 189,9 ἑξ. Νεότης καὶ — 202,28 ἑξ. Ὁρατὰ κτίσματα — ματαιοτήτων εἰσὶ 183,35 ἑξ.
Ματαιούργημα 30,23.
Μεγαλόψυχον 82,23.
Μέθεξις. — Θεοῦ καὶ γνῶσις 137,26 ἑξ.
Μέριμνα. — ἐπιρριπτομένη Κυρίῳ 139, 29.
Μεσίτης. — ὁ Σωτὴρ 120,3 ἑξ.
Μετανοεῖν 177,17 ἑξ.
Μετάνοια 40,12 ἑξ. 138,25 ἑξ. — ἐπιθυμητὴ ὑπὸ Θεοῦ 157,11. — οὐ διαβόλου ἐστὶ 19,18 ἑξ. Ἀνάγκη — 175,2 ἑξ. Προτροπὴ εἰς — 62,15 ἑξ. Τόπος — 66,27.
Μεταστοιχειοῦσθαι 197,34-35.
Μετενσωματώσεις. — οὐ γίνονται 158,7.
Μετενσωμάτωσις 39,25.
Μετοχή. — Πνεύματος Ἁγίου καὶ γνῶσις καὶ τ' ἀνάπαλιν 136,32 ἑξ.
Μετουσία. — Πνεύματος 154,26. — τοῦ ἑνὸς 105,8. Καθαρότης νοῦ καὶ — Λόγου 45,28-29.
Μετριότης 128,1.
Μήτηρ. Πατὴρ δικαίων ὁ Θεὸς — ἡ Ἐκκλησία 166,3 ἑξ.
Μιναῖοι. Σωφὰρ βασιλεὺς — 35,33.
Μῖσος. — κατὰ πονηροῦ 30,9.
Μνήμη. — θείων καὶ οὐρανίων ἀντίδοτον λήθης 116,5.
Μονογενής. — Θεὸς 217,31.
Μόχθος. Ματαιότης — διὰ τὰ πρόσκαιρα 187,17-188,13.
Μυρμηκολέων 148,18. — ὁ ἀλαζὼν ἢ ὁ διάβολος καὶ διατὶ 58,4 ἑξ.
Μωυσῆς 60,27. 68,35. 71,36. 77,28. 83,22. 92,17. 111,29,31. 125,9. 129,29. 155,20. 177,11. 180,11. 182,4. σελ. 214. 218,10.

Ναβουχοδονόσορ 57,20.
Νάθαν 191,21.
Νεότης. — καὶ ματαιότης 202,28 ἑξ.
Νέρων 57,26.
Νικήτας 141 ὑποσμ.
Νικόδημος 58,24.
Νοβατιανοὶ 70,34.
Νοήματα. — διὰ χρυσοῦ σημαινόμενα 222,17 ἑξ.
Νόησις. — καθαρὰ 45,25.
Νοσσιαί. — σοφίας αἱ Ἐκκλησίαι 173,16,21 ἑξ.
Νοῦς. — ἀθόλωτος 45,31. — Γραφῶν

177,25. — καὶ καρδία ἐν Γραφαῖς 201,20-202,18. Ἔνδυμα καθαροῦ — 178,18. Καθαρότης — καὶ Λόγου μετουσία 45,28-29.
Νύμφη. — ἡ ἐνάρετος ψυχὴ 168,3.
Νυμφίος. — δικαίων ὁ Ἰησοῦς Χριστὸς 166,5.
Νύξ. Κατάρα Ἰὼβ πρὸς — 39,35 ἑξ.

Ξύλον. — ζωῆς ὁ Σταυρὸς 167,11 ἑξ.

Ὁδός. — εὐθεῖα 200,11 ἑξ. 26 ἑξ. — λεγομένη καὶ οἶμος 165,12.
Οἰκία. — σαλευομένη ποία νοητέα 206,15 ἑξ.
Οἰκονομία 43,16. 44,18,26.
Οἰκτιρμοί. Σπλάγχνα — 104,5 ἑξ.
Οἶμος. — ἡ ὁδὸς λέγεται 165,12.
Οἶστροι. Λαγῳοὶ καλούμενοι — 177,3.
Ὀλιγόβιος 133,3.
Ὀλιγωρία σελ. 33. 109,14.
Ὄλισθος 210,38.
Ὁλοσώματος 32,5.
Ὄμηρα 165,24.
Ὀνόματα. Τὰ — τοῦ διαβόλου ἐνεργείας αὐτοῦ διαφόρους οὐκ οὐσίας δηλοῖ 41,30 ἑξ.
Ὀπαί. Ὁρᾶν ἐν ταῖς — πῶς ἑρμηνευτέον 211,12 ἑξ.
Ὁρᾶν. — ἐν ταῖς ὀπαῖς πῶς ἑρμηνευτέον 211,12 ἑξ.
Ὁρατά. — καὶ ἀόρατα 149,15 ἑξ. — κτίσματα πρόσκαιρα ἀόρατα αἰώνια 183,35 ἑξ. Ἐκκλησιαστὴς ὁμιλῶν περὶ τῶν αἰσθητῶν καὶ — 181,3 ἑξ.
Ὀργή. — Θεοῦ 109,18 ἑξ.— Θεοῦ πῶς νοητέα 53,9 ἑξ. — καὶ ἀφροσύνη 62,23 ἑξ. — καθ' ἑαυτοῦ 160,9.
Ὀρθόδοξοι 221,19.
Ὄρχησις. Περὶ — 220,10 ἑξ.
Ὀστᾶ. — συσσειόμενα πῶς νοητέα 58,29 ἑξ.
Οὐράνιος. — πολιτεία 48,8.
Οὐσία. — Θεοῦ ἡ Σοφία 170,3 ἑξ. — Πατρὸς καὶ Υἱοῦ ἡ αὐτὴ 196, 14 ἑξ. Θεὸς κατ' — ὁ Υἱὸς 54,1 ἑξ.
Οὐσίωσις. Ἕνωσις καὶ οὐκ — 170,26. Σχέσις καὶ οὐκ — 170,2.
Ὀφθαλμοί. — ἀσεβῶν καὶ — ἔσω ἀνθρώπου 140,30 ἑξ. Ματαιότης — 194,10 ἑξ.

Παγίδες. Λύτρωσις ἐκ — 67,27 ἑξ.
Πάθη. Πρώτη αἰτία τῶν — 157,27.
Πάθος. — Χριστοῦ 156,4,12. 224,5 ἑξ. Οὐ κατὰ δόκησιν τὸ Σωτῆρος — 54,4 ἑξ.
Παιδεία. — ἀπὸ Θεοῦ ἀνθρώποις 125, 4 ἑξ. — καὶ ῥάβδος ὑπὸ Κυρίου διδόμενα 120,26 ἑξ. Τὸ μισεῖν τὴν — πῶς ἐκληπτέον 168,28 ἑξ.
Παιδεύεσθαι. Μακαριστὸν ὑπὸ Θεοῦ — 149,33 ἑξ.
Παίδευσις 49,4. 60,17. 63,34. 73,24, 30. 82,8-9. 86,4. 93,5-6. 125,4. 179,10. 180,1-2,29. 183,1-2. 184, 1. 186,10-11,27. 212,35. — ἐπωφελὴς 87,22 ἑξ.
Παιδευτήριον 213,35.
Παιδευτὴς 12,16. 85,38. 186,33. 188,11.
Παλαιοὶ 26,19.
Πανβότανον 76,29.
Πανοῦργος. Βουλαὶ — 66,30 ἑξ.
Παντογνωσία. — Θεοῦ 137,1 ἑξ.
Παντογνώστης. — ὁ Θεὸς 135,17 ἑξ.
Παντοδυναμία. — Θεοῦ 126,27 ἑξ. — καὶ κρίματα Θεοῦ 108,1-121,7.
Παρακλήτορες. — κακῶν 160,5.
Παρακοπαὶ 31,28.
Παράνομος. — ὁ τὸ πρακτικὸν ἀπολέσας 169,18-19.
Παραπλήσιοι 34,34-35.
Παραστατικὸν 57,24.
Παρατήρησις 176,40.
Παρεδρία 55,3-4.
Παρεπιδημία 122,27.
Παρθένιος 133,13.
Παρθένοι. — μωραὶ 213,4 ἑξ.
Παροιμία. — τί εἴρηται 165,4 ἑξ. — τί ἐστι 165,4 ἑξ.
Παροιμίαι 36,4. 64,10. 71,25. 76,35. 102,34. 180,19,24. Βίβλος — 213,31. Ὑπόμνημα εἰς τὰς — Σολομῶντος ὑπὸ Διδύμου Ἀλεξανδρέως 165,1 ἑξ.
Παρουσία. — ἔνσαρκος Υἱοῦ 177,20.
Παρρησία 105,5. 119,26. — ἐξ ὑπερβαλλούσης καθαρότητος 161,18 ἑξ.
Πατὴρ 17,19. 21,11. σελ. 78. 91,4. 105,4. 118,21. 208,29. 214,13. — δικαίων ὁ Θεὸς 166,3 ἑξ. — Υἱὸς καὶ Ἅγ. Πνεῦμα 196,3-20. Θεὸς — 167,24. Οὐσία αὐτὴ — καὶ Υἱοῦ 196,14 ἑξ. Ὕπαρξις — καὶ Υἱοῦ καὶ ὅτι ὁ Υἱὸς οὐ κτίσμα ἐστι 53, 33 ἑξ.

Πατρότης. — σαρκικὴ καὶ — πνευματικὴ 179,8 ἐξ.
Παῦλος 12,31. 16,26. 26,39. 37,21. 42,33. 47,14. 48,11. σελ. 49. σελ. 51. 53,1. 57,26. 59,31. 65,34. 71, 4,10. 73,20. 74,24. 75,9. 77,9. 86,12,37. 92,31. 93,6. 103,4. 104,5. 108,15. 113,12. σελ. 116. 118,32. 128,30. 130,12. 131,24. 133,17. 134,13. 139,16. 152,21. 170,24. 179,10. 196,17. 188,10. 201,7. Ἁρπαγὴ — 83,36 ἐξ. Ἀταραξία Ἀπ. — 23,5. Ἐπιστολὴ — πρὸς Κορινθίους 35,23. 120,34. 185,9. Χριστὸς ζῶν ἐν — 86,12 ἐξ.
Πειρασμοί. — ἀλλὰ περιφρούρησις πειραζομένων 21,5-36. — Ἰὼβ κ.λ. 157,26 ἐξ. — κατὰ θείαν παραχώρησιν 143,35 ἐξ. — παιδευτικοὶ 85,38 ἐξ. — ὑπὸ διαβόλου ἐνεργούμενοι ἀνθρώποις 13,1-14, 18. — ὑπὸ Θεοῦ παραχωρούμενοι 129,23-132,14. Ἀνοχὴ Ἰὼβ εἰς — γυναικὸς αὐτοῦ βλασφημῆσαι τὸν Θεὸν 34,13-35,28. Ἐγρήγορσις λόγῳ — 51,38 ἐξ. Ἐξουσία διαβόλου διὰ τούς — 24,10 ἐξ. Μάστιγες καὶ — Ἰὼβ 22,8-26,4. Λύτρωσις ἐκ — καὶ παγίδων 67, 27 ἐξ. Ὑπομονὴ δικαίων εἰς — 54,14 ἐξ.
Πειρασμός. — Ἀβραὰμ 13,33 ἐξ. — Ἰὼβ τοῦ βλασφημῆσαι τὸν Θεὸν προελθὼν ἐκ γυναικὸς αὐτοῦ 32, 37-34,12. — Ἰὼβ τὰ ῥήματα τῆς ἑαυτοῦ γυναικὸς 147,15 ἐξ. — ὁ διάβολος 178,1 ἐξ.
Πειρατήριον 157,26.
Πένης. Ὁ ἀτιμάζων — ἁμαρτάνει 173, 9 ἐξ.
Πέρατα. — κόσμου 136,2 ἐξ.
Περίστασις 50,1. 55,23. 56,2,3. 77, 26-27. 89,11. 94,22.
Περιστατικὰ 50,24. 52,8. 54,30. 62, 1. 98,6-7.
Περιτομή. — καρδίας 187,12.
Περιφρόνησις. — ἐγκοσμίων 86,9 ἐξ. — τοῦ πειραζομένου 21,5-36.
Πέτρος 77,20. 196,18. 208,27. Ψευδεπίγραφον εὐαγγέλιον κατὰ — 183,17.
Πίστις 139,17. — Ἀβραὰμ 14,2 ἐξ.
Πιστοί. Σύνοδος — 47,22.
Πιστός. Περὶ — 174,14 ἐξ.
Πληροφορία 85,32-33,35.
Πλήρωσις 150,16-17. — καὶ τελείωσις 150,16 ἐξ.
Πλούσιοι. Ἀναστροφὴ Ἰὼβ μετὰ — καὶ ἀρχόντων 45,13 ἐξ. Πτῶσις ἰσχυρῶν καὶ — 57,1 ἐξ. — ἀσεβὴς δοῦλός ἐστι 162,2 ἐξ.
Πνεῦμα. — Ἅγιον 17,14,18. 27,18. 28,4. 38,34. 41,17. 100,30. σελ. 124. 208,34. — Ἅγιον πῶς ἐμπνέει 182,11 ἐξ. — θεῖον 26,14. — πολυρρῆμον 98,12. — πονηρίας 146,18. — συγγραφικὸν 56, 10. Δουλεία τοῦ — 19,9. Δῶρον — 107,13. Κακότης — 155,34. Καρπὸς τοῦ — 139,26 ἐξ. Μετουσία τοῦ — 154,26. Μετοχὴ Ἁγ. — καὶ γνῶσις καὶ ἀντιθέτως 136,32 ἐξ. Περὶ Πατρὸς Υἱοῦ καὶ Ἁγ. — 196,3-20. Πορεία — 190,26 ἐξ.
Πνεύματα 170,37 ἐξ. — λογικὰ ὑπὲρ τὴν γῆν 19,33 ἐξ. — πονηρὰ ἀλληγορούμενα 156,18.
Ποηφάγον 58,9.
Ποιητικόν. — Θεοῦ 170,1,6.
Ποιμήν. — Ἑρμᾶ 105,12. 154,31.
Πολιτεία. — ὀρθὴ 122,25.
Πολύβυθον 167,29.
Πολυκτήμων.— ἄπιστος δοῦλός ἐστι τῶν ἑαυτοῦ 162,2 ἐξ.
Πολυλογία. — καὶ ἁμαρτία 133,23 ἐξ.
Πολυπαιδία. — καὶ εὐπαιδία 11,12-14,33.
Πόνοι. — καὶ κόπος 43,5 ἐξ.
Πορφύριος. — μὴ δεχόμενος παντοδυναμίαν Θεοῦ 127,7.
Πρακτικόν. Ἀπώλεια — 169,18.
Πρακτικός. — τιμιώτερος ἀπράκτου 172,12 ἐξ. Βίος — καὶ βίος θεωρητικὸς 206,21.
Πράξεις. — Ἀποστόλων 221,5.
Πρᾶξις. — καὶ γνῶσις 173,11.
Προαιρέσεις 173,3.
Προαίρεσις 177,36. — λογισμοῦ 11, 21 ἐξ. Βουλὴ ἢ — 166,34.
Προβόλιον 31,11.
Πρόγνωσις. — Θεοῦ 38,28 ἐξ.
Πρόδικος 194,9.
Πρόθεσις. — ἐλευθέρα 45,19.
Προνοητὴς 65,28. — ὁ Θεὸς 149,13. 157,6 ἐξ.
Προνοητικὸν 124,17,19. — Θεοῦ 170,6.
Πρόνοια 69,26. 70,17. 160,16,33. —

Θεοῦ 101,33 ἑξ. 124,17 ἑξ. 127, 28. 149,29. — Θεοῦ διοικεῖ καὶ τὰ αἰσθητὰ 181,22. — Θεοῦ καὶ ἀσεβεῖς 171,33 ἑξ. — Θεοῦ ὑπὲρ ἀνθρώπου 66,11 ἑξ. — Θεοῦ ὑπὲρ δικαίου Ἰὼβ 18,31 ἑξ. 19,31 ἑξ. 29,30 ἑξ. Θαυμασμὸς ἔργων Θεοῦ — 65,36 ἑξ. Πάντα ὑπὸ — εἰσι 154,19.
Προπάθεια 202,17-18.
Προσδοκία. — ἀγαθῶν ἢ κακῶν 154, 1 ἑξ.
Προσδόκιμος 67,14.
Προσεύχεσθαι. — ὀρθῶς 162,30 ἑξ.
Προσευχή. — ἁγίου πρὸς Θεὸν 92,5 ἑξ. — ἀκάματος καὶ ἀντικείμενον αὐτῆς 85,13 ἑξ. — Ἐλιφὰζ ὑπὲρ Ἰὼβ καὶ δοξολογία 65,16 ἑξ. — καὶ θυσία πρωϊνὴ 16,3 ἑξ. — καὶ καθαρότης καρδίας 99,8 ἑξ. Καθαρότης καρδίας ἀρετὴ καὶ — 137, 29 ἑξ. 139,1 ἑξ.
Προσκύνησις. — Θεῷ 116,7.
Προσομιλία. Ἀποτελέσματα — Θεῷ 146,16 ἑξ.
Προφῆται 169,13. 215,18. — ἀλληγορούμενον διὰ τῶν νεφῶν 167,30. — δι' Ἰησοῦ ἐπαλαιώθησαν 155,35 ἑξ.
Πτῶσις 11,28 ἑξ. — διαβόλου 12,4 ἑξ. — δολίων ἀνθρώπων 58,1 ἑξ. — ἰσχυρῶν καὶ πλουσίων 57,1 ἑξ. — πλουσίων καὶ ὑπερηφάνων 66,16 ἑξ. Αἴτιος — ἀνθρώπων ὁ διάβολος 41,14 ἑξ.

Ράβδος. — καὶ παιδεία Κυρίου 120, 26 ἑξ.
Ρεβέκκα 222,26,32.
Ρήματα. — ἐκ καρδίας 101,12 ἑξ.
Ρήσεις. — τί εἰσι 165,30.
Ρυπαίνειν 170,24.
Ρύπος. Οὐδεὶς καθαρὸς ἀπὸ — 117,21 ἑξ.

Σαμουὴλ 117,31.
Σαούλ 69,13,14. 179,6.
Σεισμός. — ἐξ ἐλεύσεως Χριστοῦ καὶ κατὰ πάθος 156,1 ἑξ.
Σέρας. — ὁ Ἀριανὸς σελ. 181.
Σημεῖα. — καὶ θεραπεῖαι ὑπὸ Σωτῆρος γενόμεναι 12,20 ἑξ.
Σιὼν 113,37. 118,10. 207,27. σελ. 217. Ἐγκατάλειψις — ὑπὸ Θεοῦ 208,35-209,11.
Σκεύη. — ξύλινα, ὀστράκινα, ἀργυρὰ κ.λ. 206,29 ἑξ. — χρυσᾶ τίμια καὶ — ἄτιμα 207,15 ἑξ. Κάθαρσις — ἀτιμίας 207,20 ἑξ.
Σκιαγραφία 100,36.
Σκότος. Κακία καὶ — 197,21 ἑξ.
Σόδομα 68,20.
Σολομὼν 12,15,17. 66,1,7. 117,13. σελ. 179. 180,7,8. 182,15,36. 183, 29. 186,3.
Σοφία 48,2. 61,24. — οὐσία Θεοῦ 170,3 ἑξ. — ὁ Χριστὸς 173,22.
Σοφισταὶ 105,24.
Σταυρός. — ξύλον ζωῆς 167,11 ἑξ. Ἐπιδημία τοῦ — 218,11.
Σταύρωσις. — Χριστοῦ 224,4.
Στέφανος 124,25.
Στηθόδεσμος 167,35.
Στηθύνιον 193,4.
Στηλογραφία 31,23. 147,1.
Συζυγία. — ἔννομος 169,26 ἑξ.
Σύζυγοι. — ἓν σῶμά εἰσι 199,32.
Συμβουλαί. — Ἰὼβ πρὸς βλασφημήσασαν γυναῖκα αὐτοῦ 34,14 ἑξ.
Σύμμαχος 159,27. 165,20.
Σύμπτωμα 54,30.
Συναγωγὴ 168,32. 176,36.
Σύνεσις 82,4. 165,33. — Ἰὼβ ἐν θλίψεσι 26,5-27,38. 28,1 ἑξ.
Συνήλυσις 22,11.
Σύνθεμα 216,1.
Σύνοδος. —πιστῶν 47,22.
Συντέλεια. — κόσμου 205,4 ἑξ. 212, 29 ἑξ.
Συντριβή. — ἀτιμίας σκευῶν 207,20 ἑξ.
Σχέσις. — καὶ οὐκ οὐσίωσις 170,2.
Σῶμα. — ἓν οἱ σύζυγοι 199,32. — τὸ ἄθροισμα δυνάμεων τῆς ψυχῆς 167, 6. Σύμμορφος τῷ — Χριστοῦ ὁ ἄνθρωπος 219,19 ἑξ. Τὰ — ἀδιάφορα 11,18 ἑξ.
Σωσάννα 67,36. 74,17.
Σωτὴρ σελ. 12. 14,7. σελ. 16. 25,27. 28,16. 40,31. 51,24. 52,31. 58,25. 75,32. 78,34. 80,32. 81,9. 101, 29. 111,32. 124,13. 142,14,15. 158,9. 196,9. 207,31. 208,36. 214, 12. 215,21. 216,27. 220,8. 223, 11. 224,2. — μεσίτης 120,3 ἑξ. Ἐγκατάλειψις Ἰουδαίων ὑπὸ Θεοῦ μετὰ τὴν προδοσίαν τοῦ — 208, 31-209,11. Ἰάσεις καὶ σημεῖα ὑπὸ — γενόμενα 12,20 ἑξ. Οὐ κατὰ

δόκησιν τὸ τοῦ — Πάθος 54,4 ἑξ.
Σωτηρία 160,11,15. σελ. 162. — ἀνθρώπου διὰ. Υἱοῦ τοῦ Θεοῦ 120, 10 ἑξ. Ἐγκατάλειψις ὑπὸ — 140, 19 ἑξ. Ἐλπὶς — 33,15 ἑξ. 34,11. Κληρονομεῖν — 206,12. Λόγος — 220,18. Χριστὸς ἐλθὼν διὰ — 105, 35 ἑξ.
Σωφάρ. — βασιλεὺς Μιναίων καὶ ἕτεροι ἐπιφανεῖς φίλοι Ἰὼβ ἐλθόντες ἰδεῖν αὐτὸν ἐν ταῖς θλίψεσιν αὐτοῦ 35,29-37,10. — Μιναῖος τί εἶπε περὶ δικαίου Ἰὼβ 132,16 ἑξ.
Σωφροσύνη. — καὶ κοσμιότης τέκνων Ἰὼβ 15,24 ἑξ.
Σώφρων. — καὶ δίκαιος 155,14.

Τάξις. — ὅτι καλόν ἐστι 169,17.
Ταπεινοῦν. — τὸν Θεόν τινα 149,27 ἑξ.
Ταπεινοφροσύνη 66,19 ἑξ.
Τάφος. — τὰ ἀνθρώπινα 86,7-87,15.
Τέλειος. Φόβος οὐ παθητικὸς διὰ τὸν — καὶ καθαρὸν 51,8.
Τελειωθέντες 185,1 ἑξ.
Τελείωσις 80,15. Πλήρωσις καὶ — 150,16 ἑξ.
Τιμόθεος 114,25. 191,17.
Τιμωρία. — ἀσεβοῦς 162,19.— κακίας 203,13-205,23.
Τιμωρίαι. — δι' ἀσεβείας 68,2 ἑξ.
Τῖτος 191,18. 213,28.
Τλητικὸν 27,19.
Τοπαρχία 12,14.
Τριάς. Ἁγ. — τῆς αὐτῆς ἐστιν οὐσίας 17,15. Πίστις εἰς — 141,18.
Τροπολογία 57,18-19.

Ὕδωρ. — ζωῆς 167,32 ἑξ. — ζῶν 168,7. — ζῶν ὁ Θεοῦ Λόγος 222, 29 ἑξ.
Ὑετός. — πνευματικὸς 205,26.
Υἱοί. — φωτὸς τέκνα Θεοῦ 141,24.
Υἱὸς 21,12. 170,36. 184,27. — γεννηθεὶς ὑπὸ Πατρὸς 196,20. — Θεοῦ σελ. 124. 167,21. — μονογενὴς 142,13. — ὁμοούσιος 120,11. Θεὸς κατ' οὐσίαν ὁ — 54,1 ἑξ. Κτίσις δι' — 170,28 ἑξ. Οὐσία μία Πατρὸς καὶ — 196,14 ἑξ. Περὶ Πατρὸς — καὶ Ἁγ. Πνεύματος 196, 3-20. Περὶ — καὶ Λόγου 170,11 ἑξ. Ὕπαρξις Πατρὸς καὶ — καὶ ὅτι ὁ — οὐ κτίσμα 53,33 ἑξ.
Υἱότης. — σαρκικὴ καὶ — πνευματικὴ 179,8 ἑξ.
Ὕλη. — στεφάνου κ.λ. 166,15 ἑξ.
Ὑλικά. — ἀγαθὰ πρόσκαιρά εἰσι 90, 5 ἑξ. Οὐδὲν ἐκ τῶν — εἰσάγομεν οὐδὲ ἐξάγομεν δεῖ κτᾶσθαι δὲ ταῦτα δικαίως 26,8-27,38.
Ὑμέναιος 12,28.
Ὑπακοή. — Θεῷ 110,9 ἑξ.
Ὑπερέκεινα 136,17.
Ὑπερηφάνεια. Παίδευσις δι' — 63,34 ἑξ.
Ὑπέρθεσις 204,24.
Ὑπεύθυνος 44,18.
Ὑποβάθρα 171,3.
Ὑποβρύχιος 145,11.
Ὑποκρισία. — διαβόλου 17,11 ἑξ.
Ὑποκριταί. — καὶ διάβολος 114,12-33.
Ὑπόλη(μ)ψις 117,3. 134,3.
Ὑπομονή. — Ἁγίων 118,35 ἑξ. — ἐν θλίψεσι 54,14 ἑξ. 88,2 ἑξ. 116,9 ἑξ. 150,7 ἑξ. — Ἰὼβ 158,1 ἑξ. — καὶ καρτερία 11,7. Διατί αἱ δικαίων θλίψεις, ὅτι πρὸς καιρόν εἰσι καὶ ὅτι δεῖ τοὺς δικαίους αὐτὰς δέχεσθαι ἐν — 72,4-82,16. Ἰὼβ ἑρμηνευόμενον — 141,10.
Ὑπόπτωσις 129,2.
Ὑποταγή. — Θεῷ 166,22.
Ὑπόχυμα 68,8-9.

Φαραὼ 68,30. 181,9.
Φαῦλοι. — καὶ ἔργα φαύλων 154,8 ἑξ. — οὐκ ἀποδέχονται ἀρετὴν γνησίαν 142,36 ἑξ. Ἀπώλεια — 113,18-114,33. Ἐρήμωσις — κ.λ. 103,6-106,14.
Φιλαμαρτήμων 42,9,21. 46,25-26.
Φιλέταιρος 40,22.
Φιλία 89,20 ἑξ.
Φιλόζωος 49,28,30-31.
Φίλοι. — ἐν θλίψεσι 151,41 ἑξ. — Ἰὼβ Ἐλιφὰζ βασιλεὺς Θαιμάνων, Βαλδὰδ ὁ Σαυχαίων τύραννος, Σωφὰρ Μιναίων βασιλεὺς ἦλθον ἰδεῖν τὸν πάσχοντα Ἰὼβ 35,29-37,10.
Φιλόκακος. — ὁ διάβολος σελ. 20. 31,6.
Φιλοτιμία 89,24.
Φόβος. — ἀληθὴς 165,33. — οὐ παθητικὸς διὰ τὸν τέλειον καὶ καθαρὸν 51,8.
Φρόνημα. — οὐράνιον 166,26,30.

Φρόνησις. — Ἰὼβ ὑπερβάλλουσα 26, 21,30. Ἀρεταὶ καὶ — 165,13 ἑξ.
Φύσις 125,18,20.
Φῶς. — θεῖον 196,3 ἑξ.
Φῶτα. Ἀρετὴ καὶ — 197,24.

Χάρισμα. — Πνεύματος 53,1.
Χάριτες. — πῶς νοητέαι 166,14 ἑξ.
Χαρτὸς 46,24,30.
Χείμαρροι. Συμβολισμὸς — 190,34 ἑξ.
Χείρ. — Θεοῦ, κολαστικὴ ἢ ὑπηρετικὴ δύναμις 143,8 ἑξ.
Χοιρογρύλλιοι 177,2-3,5.
Χριστὸς 42,33. 49,24. 59,31. 65,34. 73,20,21. 77,18,33. 85,4. σελ. 105. 130,29. 155,21. σελ. 156. 166,27. 174,25. 175,22. 184,31. 186,32. 188,10,32. σελ. 212. 219, 20. 222,11. — ζῶν ἐν Παύλῳ 86, 12 ἑξ. — λέων 177,10 ἑξ. — σοφία 168,2. Γνῶσις — 168,7. Ἔθνη ἐλθόντα εἰς — 177,4. Ἰησοῦς — 52,25. 104,6. 156,4,7. 166,5. Σοφία ὁ — 173,22. Σταυρωθεὶς δι' ἡμᾶς ὁ — 177,14 ἑξ. Νοήματα σημαινόμενα διὰ — 222,17 ἑξ. — σοφοῦ 176,24 ἑξ. — τριδύναμός ἐστι ἔχουσα δύναμιν θυμικήν, λογιστικήν, ἐπιθυμητικὴν 202,4 ἑξ. Αἱ στερεαὶ δυνάμεις — 167,7. Ἀπαίτησις διαφυλάξεως — Ἰὼβ 147,5 ἑξ. Ἀρετὴ — 200,22. Ἀταραξία — 139,25 ἑξ. Ἐξαίρετος φροντὶς διὰ τὸ φυλάξαι τὴν — 31,20 ἑξ. Μεταβατικαὶ ὁρμαὶ — 168,12. Νύμφη ἡ ἐνάρετος — 168,3. Περὶ — ἔργου Διδύμου Τυφλοῦ 96,27. Συνσπορὰ — 198,37. Σῶμα τὸ ἄθροισμα δυνάμεων τῆς — 167,6. Τίς ἡ ἑκατονταπλασίονα καρποφοροῦσα — 167,22 ἑξ.

Ὡμόθυμος 57,25,32.
Ὡσηὲ 210,7.
Ὠφελιμισμός. Ἰὼβ κατηγορηθεὶς ὑπὸ διαβόλου διὰ — 20,21 ἑξ.

Binder, G. 179, ὑπσμ.
Bonn 97 ὑπσμ.

Hagedorn, D. 97 ὑπσμ.
Hagedorn, U. 97 ὑπσμ.
Henrichs, A. 11 ὑπσμ.

Kairo 97 ὑπσμ.
Köln 196 ὑποσμ. 179 ὑποσμ.
Koenen, L. 97 ὑπσμ. 179 ὑπσμ.

Leipoldt, J. 96,23.
Leipzig 96,24.
Liesenborghs, L. 179 ὑπσμ. 196 ὑπσμ.

Migne 141 ὑποσμ. 165 ὑπσμ.

Roma 11 ὑπσμ.

Toura. — Αἰγύπτου 11,1. 95 ὑπσμ. 97 ὑπσμ. 179 ὑπσμ. 196 ὑπσμ.

Yung 141 ὑπσμ.

Ψαλμός. — οβ' 181,38-182,1.
Ψευδαπόστολοι 213,20.
Ψευδεπιγραφία 183,26.
Ψευδοδιδάσκαλοι 212,13.
Ψευδοδοξία 176,6.
Ψευδοπροφῆται 212,13.
Ψεῦδος 198,38.
Ψυχαί. — αἰώνιοι καὶ ἀθάνατοι 47,1 ἑξ. — ἐν αἰσθήσεσιν οὖσαι 211, 12 ἑξ. — φιλαμαρτήμονές εἰσι 42, 9 ἑξ.
Ψυχή. — ἁγία συμβολιζομένη 214, 9. — ἀθάνατος 133,20. — ἀνθρώπου 100,23. 123,34. — ἀνθρώπου ἀθάνατος κ.λ. 38,12 ἑξ. — προσομοιαζομένη τραχήλῳ 167,34

Ὑπεύθυνος διὰ τὴν ὕλην καὶ ἔκδοσιν τοῦ τόμου ὁ κ. Ἠλίας Δ. Μουτσούλας, Ὑφηγητὴς τοῦ Πανεπιστημίου Ἀθηνῶν. Εἰς τὸν καταρτισμὸν τῶν Πινάκων μετὰ τοῦ Σεβ. Μητροπολίτου Κορινθίας κ. Παντελεήμονος συνειργάσθη καὶ ὁ κ. Παναγιώτης Γ. Νικολόπουλος, Διδάκτωρ Φιλοσοφίας.